# ΦΡΙΔΕΡΙΚΟΥ ΧΡΙΣΤΙΑΝΟΥ
# ΒΑΥΜΑΙΣΤΕΡΟΥ
# ΛΟΓΙΚΗ

Ξυνυφανθεῖσα μὲν ὑπ' αὐτοῦ Λατινιστὶ Μεθόδῳ Μαθηματικῇ κατὰ Βόλφιον· Μεταφρασθεῖσα δὲ ἀπὸ τῆς Λατινίδος εἰς τὴν Ἑλλάδα φωνὴν παρὰ τοῦ Σοφολογιωτάτου Διδασκάλου Κυρίου

ΝΙΚΟΛΑΟΥ ΒΑΡΚΟΣΗ

Τοῦ ἐξ Ἰωαννίνων·

Τύποις ἐκδοθεῖσα ἀναλώμασιν

ΑΘΑΝΑΣΙΟΥ ΓΕΩΡΓΙΟΥ ΜΑΝΟΥΣΗ

Τοῦ ἐκ Σιατίστης.

Δι' ἐπιμελείας καὶ ἀκριβοῦς διορθώσεως σπουδαίου τινὸς περὶ τὰ ἐνταῦθα φιλοσοφικὰ Μαθήματα ἐνασχολουμένου.

ἘΝ ΒΙΕΝΝΗ, ΤΗΣ ΑΟΥΣΤΡΙΑΣ 1795.
Ἐν τῇ Ἑλληνικῇ Τυπογραφίᾳ Γεωργίου Βενδότη.

ΤΩ͂

# ΥΨΗΛΟΤΑΤΩ,

ΣΟΦΩΤΑΤΩ ΤΕ ΚΑΙ ΘΕΟΣΕΒΕΣΤΑΤΩ ΑΥΘΕΝΤΗ,

*ΚΥΡΙΩ, ΚΥΡΙΩ,*

# ΙΩΑΝΝΗ ΑΛΕΞΑΝΔΡΩ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΟΡΟΥΖΗ,

ΒΟΕΒΟΔΑ,

*ΤΩ͂*

ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΩ ΗΓΕΜΟΝΙ ΠΑΣΗΣ

ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

# ΥʹΨΗΛΟΤΑΤΕ ΚΑΙ ΓΑΛΗΝΟΤΑΤΕ ΑΥΘΕΝΤΑ!

„ Τίνι με ἄλλῳ ἔδει ἀναθεῖναι, Ὑψηλότατε καὶ θεοσεβέστατε Ἡγεμὼν, τὴν ἣν τῷ ὑμετέρῳ αὐθεντικῷ Ὕψει ταπεινῶς προσάγων ἀνατίθημι βίβλον, σοφὴν οὖσαν καὶ αὐτὴν, καὶ παρά τινος τῶν κατὰ τὸν διατρέχοντα αἰῶνα σοφῶν ῥωμαϊσὶ μὲν τὸ πρῶτον εἰς φῶς ἐξενεχθεῖσαν, εἶτα δὲ ἀπὸ τῆς τῶν ῥωμαίων καὶ εἰς τὴν τῶν Ἑλλήνων φωνὴν μετενεχθεῖσαν παρὰ τοῦ ἤδη μακαρίτου τοὐνομάτε καὶ τοὐπίκλην Νικολάου Βάρκοση, τοῦ καὶ τῇ ὑμετέρᾳ θεοσεβεστάτῃ ὑψηλότητι γνωρίμου, ὡς ἡ φήμη, ποτὲ γενομένου; Εἰ γὰρ, Ὑψηλότατε καὶ Μεγαλοπρεπέστατε Αὐθέντα, τὰ σοφὰ τοῖς σοφοῖς, ὥσπερ δὴ καὶ τὰ ἔνδοξα τοῖς ἐνδόξοις κατὰ τὸ εἰκὸς ἀνατιθέναι πάνυ καλῶς ἠξίωται, ἄρα καὶ ἐγὼ, ὥσπερ τινὶ θεῷ, τῇ ὑμετέρᾳ θεοσεβεστάτῃ Ὑψηλότητι, ἀνατιθείς τε καὶ καθιερῶν, ἃ δὴ καὶ καθιερῶ ὑπὲρ τῆς κοινῆς πᾶσιν ὠφελείας εἰς μέσον αὐτὰ προσάγων, ἰδίᾳ μὲν δαπάνῃ ἐκδοθέντα πρότερον, ἀνεπηρέαστα δὲ διὰ παντὸς ἐσόμενα

νι ὑπὸ τὴν αὐθεντικὴν αὐτῆς περίληψιν, τὰ ἀκόντα πᾶσι ποιῶν ϗ δέξω πάντως ϗ λογιοθήσομαι. Τὰ εἰς ταύτην με τὴν τόλμην κινήσαντα, Εὐκλεέστατε ϗ Ἐπιεικέστατε Ἡγεμὼν, ἐςὶ μὲν ϗ ἄλλα πολλὰ, ἡ εὔκλεια τοῦ γένους, τὸ μεγαλεῖον τοῦ αὐθεντικοῦ ἀξιώματος, τὸ ἐπιεικὲς ϗ φιλάνθρωπον τοῦ τρόπου, πρὸ πάντων δὲ τὸ φιλόμουσον ϗ πρὸς ἅπαντας τοὺς φιλομούσους εὐμενές τε ϗ εὐπρόσδεκτον τῆς ὑμετέρας Σεβασμιωτάτης Ὑψηλότητος, τοῦ πολλὰς ϗ ἄλλους βίβλους κατὰ μίμησιν καὶ τοῦτο τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου Αὐθέντου ϗ πατρὸς εὐμενῶς ὑποδεξαμένου· ὅθεν κἀγὼ ἀνατιθεὶς ταπεινότατα τὴν ἣν βίβλον ἀνατίθημί τε ϗ καθιερῶ τῷ ἀπέρ τινι ἄλλῳ φιλομούσῳ τε ϗ εὐμενεστάτῳ Αὐθέντῃ, εὐμενοῦς πάντως τῆς αὐτοῦ αὐθεντικῆς ἀποδοχῆς πειράσομαι· οἶδε γὰρ ἕκαστος ϗ τῇ φήμῃ πέπεισται, ὡς εὐμενὴς ϗ ὑπέρ τις ἄλλος φιλόμουσος ϗ τῶν μουσῶν προςάτης ὁ Αὐθέντης, ὥσπερ ἐγὼ ταπεινότατα ἀνατιθεὶς προσάγω τουτὶ τὸ φιλόμουσον, ϗ ἀπὸ παίδων ἴσως αὐτῷ γνώριμον σύγγραμμα τῆς κατὰ τὸν Βαῦμαϊστέρον Λογικῆς.

Ται-

Τοιγαροῦν, Αὐθέντα Εὐμενέστατε, κατὰ μίμησιν τοῦ εὐμενεστάτου ϗ ἐν μακαρίᾳ ἤδη τῇ λήξει γενομένου ἀοιδίμου Αὐθέντου ϗ πατρὸς (οὗ ὅσον μὲν τὸ κλέος, ὅσας δὲ βίβλους, ϗ οἵῳ εὐμενεῖ τῷ ὄμματι ταπεινῶς αὐτῷ καθιερωθείσας προσεδέξατο, ὁ παρεληλυθὼς ἤδη προσεκύρωσε χρόνος) προσδέξῃ, εὖ οἶδα, ϗ ὅπερ ἐγὼ ταπεινοφρονέστατα τῷ Ὑμετέρῳ Θεοσεβεστάτῳ Ὕψει προσάγων ἀνατίθημι σύγγραμμα τῆς κατὰ τὸν Βαϋμαϊστέρον Λογικῆς, ὡς ἂν ϗ δι' αὐτοῦ ἥτε πάλαι περίδοξος ϗ τῇ παιδείᾳ Ἑλλὰς, ἤδη πεπτωκυῖα, φεῦ! τῷ σκότει τῆς ἀπαιδευσίας, ἀναστῇ πάλιν διαυγασθεῖσα εἰς τὸ πρότερον φῶς, ϗ ἅπαντες οἱ πρὸς τὸ λαμπρότατον φῶς τῆς μαθήσεως ἀπιδεῖν ποθοῦντες ἀπόγονοι τῶν Ἑλλήνων, προστάτην κοινὸν, κηδεμόνα τε ϗ πρύτανιν, εἴς τε τὸ φῶς τῆς μαθήσεως ὁδηγὸν αὐτοῖς ϗ συναντιλήπτορα δυνηθῶσιν ἐπιγράψασθαι κοινῶς τὴν Ὑμετέραν Θεοσεβεστάτην Ὑψηλότητα, ὅ,δὲ καλὸς κἀγαθὸς τῶν ὑπ' αὐτὴν Οὐγκροβλάχων λαὸς (οἱ μακαριστέοι πάντως, τοιούτου εὐμοιρήσαντες Ἡγεμόνος) ϗ σ[illegible]ωσιν διηνεκῆ εἰς

τὸν

τὸν πανέκλαμπρον αὐθεντικὸν θρόνον εὔξωνται αὐτῇ παρὰ Θεȣ̃, ὥσπερ δὴ ϗ εὔχονται, κατὰ τὴν ἁπανταχȣ̃ γῆς διαφοιτῶσαν φήμην, ἣν θεὰν ἔσαν ψεύδεσθαι ἀμήχανον· μένω, ἐμίτε ϗ διὰ βίου ἔσομαι

Τῆς ὑμετέρας θεοφρȣρήτȣ Ὑψηλότητος,

Ἐλάχιςος καὶ ὑποκλινέςατος δȣ̃λος

*ΑΘΑΝΑΣΙΟΣ ΓΕΩΡΓΙΟΥ ΜΑΝΟΥΣΗ.*

# ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΕ΄ΝΟΙΣ ΤΑΥ΄ΤΗ, ΤΗ͂, Ω῾Σ ΠΑ΄ΝΤΕΣ Ο῾ΜΟΛΟΓΟΥ͂ΣΙΝ, Α΄ΡΙΣΤΗ, ΛΟΓΙΚΗ͂

## ΦΡΙΔΕΡΙ΄ΚΟΥ ΧΡΙΣΤΙΑ΄ΝΟΥ ΤΟΥ͂ ΒΑΥΜΑΙΣΤΕ΄ΡΟΥ.

„ Ἰδὲ, Φιλέλληνες ϗ κοινῶς ἅπαντες οἱ τῶν Ἑλλήνων ἀπόγονοι, προσφέρεται ὑμῖν πᾶσιν εἰς ἀνάγνωσιν μετὰ προσοχῆς ϗ ἡ Λογικὴ τȣ͂ Βαυμαϊςέρȣ, συγγραφεῖσα μὲν παρ' αὐτοῦ Λατινιςὶ τὸ πρῶτον μεθόδῳ τινι ἐξηκριβωμένῃ ϗ μαθηματικῇ, ἔπειτα δὲ ἀπὸ τῆς Λατινίδος ϗ εἰς τὴν καθ' Ἕλληνας φωνὴν μεταφρασθεῖσα παρὰ Κυρίȣ Νικολάȣ τȣ͂ ἐπίκλην Βάρκοση, καὶ τέλος πάντων διὰ τῶν τύπων ἤδη κοινὴ τοῖς πᾶσι γενομένη παρ' ἐμȣ͂ τȣ͂ ὁμογενȣ͂ς σας, τῆς παιδείας ϗ ἐμȣ͂ (καίτοι ἄκρῳ, ὃ δὴ λέγεται, τῷ δακτύλῳ) γευσαμένȣ, πολὺν δέ τινα καὶ διακαῆ πρὸς αὐτὴν ἀπὸ νεότητος τρέφοντος ἐν τῇ ψυχῇ μου ἔρωτα. Δι' ὃ, φιλόμȣσοι ϗ φιλομαθεῖς νέοι, ἐπειδὴ ἄλλως μικρὸν ἀποσβέσαι αὐτὸν τὸν ἐν τῇ ψυχῇ μȣ παφλάζοντα πρὸς τὴν παιδείαν ἔρωτα ȣ̓κ ἠδυνάμην διὰ τὸ συνεχὲς ϗ ἀλλεπάλληλον τῶν ἀπὸ τῆς ἐμπορίας, ᾗ καθ' ἑκάςην ἐνασχολȣ͂μαι, φροντίδων, ἔγνων τὴν παρȣ͂σαν τȣ͂ Βαυμαϊςέρȣ ἀρίςην λογικὴν κοινὴν ὑμῖν, ἀλλὰ δὴ ϗ εὔωνον ποιήσασθαι διὰ τῶν τύπων, ϗ τῆς εἰς αὐτȣ͂ς ἰδίας δαπάνης μȣ, ὡς ἂν διὰ τȣ͂το ἅμα ϗ ὑμᾶς πόῤῥωτȣ καταξιώσας φανῶ τῆς πολυμόχθȣ ἀντιγραφῆς, ϗ πᾶσι τοῖς ἄλλοις ὁμογενέσι μȣ χρήσιμος καὶ ἐγὼ ὁπωσȣ͂ν γένωμαι, ἅπασι κοινῶς εἰς μέσον προτιθεὶς τοῖς ἐθέλȣσι τὴν ἀπ' αὐτῆς καρπώσασθαι ὠφέλειαν. Ὅτι μὲν, ὁμογενεῖς ϗ φιλογενεῖς μοι ἀναγνῶσαι, ἡ προσαγομένη ὑμῖν ἅπασιν εἰς ἀνάγνωσίν τε ϗ ὠφέλειαν Λογικὴ τȣ͂ Βαυμαϊςέρȣ ἅ-

ναι

ναι ἀρίστη, τοῦτο οὐδὲ λόγου τινος δεῖται, καὶ αὐτοὶ ὑμεῖς ἀναγνόντες αὐτὴν μετὰ προσοχῆς θέλετε πληροφορηθῆ μὲ τον καιρόν· ἔστι γὰρ περὶ αὐτῆς τῆς Λογικῆς, ὅτι εἶναι τοιαύτη, δηλαδὴ ἀρίστη, ἡ γνώμη κοινὴ εἰς ὅλην σχεδὸν τὴν πεπαιδευμένην Εὐρώπην, πρᾶγμα ὅπου καὶ ἐμπράκτως ἀπεδείχθη ἤδη πρὸ πολλοῦ, ἐπειδὴ καὶ παρεδίδετο λατινικὰ εἰς τὰς περισσοτέρας ἐν τῇ Εὐρώπῃ ἐδῶ καὶ ἐκεῖ Ἀκαδημίας, πρὸ τοῦ νὰ εἰσαχθοῦν ἐν αὐταῖς ἡμία καὶ ἡ ἄλλη, ἔτουτη καὶ ἐκείνη, γλῶσσαι μητρικαὶ εἰς τὰ διάφορα μέρη τῆς πεπαιδευμένης Εὐρώπης· ὅτι τοίνυν τοιαύτη, ἤγουν ἀρίστη αὐτὴ ἡ Λογικὴ τοῦ Βαϋμαϊστέρου, οὐδενὸς, ὡς προλαβόντες εἴπομεν, δεῖται λόγου, ὅτι δὲ ἡ αὐτὴ καὶ εἰς τὰς ἄλλας, ἃς εἰς τὴν Ἑλληνικὴν γλῶσσαν ἔχομεν λογικὰς (διατὶ τὸ ἐν ἅπασι τοῖς συγγράμμασι παλαιοῖς τε καὶ νέοις ζητεῖν τὸ τέλειον, εἶναι καὶ ἀδιάκριτον, ἴσως δὲ καὶ ἀδύνατον) ἠμπορεῖ τὰ μέγιστα καὶ κατὰ πολλὰ νὰ χρησιμεύσῃ, καὶ μάλιστα εἰς τὴν τοῦ Εὐγενίου ὄντως Λογικὴν, ἣ ἃ Δηλίου τινος, τὸ τοῦ λόγου, δεομένην εἰς κατάληψιν τοῦ κολυμβητοῦ, τοῦτο ἀναγνόντες αὐτὴν καὶ ἰδόντες ἐμπράκτως τὴν ἀπ᾿ αὐτῆς καὶ εἰς ὅλας ἐκείνας, ἃς τυπωμένας ἔχομεν εἰς τὸ Ἑλληνικὸν Λογικὰς, θέλετε τὸ ὁμολογήσει καὶ οἱ ἴδιοι ἑκόντες τε ἀέκοντι, καθ᾿ Ὅμηρον εἰπεῖν, θυμῷ. Δέξασθε τοιγαροῦν, φιλογενεῖς καὶ τῶν Ἑλλήνων ἀπόγονοι, καὶ τὴν δι᾿ ἐμοῦ προσαγομένην ὑμῖν, εἰς μετὰ προσοχῆς ἀνάγνωσίν τε καὶ ὠφέλειαν, Λογικὴν τοῦ Βαϋμαϊστέρου, μεταμφιασθεῖσαν τε καὶ μεταμορφωθεῖσαν, ὡς φθάσαντες εἴπομεν, καὶ εἰς τὴν παλαιὰν τῶν προγόνων μας ἐντελεστέραν τῶν γνωστῶν μας ἄλλων γλῶσσάν τε καὶ διάλεκτον.

Δέξαθε, κ' ἀναδρέψαθε, ἅπερ αὐτὴ προσφέρει
Ὑμῖν ἄνθη ᾗ ὄφελος, εἰς ὠφέλειαν πάντων.
Τί γὰρ τινὰς ἐκ Λογικῆς ἰδεῖν ὀχὶ προσμένει;
Οὐ διευθύνει Λογικὴ τὰς ἐνεργείας πάντων;
Νοὸς ὀχ αὕτη πέφυκεν εὐθύτης ᾗ ἡ ςάθμη;
Οὐ δι' αὐτῆς οἱ ἄνθρωποι καλῶς νοεῖν ποθῶσι;
Καὶ συλλογίζεσθαι καλῶς αὐτὴ εἶναι ἡ ςάθμη,
Καὶ συμπεραίνειν ἄπταιςα, αὐτὴν ὅσοι ζητῶσι
Μανθάνωσι, διδάσκονται, ἀλλὰ ᾗ γαυριῶσι,
Ἐὰν ὑπόκωφοι εἰσὶ, μὰ ἂς εἰπῇ ᾗ ἄλλος
Τὴν ἀπ' αὐτῆς ὠφέλειαν, ἔςω δὲ ᾗ τὸ κάλλος,
Ὥπερ ψυχὴ καλλύνεται, ὅσοι δὲ γαυριῶσι,
Τὴν Λογικὴν ὀκ ἔμαθον, καθὼς αὐτὴ διδάσκει.
Διδάσκει γὰρ αὐτὴ καλῶς νὰ μεταχειρισθῶμεν
Κι' αὐτὴν, ᾗ ἄλλην μάθησιν, μὰ ὄχι νὰ πηδῶμεν,
Μωραίνοντες, τυφλώττοντες, καθὼς αὐτὴ ἐφάσκει.
Φῶς γάρ ἐςὶν ἡ μάθησις, ᾗ σκότος φυγαδεύει,
Ἐὰν μόνον τινὰς αὐτὴν καλῶς τὴν ἐκμανθάνῃ,
Φεύγων ἅπερ αὐτὴ φευκτὰ λέγει ᾗ φυγαδεύει,
Διώκων δὲ ᾗ ἐκζητῶν, ἅπερ πᾶσιν ἀνδάνει.
Δέξαθε, λέγω, ἅπαντες νέοι ᾗ πατριῶται!
Δέξαθε, κ' ἀναμνήσθητε κἀμὲ τὸ πατριώτο,
Ὅς ᾗ εἰμὶ ᾗ ἔσομαι φίλος, ὦ πατριῶται!
Καθὼς ᾗ ὑπογράφομαι, υἱὸς ὢν πατριώτο,

*ΑΘΑΝΑΣΙΟΣ ΓΕΩΡΓΙΟΥ ΜΑΝΟΥΣΗ.*

# ΣΥ'ΛΛΗΨΙΣ
## ΤΩ῀Ν
# ΚΕΦΑΛΑΙ'ΩΝ
## ΤΩ῀Ν Ε'Ν ΤΗ῀, ΦΙΛΟΣΟΦΙ'Α, ΤΑΥ'ΤΗ, ΤΗ῀ ΛΟΓΙΚΗ῀
## ΠΕΡΙΕΧΟΜΕ'ΝΩΝ.


Περὶ Φιλοσοφίας ἐν Γένει προπύλαιον. . . . . Κεφ. Α'.
Περὶ Μερῶν καὶ Διαιρέσεως τῆς Φιλοσοφίας. . . . . Κεφ. Β'.
Ε'πονται Λογικῆς Προλεγόμενα, ἐν οἷς ἡ Φύσις τῆς Λογικῆς ἐκτίθεται.

Λογικῆς Θεωρητικῆς.

Περὶ Ι'δεῶν, ἤτοι Ε'ννοιῶν. . . . . . . . Κεφ Α'.
Περὶ Χρήσεως τῶν περὶ τὰς Ε'ννοίας φωνῶν, ἤτοι ὅρων. . Κεφ. Β'.
Περὶ Ο'ρισμοῦ. . . . . . . . . . Κεφ. Γ'.
Περὶ διαιρέσεως. . . . . . . . . . Κεφ. Δ'.
Περὶ Κρίσεως καὶ Προτάσεων. . . . . . Κεφ. Ε'.
Περὶ Διανοημάτων καὶ Συλλογισμῶν. . . . . Κεφ. ς'.
Περὶ ἀτάκτων Συλλογισμῶν, καὶ περὶ ἀμέσων συνεπειῶν . Κεφ. Ζ'.

Λογικῆς Πρακτικῆς.

Περὶ ἀληθείας ἐν Γένει . . . . . . . . Κεφ. Α'.
Περὶ τῶν ἀντικειμένων τῆς ἀληθείας, ψεύδους, πλάνης, προκριμάτων, καὶ ἀπατῶν. . . . . . . . Κεφ. Β'.
Περὶ ἀληθείας βεβαίας, καὶ περὶ ποικίλων τρόπων τῆς εἰς ταύτην ἀφίξεως . . . . . . . . . . Κεφ. Γ'.
Περὶ ἀληθείας πιθανῆς. . . . . . . . . Κεφ. Δ'
Περὶ τοῦ ὀρθῶς τῇ μελέτῃ ἐγχειρεῖν, ἐπιχειρεῖν δηλ. καὶ δι' αὐτῆς τὴν ἀλήθειαν ἀνιχνεύειν. . . . . . Κεφ. Ε'.
Περὶ τοῦ τρόπου τοῦ ἀναγινώσκειν καὶ κρίνειν τὰς βίβλους. . Κεφ. ς'.
Περὶ τοῦ τρόπου τοῦ ἐλέγχειν τοὺς ἄλλους. . . . . . Κεφ. Ζ'.
Περὶ τοῦ τρόπου τοῦ ἀνασκευάζειν τοὺς ἄλλους. . . . . Κεφ. Η'.
Περὶ τοῦ τρόπου τοῦ ἑαυτὸν ἀμύνειν, ἤτοι ὑπερασπίζεσθαι. . Κεφ. Θ'.
Περὶ τοῦ τρόπου τοῦ διαλέγεσθαι. . . . . . Κεφ. Ι'.


ΠΡΟ-

ΠΡΟΠΥΛΑΙΟΝ ΦΙΛΟΣΟΦΙΑΣ.

ΚΕΦ. Α΄.

# ΠΕΡΙ ΦΙΛΟΣΟΦΙΑΣ

## ΕΝ ΓΕΝΕΙ.

## ΠΑΡΑΓΡΑΦΟΝ Α΄.

---

Τὴν Λογικήν τε καὶ τὰ λοιπὰ τῆς Φιλοσοφίας μέρη τοῖς ἐμοῖς ἀκροαταῖς ἀναπτύξοντι, λυσιτελέστατον ἔδοξέ μοι, αὐτίκα τὸ κατ᾽ ἀρχάς, τίποτ᾽ ἂν εἴη τὸ Φιλοσοφεῖν, τί τε βούλοιτο ἑαυτῷ ὁ Φιλόσοφος, καὶ τίνι τελευταῖον ἡ Φιλοσοφία παντὸς ἄλλου διαγινώσκοιτο, οὐχ ἧττον διακεκριμένως, ἢ σαφῶς παραδοῦναι· δῆλον, καὶ γάρ, ὅτι πλεῖστοι, εἴπερ τινὸς ἄλλου, Φιλοσοφίας γοῦν ἑαυτοῖς ψευδεῖς, καὶ ἥκιστα διακεκριμένας ἐννοίας διαμορφοῦν. Ἐξ οὗ δὴ συμβαίνει, τῆς ἐνδομύχου φύσεως καὶ ἐξοχῆς τῆς Φιλοσοφίας ἀγνοουμένης, ἢ ἐν ἐλαχίστοις τίθεσθαι ταύτην ἔχοντας ὀλιγώρως, ἢ γοῦν ἀμελέστερον, ἤπερ ἔδει, καὶ νωθρότερον αὐτῆς οἴεσθαι μετιτέον.

## Β΄.

Ἵνα δ᾽ ἕκαστος συνιέναι, τίποτ᾽ ἐστὶν ἡ Φιλοσοφία· εὐχερέστερον ἔχῃ, εἰς τὴν τριπλῆν ἐκείνην τὴν παρά τε τῆς πείρας διδασκομένην, καὶ παρὰ Φιλο-

Φιλοσόφων συγγράμματι πολλαχῆ ἐκτιθεμένην ἀνθρωπίνην γνῶσιν, ἀξιῶ ἀτενίζειν· διὰ γὰρ τῆς πείρας μανθάνομεν, ἢ μόνα γινώσκειν τὰ ὄντα τε καὶ γινόμενα, τῶν ἐκείνων αἰτίων ἀγνοουμένων, ἢ καὶ τὰς αἰτίας τούτων προσεπίστασθαι καὶ τοὺς λόγους, ἢ τελευταῖον, τὰς ποσότητας, καὶ τὰ μέτρα, καὶ τὰς δυνάμεις ὀξυδερκῶς τῶν αἰτίων ἐπιγινώσκειν.

## Γ΄.

Ἡ γνῶσις τῶν ὄντων ἢ γινομένων, συντομώτερον δ' εἰπεῖν, τῶν πραγμάτων, Ἱστορικὴ γνῶσις ἤκουσεν, ἔσθ' ὅτε δὲ καὶ δημώδης, ὡς τοῦ ἀγροίκου τε καὶ συρφετώδους ὄχλου τοῖς ἐς ἄκρον πεπαιδευμένοις συμμετέχοντος ταύτης.

„ Οὕτω παραδ: χάρ. οἶδεν ὁ σιστῆν τῶν πεπαιδευμένων τὸν κηρὸν τῷ πυρὶ προσεγγίσαντα τήκεσθαι, ἤδη τοῦ ἀγροίκου τοῦτ' αὐτὸ ἀγνοοῦντος, ἐν τούτῳ δὴ κατανοεῖ ἔχειν τὴν τοῦ πεπαιδευμένου καὶ ἰδιώτου γνῶσιν εἶναι ἱστορικὴν, ἐστὶ γὰρ αὕτη γινομένου μόνου τινὸς ἢ ἀποτελέσματος γνώρισις.

## Δ΄.

Πᾶν ὅ, τι ἐστὶν, ἢ γίνεται, ὀφείλει τοῦ ἀποχρῶντος εὐμοιρεῖν λόγου, ἐξ οὗ δύναιτο ἐννοεῖσθαι καὶ ἀναπτύσσεσθαι, διατί ποτε μᾶλλον εἴη, ἤπερ οὐκ εἴη, καὶ γίγνοιτο μᾶλλον, ἤπερ οὐ γίγνοιτο, καὶ τί δήποτε οὕτως, οὐ μὴν δὲ ἄλλως.

„ Ταύτην ἤδη τὴν πρότασιν εἰκότως ἡμῖν ξυγχωρηθῆναι παρὰ παντὸς αἰτοῦμεν τόγε νῦν εἶναι, ὡς πλατύτερον ταύτην, ἣν διδῷ θεὸς, ἀποδείξοντες ἐν τῇ Ὀντολογίᾳ· (παραβληθήτω δ' ὅμως Βολφίου Ὀντολογία Λατιν. §. 30. καὶ ἡ τοῦ περικλεοῦς Μάρκου Καρποβίου διάλεξις, περὶ τῆς ἀρχῆς τοῦ ἀποχρῶντος λόγου ἐν Ἰένῃ 1726. ἐκδοθεῖσα· πρὸς τούτοις ἴσιον τὴν πρότασιν ταύτην παρ' ἡμῖν ἐντεῦθα ὡς ῥᾳοτέραν κατάληψιν προλαμβάνεσθαι τῆς τῷ ἑπομένῳ παραγράφῳ ἀναπτυχθησομένης Φιλοσοφικῆς γνώσεως.

## Ε΄.

## Ε'.

Η' γνῶσις τȣ̃ ἀποχρῶντος λόγȣ, καθ' ἣν ἐννοεῖσθαι δύναται, διατί μᾶλλον εἴη τι, ἤπερ ȣ̓κ εἴη, καὶ διατί γίγνοιτο μᾶλλον, ἤπερ ȣ̓ γίγνοιτο, συντομώτερον δὲ, ἡ τῶν αἰτίων γνῶσις, Φιλοσοφικὴ γνῶσις ἤκȣσεν.

„ Οὕτω παραδ. χάρ. ὅτε ὁ Κωνςαντῖνος τὸν Κομήτην ȣ̓ μόνον οἶδεν ὀπτάνεσθαι, ἀλλ' ἔτι
„ τȣ́ς τε λόγȣς, καὶ τὰς αἰτίας γινώσκει, ἀνθ' ὧν ὁ Κομήτης ὁρᾶται μᾶλλον, ἢ ȣ̓,
„ καὶ τȣ́τῳ τῷ χρόνῳ. καὶ ȣ̓́τως. ἀλλ' ȣ̓κ ἄλλοτε καὶ ἄλλως, τότε δὴ τȣ̃ φαινομένȣ
„ τȣ́τȣ Φιλοσοφικὴν ἔχειν γνῶσιν λέγεται.

## ϛ'.

Η' γνῶσις τῆς τῶν πραγμάτων ποσότητος προσαγορεύεται Μαθηματική.

„ Παραδ. χάρ. Τὸν τὴν ποσότητα τῆς θερμότητος, καὶ τὸν ὡρισμένον αὐτῆς βαθμὸν, ἐν
„ τȣ́τῳ κἀκείνῳ τῷ συμβάματι διορίζειν εἰδότα, γνῶσιν μαθηματικὴν τῆς θερμότητος
„ καθωραῖσθαι φαμέν. Ε'κτεθειμένων ἤδη καὶ λόγῳ βάσεως προκαταβληθέντων τῶν
„ ὁρισμῶν τῆς τριπλῆς ἀνθρωπίνης γνώσεως, πρὶν ἢ γενώμεθα ἐπὶ τὴν ἀνάπτυξιν τῆς
„ κατὰ τὴν Φιλοσοφίαν ἰδέας, θέσεις τινὰς ἐφεξῆς ἐκ τȣ́των παραγαγεῖν τε καὶ ἀποδεῖξαι διὰ σπȣδῆς ἡμῖν ἐςαι· τὰς γὰρ ταῖς ἑπομέναις πρὸ ὁδȣ̃ γινομένας τῶν προτάσεων προκατασκευάζεσθαι χρεών, καὶ ὀχυρȣ̃σθαι δέοντας.

## Ζ'.

### Η' Ι'ςορικὴ γνῶσις πορίζεται διὰ τῶν αἰσθήσεων.

Δείκν. Ε'πειδὴ γὰρ διὰ τῶν αἰσθήσεων ἑαυτοῖς παριςῶμεν τὰ ἐν τοῖς ἡμετέροις αἰσθητηρίοις μεταβολὴν παράγοντα, (κατὰ τὸν ὁρισμ. τῆς αἰσθήσ:) καὶ ἑπομένως τὰ ὑπάρχοντα πράγματα· Η' δὲ γνῶσις τῶν ὑπαρχόντων πραγμάτων, εἴτ' ȣ̓̃ν τῶν ὄντων ἢ γινομένων, Ι'ςορικὴ γνῶσις ἤκȣσε (Γ)· Δῆλον ἡμᾶς διὰ τῶν αἰσθήσεων τῆς ἱςορικῆς ἐπιβολῆς γίνεσθαι γνώσεως, ταὐτὸν δ' εἰπεῖν, τὴν ἱςορικὴν γνῶσιν πορίζεσθαι διὰ τῶν αἰσθήσεων.

## Η΄.

Ἐντεῦθεν δῆλον, τὴν Ἱστορικὴν γνῶσιν βαθμὸν ἔσχατον εἶναι τῆς ἀνθρωπίνης γνώσεως.

Δεικν. Ἐπεὶ γὰρ ἡ Ἱστορικὴ γνῶσις πορίζεται διὰ τῶν αἰσθήσεων (Ζ΄)· δῆλον ταύτην οὐχ ἕτερα εἴδη προεγνωσμένα ὑποτιθέναι, ἐξ ὧν, ὥσπερ ἐξ οἰκείων ἀρχῶν διὰ μακρᾶς σειρᾶς διανοημάτων ὀφείλοι παράγεσθαι· Ἔσχατος τοιγαροῦν τῆς ἀνθρωπίνης γνώσεως βαθμὸς ἐστὶν ἡ Ἱστορικὴ γνῶσις, οὐκ ἔστιν οὗτινος ἐν τῷ γινώσκειν κατωτέρου βαθμοῦ νοηθῆναι δυνατοῦ ὄντος.

## Θ΄.

Καίτοι δ᾽ οὖν ἡ Ἱστορικὴ γνῶσις τῆς ἐν ἀνθρώποις γνώσεως ἔσχατος οὖσα βαθμὸς (Η΄.), βάσις ἔμπης καὶ κρηπὶς τῆς φιλοσοφικῆς εἰκότως ὑπολαμβάνεται.

Δεικν. Ἡ Φιλοσοφικὴ γνῶσις, γνῶσις ἐστὶ τοῦ λόγου τῶν ὄντων ἢ γινομένων (Ε΄.)· ἐπεὶ δὲ καὶ μὴ διδάσκοντός μου, κατανοεῖς, ὡς οὐχ οἷόν τε τοὺς λόγους καὶ τὰς αἰτίας παραδίδοσθαι, τῶν πραγμάτων ἀγνοουμένων· προφανές ἐστι τὴν Φιλοσοφικὴν γνῶσιν, τὴν τῶν πραγμάτων ὑποτιθέναι· ἡ δὲ τῶν πραγμάτων γνῶσις, Ἱστορικὴ ἤκουσεν (Γ΄)· Ἄρα ἡ Φιλοσοφικὴ γνῶσις ὑποτίθησι τὴν Ἱστορικήν· ἄρα ἡ Ἱστορικὴ ὀρθῶς λαμβάνεται ἀντὶ βάσεως τῆς Φιλοσοφικῆς.

## Ι΄.

Ἐντεῦθεν τρεῖς Θέσεις ἀναγκαίως συνέπονται, αἷστισιν, ὡς πορίσμασι προσεκτέον. Α΄. Ἐκ τούτων κατανοεῖται τὴν Ἱστορικὴν γνῶσιν τὰ μάλιστα συμβάλλεσθαι ταῖς ἐπιστήμαις. Τοῦτο δ᾽ ἂν πλατύτερον, ἁπάσας διεξιόντες ἐφ᾽ ἑκάστης εἴχομεν ἀποδεῖξαι, εἰμὴ ἀποκνητέον ἦν τῇ μακρηγορίᾳ, καὶ τῆς ἡμετέρας προθέσεως οὐκ ἀλλότριον. Β΄. Ἐντεῦθεν διατρανοῦται, ἀνθ᾽ ὅτου παρ᾽ ἅπασι τοῖς εἰδήμοσιν ἀντὶ μητρὸς ἁπάσης Φιλοσοφίας οὐκ πολλοῦ ἡ πεῖρα

λαμ-

λαμβάνεται. Γʹ. Ἐκ τῶν εἰρημένων σαφὲς, ὅτι τῆς Ἱϛορικῆς γνώσεως ἥκιϛά γε τοι ἀμελεῖν προσήκει τῷ Φιλοσοφεῖν μέλλοντι, μᾶλλον δὲ ταύτῃ προϛηριχθείσῃ τὰ λοιπὰ ἐποικοδομεῖν.

„ Ἡ τῆς Ἱϛορικῆς γνώσεως ὡς κοινὴ καὶ ἀπόῤῥητος μαθεῖα διαίρεσις γίνεσθαι ἐν
„ τῇ ἀναπτύξει διὰ πολλῶν ὑμῖν ἔκδηλος ἔϛαι. Διαλαβοῦσι δ' ἡμῖν μέχρι τοῦδε,
„ περὶ τῆς Ἱϛορικῆς γνώσεως, νῦν ἤδη, βαθμηδὸν προϊόντος τοῦ λόγου, θέσεις τινὰς
„ ἀναπτύξαι χρεὼν τῇ Φιλοσοφικῇ ἀνηκούσας γνώσει.

## ΙΑʹ.

„ Οὐδὲν ἀντικείμενον ὁποιονδήποτ' ἂν ᾖ τοιαύτης ἔλαχε φύ-
„ σεως, ὥϛε Φιλοσοφικὴν αὐτοῦ γνῶσιν δοθῆναι μὴ
„ δύνασθαι.

Δείκν. Ἐπειδὴ γὰρ ἅπαντα τοῦ ἀποχρῶντος εὐμοιρεῖ λόγου (Δʹ.) καὶ τῶν ὁποιωνδηποτοῦν ἄρα πραγμάτων λόγους τοὺς ἀποχρῶντας εἰδέναι καθ' αὐτὸ οὐκ ἂν εἴη ἀδύνατον. Τῆς δὲ γνώσεως τοῦ ἀποχρῶντος ἐν τοῖς πράγμασι λόγου Φιλοσοφικῆς λεγομένης (Εʹ.)· ῥᾷϛα κατανοεῖται, ὡς οὐκ ἔϛθ' ὅ, τι ἀντικείμενον ὁποιονδήποτ' ἂν ᾖ, φύσεως ἔλαχε τοιαύτης, ὥϛε Φιλοσοφικὴν αὐτοῦ γνῶσιν δοθῆναι μὴ δύνασθαι.

## ΙΒʹ.

Τὸν Φιλοσοφικῇ καθωραϊσμένον γνώσει, οὐ μόνον τὰ πράγματα καὶ τὰς ἀληθείας γινώσκειν χρεὼν, ἀλλ' ἔτι καὶ τὴν συνάφειαν αὐτῶν διορᾶν ἐπάναγκες.

Δείκν. Ἐπειδὴ γὰρ ἡ Φιλοσοφικὴ γνῶσις, γνῶσις ἐϛὶ τῶν αἰτίων, ἢ λόγων (Εʹ.), ἑπόμενόν ἐϛι τὸν Φιλοσοφικῇ σεμνυνόμενον γνώσει, τὴν μεταξὺ τῶν αἰτίων καὶ ἀποτελεσμάτων ἀναφορὰν διορᾶν ὀφείλειν· ἡ δὲ πρὸς ἄλληλα τῶν πραγμάτων ἀναφορὰ, καθ' ἣν ἕτερον θατέρου αἰτία ἐϛὶ, παρὰ Φιλοσόφοις συνάφεια λέγεται· ἄρα τὸν Φιλοσοφικῇ σεμνυνόμενον γνώσει, τὴν τῶν ἀληθειῶν καὶ πραγμάτων συνάφειαν ἐπάναγκες διορᾶν.

ΙΓʹ.

## ΙΓ'.

### Ἔνθεν τοι δῆλον ὡς ἐπίκτησιν τῆς Φιλοσοφικῆς γνώσεως μὴ μόνας ἐξαρκεῖν τὰς αἰσθήσεις, ἀλλ' ἀπαιτεῖσθαι μάλιςα καὶ τὸν ὀρθὸν λόγον.

Δεῖξιν. Ἐπειδὴ γὰρ διὰ τῶν αἰσθήσεων εἰς ἐπίκτησιν ἐρχόμεθα τῆς ἱςορικῆς μόνου γνώσεως (Ζ.), καὶ δι αὐτῶν ἑπομένως τὰ γινόμενα μόνον καὶ ὑπάρχοντα γινώσκομεν (Γ'.)· ἡ δὲ Φιλοσοφικὴ γνῶσις, οὐκ ἐν τοῖς γινομένοις, ἢ ὑπάρχουσι μόνοις ἐφησυχάζουσα χαίρει, πορρωτέρω δὲ προϊοῦσα τὰς αἰτίας τε καὶ τοὺς ἀποχρῶντας λόγους ἀνιχνεύει τῶν ὄντων (Ε'.)· Προφανὲς ἤδη τὰς αἰσθήσεις μόνας ταύτῃ μὴ ἐξαρκεῖν. Ἐπειδὴ δ' ἔτι ὁ Φιλοσοφικῇ σεμνυνόμενος γνώσει, τὴν τῶν ἀληθειῶν καὶ πραγμάτων συνάφειαν διορᾷ· (ΙΒ'.) ἡ δὲ τὴν συνάφειαν τῶν πραγμάτων καὶ ἀληθειῶν διορῶσα δύναμις, Λόγος ἀκούει. Δῆλον ἄρα, εἰς ἐπίκτησιν τῆς Φιλοσοφικῆς γνώσεως ἐν τοῖς μάλιςα προαπαιτεῖσθαι τὸν λόγον.

## ΙΔ'.

### Ὁ φιλοσοφικῶς τὰς ἀληθείας γινώσκων, τὰς αὐτὰς δεικνύειν ἐπίςαται.

Δεῖξιν. Ἐπείπερ ὁ Φιλοσοφικῶς τὰς ἀληθείας γινώσκων, τὰς αἰτίας αὐτῶν καὶ τοὺς λόγους οὐκ ἀγνοεῖ (Ε.), ἕπεται τὸν φιλοσοφικῶς τὰς ἀληθείας γινώσκοντα, ἐκ τῶν οἰκείων ἀρχῶν τε καὶ αἰτίων δύνασθαι τὰς αὐτὰς ὀρθῶς καὶ κατὰ κανόνα παράγειν· Τὸ δὲ τὰς ἀληθείας ἐξ οἰκείων ἀρχῶν τε καὶ αἰτιων ὀρθῶς καὶ κατὰ κανόνα συναφεῖς παράγειν, δεικνύειν ἐςὶ τὰς αὐτὰς (κατὰ τὸν ὁρισμὸν τῆς δείξεως)· ἄρα ὁ Φιλοσοφικῶς τὰς ἀληθείας γινώσκων, τὰς αὐτὰς δεικνύειν ἐπίςαται.

## ΙΕ΄.

Νῦν ἤδη τέλος ἔχεις κατανοεῖν, τίποτ' ἐςὶ τὸ Φιλοσοφεῖν; φιλοσοφεῖς ἀμέλει τοι περὶ τοῦ ἀντικειμένου Α. εἴπερ αὐτοῦ τοῦ Α΄. Φιλοσοφικῇ ὡραΐσθαι γνώσει, ἀνερυθριάςως ἔχεις εἰπεῖν.

## ΙϚ΄.

### Ὁ περί τινος τοίνυν φιλοσοφῶν, τοῦ περὶ οὗ φιλοσοφεῖ τοὺς λόγους καὶ τὰς αἰτίας εἰδέναι ὀφείλει.

Δεικν. Ἐπειδὴ γὰρ τὸ Φιλοσοφεῖν, οὐδὲν ἄλλο, ὅτι μὴ γνώσει καθωραΐζεσθαι Φιλοσοφικῇ (ΙΕ.)· Αὕτη δὲ τὰς αἰτίας τε καὶ τοὺς λόγους τῶν πραγμάτων διορᾶν ἀπαιτεῖ (Ε΄)· εὔδηλον οὖν τὸ ἀληθὲς τῆς ἡμετέρας προτάσεως, ὅτιγε τῷ περί τινος φιλοσοφοῦντι, τοῦ περὶ οὗ φιλοσοφεῖ τοὺς λόγους καὶ τὰς αἰτίας ὀφείλεται διορᾶν.

## ΙΖ΄.

### Τὸ περὶ πάντων φιλοσοφεῖν, καθ' αὑτὸ οὐκ ἔςιν ἀδύνατον.

Δεικν. Ἐπειδὴ γὰρ οὐδὲν ἀντικείμενον τοιαύτης ἔλαχε φύσεως, ὥςε Φιλοσοφικὴν γνῶσιν δοθῆναι μὴ δύνασθαι (ΙΕ.)· τὸ δὲ Φιλοσοφεῖν οὐδὲν ἄλλο, εἰμὴ γνώσει σεμνύνεσθαι Φιλοσοφικῇ. Εὔδηλον ἄρα, ὅτι τὸ περὶ πάντων Φιλοσοφεῖν, καθ' αὑτὸ οὐκ ἀδύνατον.

„ Ἀλλ' ἴσως ἐρεῖς· ἆρα καὶ περὶ τῶν τῆς Πίςεως Μυςηρίων Φιλοσοφεῖν ὡσαύτως δυνά-
„ μεθα; ἄπαγε, καθ' ἑαυτὸ γὰρ ἔφης δυνατὸν εἶναι τὸ περὶ πάντων Φιλοσοφεῖν. Τὸ
„ γοῦν καθ' ἑαυτὸ δυνατὸν, καὶ ᾗ τοιοῦτον ἀντιφάσει οὐχ ὑποπίπτον, οὐκ ἂν αὐτίκα
„ ὑγιῶς ἐπιφέρων εἴποις, καὶ ἡμῖν αὐτοῖς διὰ τοῦτο, ἢ ὅλως ἀνθρωπίνῃ νοήσει εἶναι τὸ
„ αὐτὸ δυνατόν. Καί τοι γὰρ τοῦ ἀνθρωπίνου νοὸς, τῇ τῶν καθ' αὑτὸν ὀξέων ςενόντι
„ τοὺς ἀποχρῶντας ἁπανταχῇ λόγους ἀνιχνεύειν οὐκ ἔχοντος, τὰς γεμὴν αἰτίας ἁπά-
„ σας καὶ τοὺς λόγους τῶν ὄντων, εἰ καὶ μὴ ἀνθρωπίνῃ νοήσει, θείᾳ γοῦν ὄντως ἀνιχ-
„ νεύεσθαι δυνατόν. Ἐντεῦθεν ἄρα ξυνιδεῖν ἔχεις τὴν ἡμετέραν θέσιν οὐκ εἶθ' ὅπως
„ ἀξιοῦν τοῖς θείοις Μυςηρίοις Φιλοσοφικὴν ἡμῖν ἔρευναν ἐπιβάλλειν ἐξεῖναι, ἢ γοῦν ὀρμ-
„ λεσθαι· τοιαῦται καὶ γὰρ κλῆσθαι τὰ θεῖα Μυςήρια τυγχάνει γε ὄντα, ὧνπερ τοὺς

κνο-

„ ἀποχρῶντας λόγους ἀνθρωπίνῳ νοῒ τὸ θεῖον ἀπέκρυψεν· ὧν δὲ θεὸς τοὺς λόγους ἀπέ-
„ κρυψε Φιλοσοφεῖν περὶ τούτων ἀνθρώποις καὶ τῷ κατ' αὐτοὺς πεπερασμένῳ νοῒ, οὔτε
„ συγγνωστὸν, καὶ πανταχόθεν ἀδύνατον.

## ΙΗ΄.

Ἐκ τῶν εἰρημένων πρόδηλον, ὅτι ἤδ' ὅ, τι ἦν τῶν πραγμάτων, εἴτε θεολογικὸν εἴποις, εἴτε νομικὸν, εἴτ' ἰατρικὸν, εἴτ' ἦν ὁποιασδήποτ' ἐπιστήμης ἀνῆκον τοιαύτης ἔλαχε φύσεως, ὥστε Φιλοσοφεῖν περὶ τούτου καθ' αὐτὸ ὑπάρχειν ἀδύνατον.

„ Ταῦτ' ἄρα καὶ Βόλφιος (ἐν τῇ Λατινικῇ Λογικῇ παραγ. 39.) δυνατὴν φησὶν εἶναι δί-
„ κης, ἰατρικῆς, καὶ ὁποιασδηποτοῦν τεχνῶν ἄλλων Φιλοσοφίαν· τῇ τε γὰρ Νομικῇ καὶ
„ Ἰατρικῇ καὶ ταῖς λοιπαῖς τῶν τεχνῶν, ὁ ἀποχρῶν λόγος τῶν ἐν αὐταῖς γινομένων,
„ ἁπάσαις ὀφείλεται. Ἐκ τούτων ἔτι καὶ ἡ παρ' ἀνδρῶν σοφῶν, ὥς που μέμνημαι
„ προενεχθεῖσα ἐν μέσῳ, καταπεσεῖν δύναται ἥδε ζήτησις· μῶν εἶναί τις δυνηθείη φι-
„ λοσοφία ῥαπτικὴ, φέρ' εἰπεῖν, ἢ γεωργική;

## ΙΘ΄.

Ἐκ τῶν ἤδη προκατασκευασθέντων, οἷον πορίσματα ἀναφαίνονται αἱ ἑπόμεναι προτάσεις. Α΄. ὁ φιλοσοφῶν διώκειν ὀφείλει τῶν ἀληθειῶν τὴν συνάφειαν· (ΙΒ΄. ΙΕ΄.) Β΄. τῷ φιλοσοφοῦντι οὐ μόναις ἀγαπᾷν ὀφείλεται ταῖς αἰσθήσεσι, μάλιστα δὲ τὸν ὀρθὸν λόγον εἰς ἐπικουρίαν προσλαμβάνειν ἀνάγκη. (ΙΓ΄. ΙΕ΄.) Γ΄. τὸν φιλοσοφοῦντα δεικνύειν τὰς οἰκείας ἀληθείας ἐπάναγκες (Ις΄.)

## Κ΄.

Τὸ μὲν οὖν Φιλοσοφεῖν τίποτ' ἂν εἴη, ἐκ τῶν εἰρημένων ἤδη καταφανές· ἡμῖν δὲ πρὶν ἢ τὴν τῆς Φιλοσοφίας Ἔννοιαν ἀναπτύξασθαι, περὶ τῆς διττῆς ἐκείνης λήψεως τῆς Φιλοσοφίας φωνῆς ἀνδρῶν τοῖς πεπαιδευμένοις καὶ τῆς μάλα συνηθεστάτης ποιητέον τὸν λόγον· ἡ δὲ τῆς Φιλοσοφίας ἀμέλει φωνὴ παρά γε τοῖς ἐπιστήμοσιν, Α΄. τῷ λόγῳ τοῦ ἀντικειμένου καὶ συστηματικῶς, Β΄. τῷ λόγῳ τοῦ ὑποκειμένου, καὶ καθ' ἕξιν ἐκλαμβάνεσθαι εἴωθεν.

Ἤδη τ-

„ Η' διττὴ αὕτη σημασία τῆς Φιλοσοφίας φωνῆς μὴ ἐμμελῶς παρατηρημένη, ἐκ ἂν ἐποι„ τις, ὅσον τὴν Φιλοσοφίας ἰδέαν συνέχεε, λίαν σπανίας τῶν ἐς ἄκρον πεπαιδευμέ„ νων διαφυγόντων τὴν σύγχυσιν.

## ΚΑ'.

Τῷ μὲν ἐν λόγῳ τῇ ἀντικειμένῃ καὶ συστηματικῶς τὴν Φιλοσοφίαν λαμβανομένην, συνωδὰ τῷ περιβοήτῳ Ο'λμάνῳ ὁρίζομεν, παιδείαν εἶναι, ἢ ἐπιστήμην, λόγῳ μόνῳ γινωσκομένην, διακεκριμένως παραδιδᾶσαν, ὅ, τι ποτ' ἂν εἴη θεωρητέον, ἢ ποιητέον ἀνθρώπῳ ἐν ὁποιαδηποτῦν στάσει θεωρημένῳ, εἰς εὐδαιμονίας ἐπίτευξιν.

„ Τὸν ὁρισμὸν τῦτον παρ' Ο'λμάνῳ ἐςὶν εὑρεῖν ἔν τε τῇ διαλέξει περὶ γνησίας τῆς Φι„ λοσοφίας ἐννοίας §. Θ'. ϗ Ι'. ϗ ἐν τοῖς Προλεγομένοις τῆς εἰς ἅπασαν τὴν Φιλοσο„ φίαν εἰσαγωγῆς §. ΙΘ'. Ο῞τι δ' αὕτη ἡ λῆψις, καθ' ἣν ἡ Φιλοσοφία ἀληθινῶν Φι„ λοσοφικῶν συνάφειαν τῷ λόγῳ γινωσκομένην, ἤτοι σειρὰν ἀποχρώντων λόγων „ συνημμένων ἀλλήλοις, σημαίνει, τοῖς πεπαιδευμένοις, ἐκ ἀσύνηθές ἐςιν, ἐδὲ πρόσ„ φατος, διὰ πλειόνων συναποδείξω ἐν τῇ τῦ μαθήματος συνεχείᾳ σαφέςερον.

## ΚΒ'.

Τῷ λόγῳ δὲ τῇ ὑποκειμένῃ καὶ καθ' ἕξιν ἡ Φιλοσοφία θεωρημένη, ἐδὲν ἐςὶν ἄλλο, εἰμὴ ἕξις τῦ ἀνιχνεύειν καὶ καθορᾷν τὰς τῶν πραγμάτων, εἴτ' ἐν ἀληθειῶν ἀποχρῶντας λόγες τε καὶ αἰτίας. Η' δὲ ἕξις τῆς τῶν αἰτιῶν καὶ ἀποχρώντων λόγων ἐν τοῖς πράγμασι γνώσεως, ἐν τοιαύτῃ συνίςαται ἑτοιμότητι, οἷα δι' ἐλάττονος, ἤπερ ἄλλως ἔδει, χρόνε καὶ πόνε πλειόνων πραγμάτων αἰτίας γινώσκειν τε καὶ παραδιδόναι. Κατ' αὐτὰ δὴ καὶ Φιλόσοφος ὀρθῶς ἂν εἴη λεγόμενος, ὁ ἐν ἕξει ὢν τῦ ἀνιχνεύειν τὰς ἀποχρῶντας τῶν πραγμάτων λόγες καὶ αἴτια.

„ Οὐκ ἐνταῦθα ἡμῖν πρόκειται διὰ πολλῶν παραδῦναι, ὅθεν τε ϗ ὅπως αἱ Φιλόσοφος ϗ „ Φιλοσοφία φωναὶ τὸ πρῶτον ἤρξαντο λέγεσθαι, ἐδὲ γὰρ πάνυ λυσιτελὴς ἡμῖν „ ὧδε, ἡ τῶν ὀνομάτων ἁπάντων ϗ προσηγοριῶν ἀπαρίθμησις, αἷς τισιν ἡ Φιλοσο„ φία παρά τι τῶν πάλαι ϗ τῶν νῦν φιλοσοφέντων ἀξύμνηται, τὰ δ' ἀξιολογώτερα „ τῶν ἐνταῦθα σημειωμένων, ὁ βελει πληρέςερόν τε ϗ χαριέςερον, εὑρήσεις ἐκτε„ θειμένα παρὰ τῷ περιβοήτῳ Εὐμάνῳ, ἐν ταῖς Πράξ: τῶν Φιλοσόφ. Μέρ. Α'. Κεφ.

„ Β'. Ω'σαύτως Μέρ. Β. Κεφ. Δ. ὅρα Παρατηρ. Α'λας Τ. ϛ'. Παρατήρ. ΛΑ'. Η'μῶν
„ δὲ ἐν τῇ τῶ μαθήματος παραδόσει περί τε τῆς ἀρχῆς τῆς Φιλοσοφίας φωνῆς, ϗ τῶν
„ ποικίλων ταύτης ἐπωνυμιῶν τε ϗ λήψεων, ἀποχρῶσα γεννήσεται ἡ διδασκαλία.

## ΚΓ'.

### Τῷ λόγῳ τῶ ὑποκειμένω ἡ Φιλοσοφία ἔτι θεωρυμένη, Ε῞ξις Φιλοσοφικῆς γνώσεως ὀρθῶς λεκτέα ἐςί.

Δεικν. Ε'πειδὴ γὰρ ἡ Φιλοσοφία τῷ λόγῳ τῶ ὑποκειμένω, ἕξις ἐςὶ τῶ γινώσκειν τὰς τῶν πραγμάτων λόγες καὶ αἴτια (ΚΒ'.)· ἡ δὲ γνῶσις τῶν λόγων τε καὶ αἰτιῶν, Φιλοσοφικὴ λέγεται· (Ε'.) πρόδηλον, ὅτι τῷ λόγῳ τῶ ὑποκειμένω, ἡ Φιλοσοφία ἕξις φιλοσοφικῆς γνώσεως ὀρθῶς λεκτέα ἐςίν.

„ Ο'ρᾷς ἐντεῦθεν συνάδοντα τὸν καθ' ἡμᾶς τῆς Φιλοσοφίας ὁρισμὸν, τῷ παρὰ τῶ περιβοήτω Ρ'ενσχίω. Οὗτος γὰρ ἐν τῷ συςήματι τῆς Λογικῆς §. 50. ἕξιν τῆς Φιλοσοφικῆς γνώσεως τὴν Φιλοσοφίαν, ϗ ἐν ἕξει ὄντα τῆς Φιλοσοφικῆς γνώσεως τὸν Φιλόσοφον εἶναι ὡρίσατο,

## ΚΔ'.

### Φιλοσοφία τοιγαρῦν, καὶ Φιλοσοφικὴ γνῶσις πάμπαν ἀλλήλων διενηνόχατον.

Δεικν. Ε'πειδὴ γὰρ ἡ Φιλοσοφία ἕξις τῆς Φιλοσοφικῆς ἐςὶ γνώσεως (ΚΓ'.), ἡ δὲ τῆς Φιλοσοφικῆς γνώσεως ἕξις, καὶ ἡ κατ' ἐνέργειαν γνῶσις, ὁμοφωνύντων ἁπάντων, ἀλλήλων διενηνόχασιν· εὔδηλον ὖν, ὅτι ἡ Φιλοσοφία καὶ ἡ Φιλοσοφικὴ γνῶσις πάμπαν ἀλλήλων διενηνόχατον.

## ΚΕ'.

### Οὐ δῆτα Φιλόσοφον παραυτίκα λεκτέον τὸν τῶ ἀντικειμένω τῦδε, ἢ ἐκείνω Φιλοσοφικὴν γνῶσιν ἔχοντα.

Δεικν. Ε'πεὶ γὰρ Φιλόσοφός ἐςιν ὁ ἐν ἕξει ὢν τῶ διορᾷν τὰς αἰτίας καὶ τὺς ἀποχρῶντας λόγυς τῶν ὄντων (ΚΒ'.), ἑπόμενόν ἐςι τὸν Φιλόσοφον,

φον, Φιλοσοφικῆς γνώσεως ἕξιν ἐν ἑαυτῷ περιποιεῖσθαι ὀφείλειν (Ε'.)· ἡ δὲ τῆς Φιλοσοφικῆς γνώσεως ἕξις, τῆς Φιλοσοφικῆς διενήνοχε γνώσεως· (ΚΔ'.) ἄρα τὸν Φιλοσοφικὴν τῇ ἀντικειμένῃ τῆδε, ἢ ἐκείνῃ ἔχοντα γνῶσιν ἢ παραχρῆμα Φιλοσοφικῆς γνώσεως ἐν ἕξει εἶναι φαμέν· ἐξ ἧ συνάγεται ἡ παραυτίκα τὸν Φιλοσοφικῇ γνώσει τῆδε, ἢ ἑτέρᾳ κεκοσμημένον, λεκτέον εἶναι φιλόσοφον.

„ Καθάπερ τὸν Κεφάλαια ἄττα τῆς Πίστεως καὶ Οὐρανίου διδασκαλίας τῷ νῷ κατέ„ χοντα, οὐκ αὐτίκα παρὰ τοῦτο Θεολόγον ἀποκαλοῦμεν· ἕξις γὰρ προσαπαιτεῖ„ ται τῷ Θεολόγῳ τῇ διαβεβαιοῦσθαι τὰ οἰκεῖα καὶ καταβάλλειν τ' ἀλλότρια, ὡς „ ὀρθῶς παραινεῖ ὁ Ε'βενςράτιος ἐν τῷ Θεολογικῷ συςήματι. μέρ. Α'. Προλεγόμ. „ οὕτωσδήπερ ἡ δὲ τὸν ἑνός, ἢ δυοῖν αἰτίας καθορῶντα λεκτέον παρὰ τοῦτο Φιλόσο„ φον· τίς γὰρ ἂν ἀκούσας τῆδε κἀκείνου τὴν αἰτίαν ἀποδιδόντα τὸν ῥάπτην, ἢ ἕτε„ ρόν τινα τῶν χειροτεχνῶν, ἀποκαλοίη Φιλόσοφον;

## Κς'.

## Ο' Φιλόσοφος ὀφείλει ἐν ἕξει εἶναι τῇ δεικνύειν τὰ αὐτῷ καθομολογέμενα.

Δείκν. Ε'πείπερ ὁ Φιλόσοφος ἐν ἕξει ἐςὶ τῇ καθορᾶν τὰς λόγους τῶν ἀληθειῶν, καὶ τὰ αἴτια (ΚΒ'.)· ὁ δὲ τὰς λόγους τῶν ἀληθειῶν καὶ τὰς αἰτίας γινώσκων, ἤτοι ὁ Φιλοσοφῶν (Ις'.) τὰς οἰκείας ἀληθείας δεικνύειν ὀφείλει (ΙΘ'. Γ'.)· ἕπεται πάντως γε τὸν Φιλόσοφον ἀξιοῦντα καλεῖσθαι, ἐν ἕξει εἶναι ὀφείλειν τῇ ἀποδεικνύναι τὰ αὐτῷ καθομολογέμενα.

## ΚΖ'.

## Α'νάγκη τοιγαρῦν τὸν Φιλόσοφον ἐπιςήμῃ κεκοσμημένον εἶναι.

Δείκν. Διὰ τῆς ἐπιςήμης κυρίως καὶ ἰδιαίτερον λεγομένης, ἕξιν ἐννοῦμεν τῇ ἀποδεικνύειν τὰ αὐτῇ καθομολογέμενα. Ε'πειδὴ ὁ Φιλόσοφος ἐν ἕξει

 εἶναι

εἶναι ὀφείλει τῷ ἀποδεικνύειν τὰ αὐτῷ καθομολογύμενα (Κϛ′.)· προφανέστατον ἄρα τὸν Φιλόσοφον, ἐπιστήμῃ κεκοσμημένον εἶναι ὀφείλειν.

„ Ἐντεῦθεν νῦν συνετινοῦνται, ὐκ ἀνοικείως τὴν Φιλοσοφίαν τῷ λόγῳ τῷ ὑποκειμένῳ „ θεωρημένην παρὰ τῷ περιπύςῳ Βολφίῳ ὁρίζεσθαι, Ἐπιςήμην τῶν δυνατῶν καθὸ εἶναι „ δύνανται (Λογικ. Λατιν. §. 29, διὰ τύτυ δὲ τῷ ὁρισμῷ ηδ′, ὅτιὑν ἄλλο δηλῶσαι „ βυλομένῳ ἦν τῷ Βολφίῳ, πλὴν ὅτι Φιλοσοφίαν εἶναι την κατ' ἐνεργειαν τελειότη- „ τα τῦ ἡμετέρυ νοός, καθ' ἣν τὰς ἀληθείας ἀποδεικνύναι, ἤτοι τῶν ἀληθειῶν τὰς „ αἰτίας καὶ τὺς ἀποχρῶντας λόγυς καθορᾶν δυνάμεθα· πλείω περὶ τύτυ εἴρηθην παρα- „ δὺς ἐν τῇ ἡμετέρᾳ ὁριςικῇ Φιλοσοφίᾳ Ὁρισμ. Δ.

## ΚΗ′.

### Ὁ Φιλόσοφος ἀρχαῖς βεβαίοις τε καὶ ἀναμφιλέκτοις ἐποικοδομεῖν ὀφείλει τὰ αὐτῷ καθομολογύμενα.

Δεικν. Ἐπείπερ ὁ Φιλόσοφος ἐν ἕξει ἐςὶ τῷ δεικνύειν τὰς ἀληθείας, (Κϛ′.) τὰς δὲ ἀληθείας καὶ τὰ καθομολογύμενα ἀποδεικνύειν φαμὲν τὸν ταῦτα ἐξ ἀρχῶν βεβαίων καὶ ἀναμφιβόλων ὀρθῶς καὶ κατὰ κανόνα ἀλυσιδωτῇ συναφείᾳ παράγοντα (κατὰ τὸν ὁρ. τῆς δείξ:)· ῥᾶςα κατανοεῖται, ὡς ὁ Φιλόσοφος ἀρχαῖς βεβαίοις τε καὶ ἀναμφιλέκτοις ἐποικοδομεῖν ὀφείλει τὰ αὐτῷ καθομολογύμενα.

„ Τίνες μὲν εἰσὶν ἀρχαὶ ἀναμφίβολοι, ἀλλαχῦ ἀναπτύσσεται, ἑρμηνευθήσεται δ' ὅμως „ καὶ παρ' ἡμῶν ἐν τῇ τῦ μαθήματος ἐξηγήσει πλατύτερον. Ἐπὶ τὰς ἀναμφιβόλυς „ ταύτας ἀρχὰς ἀνάγονται. Α′. οἱ ὁρισμοί. Β′. τὰ ἀξιώματα, καὶ τῶν προτάσεων „ αἱ ταυτολογῦσαι, καὶ Γ′. αἱ πεῖραι, περὶ ὧν ἐν οἰκείῳ τόπῳ.

## ΚΘ΄.

Τούτων οὕτω διαληφθέντων, ἀνακαλύπτεται ἤδη ἡ μέθοδος, ᾗ χρηςέον τῷ Φιλοσόφῳ ἐπὶ τῇ τῶν ἀληθειῶν ἀναπτύξει· ἐν γὰρ ταύτῃ ϗ ἐν πᾶσιν αὐτοῦ τοῖς διανοήμασι, τάξιν δήπου προσληπτέον τῷ Φιλοσόφῳ, καθ᾽ ἣν αἱ βέβαιοι ἀρχαὶ ϗ ἀναμφιῤῥεπεῖς προηγοῦνται, ϗ ἐπερείδονται, κἀκ τούτων ὀρθῇ ϗ κατὰ κανόνα ἐπιφορᾷ, τὰ πάντα παράγονται.

Δεικν. Ἐπεὶ γὰρ τῷ Φιλοσόφῳ τοῦτο μάλιςα ἐν σπουδῇ ἔχειν χρεὼν, τὰ αὐτῷ δηλαδὴ καθομολογούμενα ἀρχαῖς ἀσφαλέσι καὶ ἀκραδάντοις ἐπιςηρίζειν (ΚΗ΄.), ἀνάγκη πάντως γε τοῦτον ἔντε τῷ διανοεῖσθαι καὶ ἐν τῷ ἀναπτύσσειν τὰς ἀληθείας τάξιν διασώζειν τοιαύτην, ἐν ᾗ τὰ βέβαια προκατασκευάζεσθαι, καὶ ἀντὶ θεμέθλου καὶ βάσεως αἱ ἀρχαὶ ὑποςρώννυνται. Κἀκ τούτων ὀρθῇ καὶ κατὰ κανόνα ἐπιφορᾷ τὰ λοιπὰ πάντα παράγονται.

„ Ἐπείπερ οὖν ἐπὶ τὰς βεβαίας ἀρχὰς οἱ ὁρισμοὶ, τὰ ἀξιώματα, ϗ αἱ πᾶσαι ἀνάγονται (ΚΗ΄.) ξυνίης ἄρα τίνα ποτ᾽ ἂν εἴη τὰ παρὰ τοῖς Φιλοσόφοις ἔντε συγγράμμασι ϗ λοιπαῖς διδασκαλίαις ὁμιλόμενα προηγοῦσθαι· ἢ γὰρ ὁρισμοὶ ἔσονται ταῦτα, ἢ ἀξιώματα, ἤγουν, ἀναμφιῤῥεπεῖς τε ϗ βέβαιοι πᾶσαι.

## Λ΄.

Ἐν τῇ τάξει τοιγαροῦν, ᾗ κέχρηται εἰς ἀνάπτυξιν τῶν ἀληθειῶν ὁ Φιλόσοφος προηγεῖσθαι χρεὼν τὰ εἰς κατάληψιν τῶν ἑπομένων συμβάλλοντα.

Δεικν. Ἐπειδὴ γὰρ ἡ τάξις, ᾗ κέχρηται ὁ Φιλόσοφος τὰς ἀληθείας παραδιδοὺς, ἀπαιτεῖ τὰς βεβαίας καὶ ἀναμφισβητήτους ἀρχὰς προηγεῖσθαι καὶ προςηρίζεσθαι (ΚΘ΄.)· αἱ δὲ ἀποδεικτικαὶ ἀρχαὶ, τοιαῦται προτάσεις εἰσὶν, ἐξ

ὧν

ὧν αἱ λοιπαὶ τῶν ἀληθειῶν ἐννοεῖσθαι καὶ καταλαμβάνεσθαι δύνανται, (κατὰ τὸν ὁρισμὸν) ἕπεται πάντως ἐν τῇ τάξει, ᾗ κέχρηται εἰς ἀνάπτυξιν τῶν ἀληθειῶν ὁ φιλόσοφος, προηγεῖσθαι χρεὼν τὰ εἰς κατάληψιν τῶν ἑπομένων συμβάλλοντα.

## ΛΑ΄.

**Ἡ τάξις ἔτι, ᾗ κέχρηται ὁ Φιλόσοφος ἐν τῷ παραδιδόναι τὰ δόγματα, ἀπαιτεῖ, μηδένα παρὰ τοὺς ἀκριβέσιν ὁρισμοῖς προαναπτυχθέντας προλαμβάνεσθαι ὅρον ἕτερον.**

Δείκν. Ἔνθα προηγεῖσθαι χρεὼν τὰ δι᾽ ὧν γινώσκονται τὰ ἑπόμενα, οὐδενὶ ὡς ἔτυχε χρηστέον ὅρῳ, εἰμὴ τοῖς δι᾽ ὁρισμῶν ὀρθῶς καὶ κατὰ κανόνα διορισθεῖσι· δεδόσθω γὰρ παραλαβεῖν τινὰ ὅρους, ἢ μηδ᾽ ὁπωσοῦν ὁρισθέντας, ἢ γοῦν ὁρισμοῖς οὐκ ἀκριβέσιν ἐκτεθέντας· Ἔσται ἤδη ἡ τῶν τοιούτων ὅρων σημασία, ἢ πάντῃ ἀσαφής, ἢ γοῦν ἀμφίβολος, καὶ οὐ παντάπασιν ὡρισμένη. Οὕτω δὲ πῶς ἂν ἔχοις, εἰπέ μοι, εἰς γνῶσιν τῶν ἑπομένων ἐλθεῖν; Ἐπεὶ δ᾽ ἔτι ἐν τῇ τάξει, ᾗ κέχρηται ὁ Φιλόσοφος τὰς ἀληθείας παραδιδοὺς, προηγεῖσθαι χρεὼν τὰ δι᾽ ὧν γινώσκονται τὰ ἑπόμενα (Λ΄.)· ἕπεται ἤδη τὴν τάξιν, ᾗ κέχρηται ὁ Φιλόσοφος, μηδένα παρὰ τοὺς ἀκριβέσιν Ὁρισμοῖς προαναπτυχθέντας προλαμβάνεσθαι ὅρον ἕτερον.

„ Σημειώσεως δὲ ἄξιον, ὅτι τὴν θέσιν ταύτην οὐ πάντῃ ἐκτεταμένως ληπτέον, οὐδ᾽ ἄνευ
„ συστολῆς τε καὶ μετριότητος, ὥστε τὴν τάξιν, ᾗ κέχρηται ὁ Φιλόσοφος, πάντας ἀ-
„ παιτεῖν ἁπλῶς ὁρίζειν τοὺς ὅρους, κἂν οἱ σαφέστατοι καὶ ἁπλούστατοι τύχωσιν ὄντες·
„ οὕτω γὰρ οὐδὲν ἂν εἴη τοῦ ὁρίζεσθαι πέρας. Οἱ τοίνυν ὅροι οἱ διὰ τῆς πείρας καὶ τῆς
„ κοινῆς αἰσθήσεως ἀποχρώντως ἐγνωσμένοι ὄντες καὶ βέβαιοι, ὡς τὰ πολλὰ παρὰ
„ τῷ Φιλοσόφῳ ἄνευ ὁρισμοῦ λαμβάνεσθαι δίκαιοι· περὶ οὗ κατωτέρω διὰ πλειόνων ἔν-
„ θα περὶ ἀναλύσεως ἐννοιῶν ἔσται ὁ λόγος.

## ΛΒ΄.

Ἡ τάξις, ᾗ κέχρηται ὁ Φιλόσοφος ἐν τῇ παραδόσει τῶν δογμάτων, Φιλοσοφικὴ μέθοδος λέγεται.

ΛΓ΄.

## ΛΓ'.

Ε'ν τῇ Φιλοσόφικῇ τοιγαροῦν Μεθόδῳ ἀπαιτεῖται. Α'. Οὐκ ἄλλον τινὰ ὅρον παραλαμβάνεσθαι, εἰμὴ τὸν ἀκριβῶς ὁρισθέντα, ἢ τῇ πείρᾳ ἤδη διορισθέντα, καὶ ἀλλαχόθεν ποθεν γνωσθέντα· (ΛΑ'. ΛΒ'.) Β'. Τὰ διανοήματα ἐξ ἀρχῶν βεβαίων παράγεσθαι, (ΚΘ'. ΛΒ'.) καὶ ἑπομένως τὰ συμπεράσματα ἀποδεικτικῶς ἐμπεδοῦσθαι (ΙΔ'.)· Γ'. Προηγεῖσθαι τὰ δι' ὧν τὰ ἑπόμενα γινώσκεται.

## ΛΔ'.

Ε'κ τῶν τῇ περιπύσῳ Βολφίου περὶ μαθηματικῆς Μεθόδου ὑπομνημάτων ἀναφαίνεται, τῇ Μαθηματικῇ μεθόδῳ ἀπαιτεῖσθαι ταυτί. Α'. Πάρα τοὺς δι' ὁρισμῶν ὑγιῶν ἀκριβῶς διορισθέντας ὅρους, μηδένα ἕτερον ἀόριστον καὶ πλανώμενον προσλαμβάνεσθαι. Β'. Α'ρχὰς ἀσφαλεῖς καὶ βεβαίας τίθεσθαι, κἀκ τούτων τὰ συμπεράσματα ὀρθῶς καὶ ἀποδεικτικῶς παράγεσθαι. Γ'. Προηγεῖσθαι τὰ ἐξ ὧν τὰ λοιπὰ νοεῖται καὶ ἀποδείκνυται. Ταύτην δὲ τὴν πρότασιν ἀποκαλεῖ Βόλφιος, νόμον τῆς Μαθηματικῆς μεθόδου ὑπέρτατον, ὅντινα δὴ καὶ πανταχοῦ διατηρητέον εἶναι ἀσφαλῶς ἀξιοῖ.

„ Ο' περικλεὴς Μύλλερος ἐν τῷ γενικῷ ἄρθρῳ περὶ ψευδῶν καὶ ἀληθῶν Φιλοσόφων,
„ ἐπιγραφομένῳ σελ. 60. τὴν αὐτὴν σχεδὸν ἔοικε τῷ Βολφίῳ περὶ μεθόδου Μαθη-
„ ματικῆς ἔχειν ἔννοιαν. Η' γὰρ Μαθηματικὴ, φησὶ, μέθοδος, ἣν καὶ ψυχὴν τῶν
„ σπουδῶν ἀποκαλοίης, καίτοι ἀπεχθοῦς παρὰ πολλοῖς οὔσης ταύτης τῆς κλήσεως, τοῖς
„ τρισὶ τούτοις νόμοις καὶ κανόσιν ἀποτελεῖται. Α'. Οὐδὲν ἐν τοῖς ὅροις ἀμφίβολον
„ καταλείπεσθαι, ἀλλ' ἕκαστα δι' ὁρισμῶν ἁρμοδίως καὶ ἀκριβῶς, ὡς οἴονται, διορίζε-
„ σθαι. Β'. Τὰς διανοήσεις καὶ συλλογισμοὺς οὐκ ἄλλως, εἰμὴ ἐξ ἀρχῶν ἐναργῶν, καὶ βε-
„ βαίων παράγεσθαι. Γ'. Α'παν συμπέρασμα ἀποδεικτικῶς ἐμπεδοῦσθαι, καὶ τὰς δείξεις
„ μηδ' ὁπωσοῦν τῆς τοῦ συλλογιστικοῦ σχήματος παρεκπίπτειν ὀρθότητος. Ο' Περι-
„ βόητος Α'γνη ἐν τῷ περὶ Μαθηματικῆς μεθόδου βιβλίῳ σελ. 75, πρόκριτον εἶναι
„ φησὶ τῆς Μαθηματικῆς μεθόδου κανόνα, τὸ τὰς ἀρχὰς ἐς ἀεὶ προηγεῖσθαι· τὰ
„ δ' ἐκ τῶν ἀρχῶν ταύτας ἕπεσθαι. Ε'νθεντοι ταύτην ὡρίσατο, τάξιν εἶναι τοῦ δια-
„ λαμβάνειν τὰς ἀληθείας, καθ' ἣν ἀπὸ τῶν ἀρχῶν διανοήμασι συνεχέσιν ἐπὶ τὰ ἐκ
„ τῶν ἀρχῶν, ἤτοι συμπεράσματα προχωροῦμεν.

## ΛΕ'.

### Ε'κ τέτων δῆλον, τὲς τῆς Μαθηματικῆς μεθόδε νόμες τοῖς νόμοις τῆς Φιλοσοφικῆς μεθόδε ταυτίζεσθαι.

*Δεικν.* Ε'πεὶ γὰρ τῇ Μαθηματικῇ μεθόδῳ τρία ταυτὶ ἀπαιτεῖται Α'. μηδ' ἕνα ἕτερον παραδέχεσθαι ὅρον, πλὴν τῶν ἀκριβῶς ὁρισθέντων. Β'. Τὰς ἀρχὰς προπαρασκευάζεσθαι, ὡς ἂν ἐκ τέτων ὀρθῇ καὶ κατὰ κανόνας ἐπιφορὰ παρακολεθεῖν ἔχῃ τὰ συμπεράσματα. Γ'. προηγεῖσθαι τὰ δι' ὧν τὰ λοιπὰ ἐννοεῖται, καὶ ἀποδείκνυται (ΛΔ'.)· τοῖς αὐτοῖς δὲ τετοισὶ νόμοις καὶ ἡ Φιλοσοφικὴ μέθοδος ἀπαρτίζεται· (ΛΓ'.) Ε'πεται ἄρα τὲς τῆς Μαθηματικῆς μεθόδε νόμες τοῖς νόμοις τῆς Φιλοσοφικῆς μεθόδε ταυτίζεσθαι.

## Λς'.

### Ο'ρθῶς ἐντεῦθεν συνάγεται τὴν Μαθηματικὴν μέθοδον τὴν αὐτὴν εἶναι τῇ Φιλοσοφικῇ.

*Δεικν.* Οἱ αὐτοὶ νόμοι συνιςῶσι τὴν αὐτὴν μέθοδον· τῆς δὲ Φιλοσοφικῆς καὶ Μαθηματικῆς μεθόδε οἱ αὐτοὶ εἰσὶ νόμοι· (ΛΕ'.) ἄρα ἡ Μαθηματικὴ καὶ Φιλοσοφικὴ ἐςὶ μία καὶ ἡ αὐτὴ μέθοδος.

## ΛΖ'.

### Ο' Φιλόσοφος ἐν τῷ παραδόναι τὰς ἀληθείας Μαθηματικῇ μεθόδῳ χρῆσθαι ὀφείλει.

*Δεικν.* Ε'πείπερ ὁ Φιλόσοφος παραδιδὲς τὰς ἀληθείας τοιαύτῃ τάξει ὁδεύειν ὀφείλει. Α'. Παρὰ τὲς ἀκριβῶς ὡρισμένες μηδένα παραδέχεσθαι ὅρον ἕτερον (ΛΑ'.) Β'. ἐξ ἀρχῶν βεβαίων καὶ ἀναντιῤῥήτων τὰ λοιπὰ πάντα παράγειν (ΚΘ'.)· τρίτον καὶ τελευταῖον προηγεῖσθαι, τὰ δι' ὧν γινώσκεται τὰ ἑπόμενα (Λ'.)· Τοῖς δὲ τρισὶ τέτοις ἡ Μαθηματικὴ ἀπαρτίζεται

μέ-

μέθοδος (ΛΔ΄.) δῆλον ἄρα, τὸν Φιλόσοφον ἐν τῷ παραδιδόναι τὰς ἀληθείας Μαθηματικῇ μεθόδῳ χρῆσθαι ὀφείλει.

Εἶχεν ἂν τὸ αὐτὸ δειχθῆναι καὶ οὕτως. „ Ἡ τάξις ᾗ κέχρηται ὁ Φιλόσοφος τὰς ἀληθείας παραδιδοὺς, μέθοδός ἐστι Φιλοσοφική, (ΛΒ΄.) ἡ δὲ Φιλοσοφικὴ ἡ αὐτή ἐστι τῇ Μαθηματικῇ (Λϛ΄.), Ἄρα ἡ τάξις, ᾗ κέχρηται ὁ Φιλόσοφος ὀφείλει εἶναι μέθοδος Μαθηματική. Περὶ τῆς Μαθηματικῆς μεθόδου, τῆς καὶ Ἀποδεικτικῆς καλουμένης ἢ Γεωμετρικῆς, ἔτι δὲ μεθόδου Φυσικῆς, Ἐπιστημονικῆς, Διδακτικῆς καὶ συστηματικῆς. Λογικῆς τε καὶ Φιλοσοφικῆς ἐν τῇ σαφηνείᾳ τοῦ μαθήματος διὰ πλειόνων ἑρμηνευθήσεται. Διαλαβοῦσι μέχρι τοῦδε περὶ μεθόδου, ᾗ χρηστέον τῷ Φιλοσόφῳ, νῦν ἤδη περὶ τοῦ στύλου, ᾧ χρηστέον αὐτῷ παραδιδόντι τὰς ἀληθείας, ἐν ὀλίγοις διασκεψόμεθα.

## ΛΗ΄.

Στύλος Φιλοσοφικὸς καλεῖται τὸ τοῦ λέγειν ἢ γράφειν γένος, ᾧ κεχρῆσθαι ὀφείλει ἐν τῷ παραδιδόναι τὰ δόγματα ὁ Φιλόσοφος.

## ΛΘ΄.

Ἐπίλεκτός ἐστι τοῦ Φιλοσοφικοῦ στύλου νόμος ἥδε ἡ πρότασις· ἐν τῷ Φιλοσοφικῷ στύλῳ τῆς ἐναργείας λόγον ποιητέον τὰ μάλιστα.

Δείκν. Ἐπειδὴ γὰρ ὁ Φιλόσοφος ἐν τῷ παραδιδόναι τὰς ἀληθείας ὀφείλει· Α΄. μηδένα ὅρον παραλαμβάνειν ἀόριστον καὶ ἀμφίβολον, ἀλλ᾿ ἅπαντας ὀρθῶς καὶ ἐξηκριβωμένως ὁρίζειν, (ΛΕ΄.) Β΄. προσλαμβάνειν τὰ δι᾿ ὧν τὰ ἑπόμενα ἐννοεῖται καὶ ἀναπτύσσεται (Λ΄.)· συνάγεται τοιγαροῦν μηδ᾿ ὅ, τιοῦν ἄλλο παραδέχεσθαι τὸν Φιλόσοφον παραδιδόντα τὰς ἀληθείας, εἰμὴ ὅ, τι ἀποχρώντως κατανοεῖται. Ἔνθα δὲ οὐδὲν ὅλως παραδεκτέον, εἰμὴ τὸ γινωσκόμενον ἀποχρώντως, ἐν τοῖς μάλιστα ποιητέον εἶναι λόγον τῆς ἐναργείας σαφές· συνεννοεῖται ἄρα ἐκ τούτου, ἐπὶ τοῦ Φιλοσοφικοῦ στύλου τῆς ἐναργείας γίνεσθαι λόγον τὰ μάλιστα.

## Μ΄.

Ἐντεῦθεν αἱ ἑπόμεναι ἀναφαίνονται θέσεις. Α΄. Πᾶν ὅ,τι τῇ ἐναργείᾳ παρενοχλοίη, τοῦ Φιλοσοφικοῦ ςύλου ἐξοριςέον εἶναι εἰκότως κρίνεται. Β΄. Ἐπὶ τοῦ Φιλοσοφικοῦ ςύλου ἐν ἁπάσῃ φωνῇ καὶ ἑκάςῃ φράσει ὡρισμένην τίθεσθαι σημασίαν. Γ΄. Ἐκ τούτων πρόδηλον, ὅτι πάντα λόγου κομμὸν τῇ γλαφυρότητι τὴν σαφήνειαν παραβλάπτοντα, τοῦ Φιλοσοφικοῦ ςύλου ἀποδιοπομπεῖσθαι χρεών.

„ Οὔκουν παρὰ τοῦτο βάρβαρον ἀξιοῦμεν εἶναι τὸν Φιλοσοφικὸν ςύλον, ἢ γοῦν τραχύν τε
„ καὶ ἀκαλλώπιςον, καὶ πάσης ὅλως κομψότητος ἄμοιρον. Ἔκσπονδον γὰρ οὖσαν τῇ
„ σαφηνείᾳ τὴν τῶν λόγων εἰκότως ἀποτροπιαζόμεθα γλαφυρότητα. Ἐκείνης δέ, διε-
„ λαττωμένης τῆς καλλονῆς τῶν λόγων, τοσοῦτόν γε δὴ παραμελεῖν, καὶ τῶν τῆς Φιλο-
„ σοφίας ὁρίων ἀποῤῥαπίζεσθαι, ὥςε καὶ ἀποδεχομένους ταύτην ἀσμένως, ἐν τοῖς
„ ἐπαινετοῖς καταλέγειν. Συμβὰν δ' ὡς εἴωθε γίνεσθαι τὰ πολλά, τῇ ἐναργείᾳ ταύτην
„ παρενοχλεῖν, οὐκ ἂν ὑποδιαιτητῇ Φιλοσόφῳ ἐν δευτέρῳ τιθεμένῳ τοῦ ἔσω τὸν ἔξω
„ καλλωπισμόν, τὴν νικῶσαν εἴη λαβεῖν τὴν κομψότητα.

# ΚΕΦΑ'ΛΑΙΟΝ Β'.

## Περὶ μερῶν καὶ διαιρέσεως τῆς Φιλοσοφίας.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΜΑ'.

Επείπερ ἡ Φιλοσοφία, συστηματικῶς εἰλημμένη, τὰ τοῦ ἀνθρώπου ἐν ὁποιαδηποτοῦν στάσει θεωρουμένου, θεωρητέα παραδίδωσιν, ἢ πρακτέα εἰς εὐδαιμονίας ἐπίτευξιν (ΚΑ'.)· κατάδηλον ἄρα εὐδαιμονίας ἐπηβόλοις ἐσομένοις ἡμῖν, τὰς μὲν τῶν ἀληθειῶν γνωστὰς εἶναι μόνον ὀφείλειν, τέλος ποιουμένοις τὴν θεωρίαν· τὰς δ' ἀφορώσας εἰς πρᾶξιν διαμορφοῦν τὰς ἡμῶν ἐνεργείας, καὶ διευθύνειν ἐπὶ τὸ τὴν ἀληθῆ ἑαυτοῖς εὐδαιμονίαν περιποιήσασθαι.

### ΜΒ'.

Θεωρητικὸν μὲν οὖν μέρος τῆς Φιλοσοφίας ἀκούει, ὅσον ἀληθείας περιέχον τὰς ἀναγκαίας εἰς εὐδαιμονίας ἐπίτευξιν τὰς βάσεις μόνον καὶ τὰ κινοῦντα ἐπὶ τὴν πρᾶξιν παραδίδωσι, μηδένα ποιοῦν λόγον ἀμέσως τῇ διευθύνσει τὰς ἐλευθέρας ἐν ἀνθρώποις ἐνεργείας πρὸς εὐδαιμονίας ἐπίτευξιν. Πρακτικὸν δὲ τὸ τὰς ἡμετέρας ἐνεργείας διαμορφοῦντα, καὶ πρὸς ἀληθοῦς εὐδαιμονίας ἐπίτευξιν διϊθύνοντα παραγγέλματα χορηγοῦν, ταυτὸν δ' εἰπεῖν, τὸ τὴν ἐφαρμογὴν τῆς θεωρίας εἰς πρᾶξιν ἐξαιρέτως διδάσκον.

### ΜΓ'.

Ἡ φύσις οὖν τοῦ ἀντικειμένου περὶ ὃ ἡ Φιλοσοφία συστηματικῶς νοουμένη ἐνασχολεῖται, εἰς Θεωρητικὴν καὶ Πρακτικὴν διαιρεῖσθαι, ἀπαιτεῖ, τὴν Φιλοσοφίαν (ΜΑ'. ΜΒ'.)

„ Οὐχ ἧττον ἀρχαία, ἢ ἐντελὴς, καὶ τῇ Φιλοσοφίᾳ ἐξισουμένη ἡ διαίρεσις αὕτη, ἅτε δὴ
„ τῶν τῇ Φιλοσοφίᾳ περιλαμβανομένων, οὐκ ἔσθ' ὅτε μὴ δυναμένου τῶν μερῶν τούτων

„ ἀνάγεσθαι ἐπὶ θάτερον. Τὰ δὲ παρὰ τοῦ Βυμάκ τοῦ πάνυ ἐν ταῖς πράξεσι τῶν
„ Φιλοσόφων Τόμ. Α΄ σελ. 100. κατὰ τῆς διαιρέσεως ταύτης ῥηθέντα, Φιλοσο-
„ φίαν ἅπασαν εἶναι πρακτικὴν οἰομένου, ἐν τῇ ἀναπτύξει ἀναμνησθήσεται παρ᾽ ἡμῶν,
„ ϗ ὡς εἰκὸς ἀνασκευασθήσεται. Τί δ᾽ ἂν εἴη ὑποληπτέον περὶ τῆς κατὰ τὴν πάλαι
„ διαιρέσεως τῆς Φιλοσοφίας, εἰς Ὀργανικήν τε ϗ Ἀρχικήν. Ἔτι τε μὴν ϗ περὶ
„ διαιρέσεως τῆς Φιλοσοφίας εἰς Αἱρετικὴν ϗ Ἐκλεκτικήν, διαφιλέστερον ϗ τοῦτο παρ᾽
„ ἡμῶν ἐν τῇ παραδόσει τοῦ μαθήματος ἐκτεθήσεται.

## ΜΔ΄.

### Ἡ Θεωρητικὴ Φιλοσοφία, ἤτοι περὶ τὰ συγκεκριμένα τῇ ὕλῃ, ἢ περὶ τὰ κεχωρισμένα ταύτης ἐνασχολεῖται.

Δεικν. Ἐπείπερ ὁσαδηποτοῦν τῷ λόγῳ γινώσκομεν, ἤτοι ὑλικὰ πάντως ἐστίν, ἢ ἄϋλα (κατὰ τὰς ἀρχὰς τῆς Ὀντολογίας)· ἡ δὲ Θεωρητικὴ Φιλοσοφία μόνα παραδίδωσι τὰ εἰς θεωρίαν ἀφορῶντα τοῦ λόγου (ΜΒ.)· πρόδηλον οὖν, ὅτι ἡ Θεωρητικὴ Φιλοσοφία ἢ περὶ τὰ ὑλικά, ἢ περὶ τὰ ἄϋλα ἐνασχολεῖται.

## ΜΕ΄.

### Τῆς Θεωρητικῆς Φιλοσοφίας κατ᾽ ἐξοχὴν εἰσὶ μέρη, ἡ περὶ τὴν φύσιν Φιλοσοφία ἤτοι ἡ Φυσική, ϗ ἡ Πνευματολογία, τουτέστιν ἡ περὶ τῶν πνευμάτων διδασκαλία.

Δεικν. Ἐπείπερ ἡ Θεωρητικὴ Φιλοσοφία, ἤτοι περὶ τὰ ὑλικά, ἢ περὶ τὰ ἄϋλα καταγίνεται (ΜΔ΄.), εἰς δὲ τὰ ὑλικὰ τὰ σώματα ἀναφέρεται, ἑπόμενόν ἐστι τὴν Θεωρητικὴν Φιλοσοφίαν διδασκαλίαν εἶναι περὶ σωμάτων. Ἀλλ᾽ ἡ ἐπιστήμη τῶν σωμάτων, ἤτοι τῶν ἐν τοῖς σώμασι δυνατῶν, Φυσικὴ καλεῖται· Ἄρα ἡ Φυσικὴ μέρος τι ἐστὶ τῆς Θεωρητικῆς Φιλοσοφίας. Ἐπεὶ δ᾽ εἰς τὰ ἄϋλα τὰ πνεύματα ἀναφέρεται, ἡ δὲ τῶν πνευμάτων ϗ τῶν τοῦ πνεύματος διαθέσεων ἐπιστήμη, Πνευματολογία λέγεται· δῆλον οὖν ὅτι καὶ τὴν πνευματολογίαν τῆς Θεωρητικῆς Φιλοσοφίας ὑπάρχειν μέρος· ἡ Φυσικὴ ἄρα καὶ Πνευματολογία, μέρη τῆς Θεωρητικῆς Φιλοσοφίας εἰσὶν ἐξαίρετα.

Σω-

„ Σώματα δὲ ἡ Φυσικὴ θεωρῦσα, τῇ τῶν σωμάτων ἰδικῶς θεωρημένων διαφορᾷ εἰς διάφορα μέρη διήρηται· ἐντεῦθεν γὰρ ἀναφαίνεται. Α΄. ἡ Μετεωρολογία, ἤτοι ἡ ἐπιςήμη τῶν ἐν τῇ Ἀτμοσφαίρᾳ γινομένων· οἷον ὑετῦ, ἴριδος κτλ. Β΄. Ἡ Ὀρυκτολογία, ἤτοι ἡ ἐπιςήμη τῶν ὀρυκτῶν. Γ΄. ἡ Ὑδρολογία ἤτοι ἡ ἐπιςήμη τῶν ὑδάτων. Δ΄. Ἡ Φυτολογία, ἡ ἐπιςήμη δηλαδὴ τῶν φυτῶν, αὕτη δὲ ταύτῃ Βοτανολογίαν, τὴν ἐπιςήμην φημὶ τῶν χόρτων, ϗ τὴν Δενδρολογίαν, τυτέςι τὴν ἐπιςήμην τῶν καρπῶν ϗ δένδρων συμπεριείληφε. Ε΄. Ἡ Φυσιολογία, ἥτις ἐςὶν ἐπιςήμη τῦ ἐμψυχωμένυ σώματος. Ἐπεὶ δ᾽ ἔτι ταῖς τῶν σωμάτων μεταβολαῖς, οἰκεῖόν τι τέλος ἁπάσαις πρόσεςι, ϗ τὰ φυσικὰ πάντα λόγων εὐμοιρεῖ, λαμβανομένων ἀπὸ τῶν χρήσεων ϗ τελῶν, ὡς ἃ τὸ θεῖον ἀπεῖδε μάτην δημιυργῆσαι οὐδέν· Εἰδικὴ ἐντεῦθεν ἀναφαίνεται ἐπιςήμη, Τελεολογία καλυμένη, ἥτις ἐπιςήμη ἐςὶ τελῶν τῶν ἐν τοῖς φυσικοῖς. Ταῦτα μὲν ἐς τόδε περὶ Φυσικῆς, ἤτοι τῆς τῶν ὑλικῶν ἐπιςήμης, ϗ τῶν καθ᾽ εἶδος ταύτης μερῶν. Τῆς δὲ πνευματολογίας τὰ περὶ πνευμάτων ἡμῖν τῇ χαραγωγίᾳ τῷ λόγῳ γινωσκόμενα περιεχύσης, κἀπὶ τὰ πνεύματα τὰ τῷ λόγῳ γινωσκόμενα τῦ τε Θεῦ ϗ τῆς Ψυχῆς ἀνηκόντων, δύο ἐντεῦθεν ἰδικαὶ ἀναφύονται ἐπιςῆμαι· ὧν ἡ α΄. Θεολογία λέγεται Φυσική, ἤτοι ἐπιςήμη περὶ Θεῦ, ϗ τῶν ἐκείνῳ προσδιδομένων, ϗ ἔργων· ἡ δ᾽ ἑτέρα Ψυχολογία, ἤτοι ἐπιςήμη περὶ Ψυχῆς ϗ τῶν ἐκείνης παθῶν ϗ ἐνεργειῶν. Ἐπειδὴ τῶν ὅσα περὶ Ψυχῆς ἔχομεν εἰπεῖν εἰδότας· ἤτοι διὰ τῆς πείρας ἡμῖν, ἢ διὰ συλλογισμῶν τῶν ἐκ ταύτης παραγομένων ἡ γνῶσις προσγίνεται, διττὴ ἐντεῦθεν ϗ ἡ Ψυχολογία ἐμπειρική τε ϗ λογική. Ἐπειδὴ δὲ τέλος τῶν τε ὑλικῶν, ϗ τῶν ἀύλων, ἐςί τις πρὸς ἄλληλα κοινωνία, ἐννοιῶν τινῶν ἐν ἑκατέροις ὅλως συνερχομένων, ἐπιςήμη τις ἐντεῦθεν ἀποτελεῖται τὰ τοῖς ὑλικοῖς τε ϗ ἀύλοις κοινὰ διαλαμβάνυσα γενικώτερον, ϗ αὕτη ἐςὶν ἡ Α΄. Φιλοσοφία λεγομένη ἤτοι ἡ Μεταφυσική, ἐν ᾗ διακεκριμένως αἱ καθολικώταται ἀλήθειαι, ϗ κοινόταται ἐκτίθενται ἔννοιαι. Προσέθηκε δὲ ὁ Βόλφιος ἰδίαν ἐπιςήμην, ἣν Κοσμολογίαν ἀποκαλεῖ, τὰ τῦ κόσμυ γενικώτερον ἐκλαμβανόμενα ἀποδιδόμενα ἀναπτύσσυσαν, ϗ ταύτην ἐπὶ τὴν Μεταφυσικὴν ἀναφέρει τέτταρσι ταύταις ἀπαρτιζομένην σύμπασαν ἐπιςήμαις. Α΄. Ὀντολογία φημί, Β΄. Κοσμολογία, Γ΄. Ψυχολογία τῇ τε ἐμπειρικῇ ϗ τῇ λογικῇ. Δ΄. ϗ τελευταῖον τῇ Φυσικῇ Θεολογία. "

## Μϛ΄.

Ἐπὶ τὴν πρακτικὴν Φιλοσοφίαν, μέρος ὅσαν τῆς ὅλης Φιλοσοφίας, ἐν ᾧ παραγγέλματα παραδίδονται εἰς εὐθέτησιν τῆς ἡμετέρας θελήσεως, ἐν τῷ ἐφορμᾶν μὲν πρὸς τὸ ἀγαθόν, ἀφορμᾶν δὲ τῦ μὴ τοιύτυ, συντείνοντα ἀναφέρονται αἱ ἑπόμεναι. Α΄. ἡ καθ᾽ ὅλυ Πρακτικὴ Φιλοσοφία τῶν λοιπῶν ἠθικῶν ἐπιςημῶν προκατασκευάζομένη, καὶ τὰ γενικώτατα τῶν τῦ ἀνθρώ-

θρώπου ἐλευθέρων ἐνεργειῶν θεωροῦσα (οὐ κἂν ἁμάρτοι τις, οἶμαι, **Μεταφυσικὴν** τῆς ἠθικῆς **Φιλοσοφίας** ταύτην ἀποκαλῶν, ὡς ἐν αὐτῇ τῶν γενικωτέρων ἠθικῶν ἐννοιῶν διασαφουμένων) Β΄. ἡ Ἠθικὴ ἐπιστήμη οὖσα τοῦ διευθύνειν τὰς ἐλευθέρας τῶν ἀνθρώπων ἐνεργείας ἐν στάσει τῇ Φυσικῇ, ᾗ ζῶντες εἰσὶν ἐκτὸς τῆς πολιτικῆς ἑταιρείας. Γ΄. Τὸ τῆς **Φύσεως δίκαιον**, ἐν ᾧ ἡ τῶν καθηκόντων πρᾶξις διδάσκεται τ᾽ αὐτὸν δ᾽ εἰπεῖν, ἐν ᾧ ἐκτίθενται τίνας ἐπιδιώκειν ὀφείλομεν, καὶ τίνας ἔμπαλιν ἐκφεύγειν ἐνεργείας χρεών. Δ΄. Ἡ **Πολιτική**, ἥτις ἐστὶν ἐπιστήμη διευθύνουσα τὰς ἐλευθέρας τῶν ἀνθρώπων ἐνεργείας ἐν τῇ πολιτικῇ Ἑταιρείᾳ. Ε΄. Ἡ Οἰκονομικὴ ἐπιστήμη οὖσα τοῦ διευθύνειν τὰς ἐλευθέρας ἐνεργείας τῶν ἀνθρώπων ἐν ταῖς ἁπλαῖς Ἑταιρείαις, ἁπλαῖ δ᾽ Ἑταιρεῖαι εἰσὶν αἱ γαμήλιοι, αἱ πατρικαὶ καὶ δεσποτικαί.

„ *Ἀποδεκτέα ἐστὶν ἐνταῦθα ἡ κατὰ Ὀλμάννον τῆς Πρακτικῆς Φιλοσοφίας διαίρεσις*
„ *Ἐκεῖνος γὰρ ἀπὸ τῆς τοῦ τέλους διαφορᾶς τὰς Πρακτικὰς παράγει ἐπιστήμας·* „ *Ἡ*
„ *Πρακτική, λέγων, Φιλοσοφία, οἷα δὴ τὰς ἡμετέρας ἐνεργείας εἰς τὴν κατ᾽ ἄνθρωπον*
„ *εὐδαιμονίαν ἐσωτερικήν, ἢ ἐξωτερικὴν οὖσαν διευθύνειν διδάσκουσα, καὶ περὶ ταύτην πα-*
„ *ραδιδοῦσα, ἢ ὅσον τοῦ δικαίου, ἢ ὅσον ἐστὶ τῆς φρονήσεως, εἰς τὴν ἠθικὴν εἰκότως, νο-*
„ *μικὴν καὶ πολιτικὴν διανέμεται. Ὅρα τὴν ἐκείνου ὑστέραν διάλεξιν, περὶ τῆς μεταμορφωθείσης*
„ *Φιλοσοφίας* §. *Ζ΄. σελ.* 13. *καὶ κατωτέρω. Ἐπὶ δὲ τὰς* **Πρακτικὰς** *ἐπιστήμας καὶ τὴν Λο-*
„ *γικὴν ἀναφέρεσθαι οὐδὲν ἐμποδών. Διδάσκει γὰρ ἡ αὐτή, ὅπως ἂν ἔχοιμεν ὀρθῶς χρῆσθαι*
„ *τῇ ἡμετέρᾳ διανοίᾳ εἰς γνῶσιν τῆς ἀληθείας, καὶ ἀποπλανήσεως ἐκτροπήν, καὶ ἑτοιμένως*
„ *ἔχειν αὐτὴν ξυνορᾶν ἀμέσως καὶ ἰθυβόλως εἰς πρᾶξιν ἀφορᾶν καὶ ἡμετέραν εὐδαιμονίαν.*

*Τὰ μὲν οὖν ἐν τῷ τῆς Φιλοσοφίας περιβόλῳ κυριώτερα περιεχόμενα μέρη ταῦτα ἐστί. Περὶ δὲ τῆς τάξεως, καθ᾽ ἣν ἕκαστον τούτων διαληπτέον, δεῖν ᾠήθην τὰς κατωτέρω θέσεις ὑποσυνάψαι.*

Α΄. *Ἐν τῷ καταμανθάνειν τὰς Φιλοσοφικὰς παιδείας, αὕτη γενικῶς παρατηρητέα ἐστὶν ἡ τάξις, καθ᾽ ἣν προηγοῦνται τὰ εἰς ῥᾳοτέραν κατάληψιν τῶν ἑπομένων συμβαλλόντα (Λ) ὅθεν*

*Β. Τὸν πρῶτον τοῦ διδάσκεσθαι τόπον, τὴν Λογικὴν ἐπέχειν χρεών, ἅτε δὴ κανόνας παραδιδοῦσαν, δι᾽ ὧνπερ ὁ ἡμέτερος νοῦς εἰς γνῶσιν τῶν λοιπῶν ἀληθειῶν διευθύνεται.*

*Γ΄. Ἡ Μεταφυσική, ἤτοι ἡ πρώτη Φιλοσοφία προηγητέα τῆς Ἠθικῆς.*

*Δ΄. Ἡ Μεταφυσικὴ προηγητέα καὶ τῆς Φυσικῆς.*

*Ε΄. Τὰ δὲ τῆς Μεταφυσικῆς μέρη διατάττεσθαι χρή, ὥστε τὸν πρῶτον τόπον ἐν τῇ παραδόσει τὴν Ὀντολογίαν ἐπέχειν, δεύτερον τὴν Κοσμολογίαν, τρίτον τὴν Ψυχολογίαν, καὶ τέταρτον τὴν Φυσικὴν Θεολογίαν.*

„ *Τοὺς τῶν θέσεων τούτων λόγους ἰδικῶς ἀποδώσομεν ἐν τῇ τοῦ Μαθήματος παραδόσει,*
„ *ὅσα ἐστὶ καὶ περὶ τῆς ἰδικωτέρας τῶν λοιπῶν ἐπιστημῶν τάξεως ὑποσυνάψοντες διδακτέα.*

ΛΟ.

# ΛΟΓΙΚΗ͂Σ

## ΠΡΟΛΕΓΟ΄ΜΕΝΑ.

### ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΜΖ΄.

Πρὶν ἢ τί τὸ ἐςιν ἡ Λογικὴ παραδȣ͂ναι, πρȣ͂ργȣ προσενεγκεῖν εἰς εὐκρινεςέραν κατάληψιν τῶν ῥηθησομένων, θέσεις τινὰς ἐν τοῖς μάλιςα συμβαλȣ͂σας.

### ΜΗ΄.

Τῇ τε πείρᾳ καὶ τῇ κοινῇ αἰσθήσει χρώμενοι διδασκάλοις, Φυσικῇ τινὶ ἑαυτȣ͂ς καθωπλίσθαι δυνάμει μανθάνομεν, δι' ἧς γινώσκομεν, ἢ διακρίνομεν τ' ἀληθὲς, ἢ τελευταῖον λόγȣ ἀποτελȣ͂μεν, ἤτοι διανοȣ͂μεθα.

### ΜΘ΄.

Ἡ Φυσικὴ αὕτη τȣ͂ κρίνειν καὶ διανοεῖσθαι δύναμις, γυμνασίᾳ τε καὶ συνεχεςέρᾳ χρήσει, εἰς τοσȣ͂τον τελειότητος ἀφῖκται παρά τισιν, ὥςε μὴ μόνον, ἥτις ἐςὶν ἐν ἑκάςῳ ἀλήθεια διορᾷν, ἀλλ' ἔτι καὶ ὁποία τις αὕτη, δύνασθαι κρίνειν.

### Ν΄.

Ὅ, τι ἂν γινώσκοντι, ἢ κρίνοντι τῷ ἡμετέρῳ νοΐ, κανόσι τισὶ χρεὼν διευθύνεσθαι εἰς γνῶσιν τῆς ἀληθείας· ὅ, τι δήποτε γὰρ, φησὶν ὁ Κρόσας, ἐν τῇ Λογ. Λατιν. σελ. 1. ὀρθῶς ἢ ἑτέρως δύναται πίπτειν, ἀνάγκη ἐςὶ, νόμοις ὑποκείμενον τῷ ἀκριβεῖ κανόνι δοκιμάζεσθαι τȣ͂το, καὶ τοιȣ͂τον εὑρίσκεσθαι, οἷον πέφυκε.

## ΝΑ΄.

Τοῦ ἐν χρήσει τε καὶ συνεχεστέρᾳ γυμνασίᾳ ἤτω τὴν Φυσικὴν τῦ κρίνειν ϗ διανοεῖσθαι δύναμιν ἐξασκήσασιν, ὥςε γινώσκειν καὶ διακρίνειν δύνασθαι τ᾽ ἀληθές, τύτοις ἤδη τὴν Φυσικὴν Λογικὴν ἀπονέμομεν, ὅθεν ἄλλο ἦσαν, ὅτι μὴ ἡ τῦ κρίνειν καὶ διανοεῖσθαι Φυσικὴ ἡμῶν δύναμις, χρήσει καὶ γυμνασίᾳ ὁπωσῦν ἠσκημένη· εἴτ᾽ ἦν, ὡς ὡρίσατο Βόλφιος, Φυσική τις διάθεσις τῇ κοινῇ γυμνασίᾳ προηγμένη εἰς ἕξιν τῦ διευθύνειν τὰς τῦ νοὸς ἐνεργείας, ἤτοι τὴν γνωστικὴν δύναμιν εἰς γνῶσιν τῆς ἀληθείας. ὅρα Λογ. Λατιν. τῦ αὐτῦ σελ. 109.

## ΝΒ΄.

### Δίδοται ὅλως Λογικὴ Φυσική.

Δεικν. Ἐπειδὴ γὰρ ὡς ἡ πεῖρα διδάσκει, Φυσικῇ τινὶ καθωπλίσμεθα τῇ κρίνειν δυνάμει, καὶ ταύτην ἔχομεν εἰς τοιαύτην τελειότητα ἀγαγεῖν, ὥςε τ᾽ ἀληθὲς τῦ μὴ τοιύτυ διαγινώσκειν ἡμῖν ἐξεῖναι (ΜΗ΄.), ἡ δὲ φυσικὴ τῦ κρίνειν δύναμις γυμνασίᾳ τελειωθεῖσα, Λογικὴ Φυσικὴ καλεῖται, (ΝΑ΄.) πρόδηλον ἄρα τὴν Φυσικὴν Λογικὴν ὅλως δίδοσθαι.

„ Τὴν πρότασιν ταύτην διὰ πλειόνων παραδειγμάτων ἐν ταῖς ἡμετέραις τῦ μαθήματος
„ ἐξηγήσεσιν ἀσφαλισόμεθά τε καὶ ἐκδηλώσομεν. πρὸς δὲ ϗ περὶ τῆς μεθόδου γίνε-
„ σθαι διαιρέσεως τῆς Φυσικῆς Λογικῆς, ὡς ἔμφυτον ϗ ἐπίκτητον, διασκεψόμεθα,
„ ὅ, τι χρὴ ϗ ὑπολαμβάνειν.

## ΝΓ΄.

### Τὺς κεχρημένυς τῇ Φυσικῇ Λογικῇ, ἐπὶ τῇ γνώσει τῆς ἀληθείας, ἀνάγκη κανόσι τισὶ διευθύνεσθαι.

Δεικν. Ἐπεὶ γὰρ οἱ τῇ Φυσικῇ Λογικῇ κεχρημένοι, γινώσκυσιν, ἢ κρίνυσι τ᾽ ἀληθὲς (ΝΑ΄.), ὁ δὲ ἡμέτερος νῦς γινώσκειν ἢ κρίνειν, ὐχ οἷός τε μὴ κανόσι χειραγωγήμενος· Δῆλον ἄρα κατὰ κανόνας ἐνεργεῖν ὡρισμένυς τὺς κεχρημένυς τῇ Φυσικῇ Λογικῇ.

## ΝΔ'.

Καίτοι δὲ διὰ τῆς Φυσικῆς Λογικῆς κρίνουτες καὶ διανοȣ́μενοι, κανοσι τισὶ διευθετȣ͂νται (ΝΓ'), ȣ̓ μέν τοι διακεκριμένως τȣ̀ς κανόνας δὴ τȣ́τȣς καθορῶσιν οἱ κατὰ Φυσικὴν διανοȣ́μενοι Λογικήν.

Δείκν. Οὗτοι γὰρ ἐν ἕξει εἰσὶ τȣ͂ γινώσκειν τἀληθὲς, καὶ τῆ ψευδὲς αὐτὸ διακρίνειν (ΝΑ'.), τῆς δὲ ἕξεως ταύτης, εἴτην ἑτοιμότητος χρήσει μόνον καὶ γυμνασίᾳ συνεχεῖ προαποριζομένης (ΜΘ'.) οἱ κατὰ τὴν Φυσικὴν Λογικὴν κρίνοντες, ἢ διανοȣ́μενοι ἀληθῶς μὲν ὡς τὰ πολλὰ κρίνȣσι καὶ διανοȣ͂νται, πρὸς μόνην δὲ τὴν ὁμοιότητα κρίνȣσι τῶν παραδειγμάτων· ȣ̓δὲν θαυμαστὸν ἐν τῷ κρίνειν τε, καὶ διανοεῖσθαι, λίαν αὐτοῖς συγκεχυμένως τȣ̀ς καθ' ȣ̔̀ς κρίνȣσιν, ἢ διανοȣ͂νται κανόνας γίνεσθαι.

„ *Κατὰ κανόνας ἐνεργεῖν τινὰς ὡρισμένης πολλάκις συμβαίνειν εἴωθε, καί τοι τȣ̀ς αὐτȣ̀ς μὴ*
„ *ἀκριβῶς καθορῶντας· ȣ̔́τω παρ. χάρ. τῶν ἀγροίκων ὅς τις ἦν τὰς αὐτȣ͂ ἐνεργείας*
„ *πρὸς τὸν τῆς φαντασίας παραβάλλει κανόνα, καί τοι τȣ͂τον παντάπασιν ἀγνοῶν,*
„ *ταὐτὸ τȣ͂το ἐςὶ ὁρᾷν, ϗ τοῖς ἐν τριβῇ συνεχεςέρα τὴν Φυσικὴν τῆς κρίσεως δύναμιν*
„ *ἐξασκήσασιν, ὥςε τἀληθὲς διαγινώσκειν ϗ ὀρθῶς διανοεῖσθαι εἶναι ἐπιτήδειαν. Οὗ-*
„ *τοι γὰρ πρὸς ὅμοια συμβάματα τὰς ἐνεργείας διευθετȣ͂ντες, κατὰ τȣ̀ς συλλογιςικȣ̀ς*
„ *ἐνεργȣ͂σι κανόνας, καί τοι τȣ́των αὐτοῖς διακεκριμένως ȣ̓́πω καθορωμένων· παραδείγματι*
„ *τὸ λεγόμενον σαφηνίζεται. Θῶμεν γὰρ τὸν Κωνςαντῖνον εἰς τȣ̀ς πεπαιδευμένȣς μὴ*
„ *ἐγγεγράφθαι, Φυσικῇ δὲ μόνῃ χρώμενον Λογικῇ κατά τι ἐγνωσμένον αὐτῷ παρά-*
„ *δειγμα, μηδεμίαν εἶναι συνάφειαν, ἢ συνέπειαν ἐν τῷ συλλογισμῷ τῷδε παρα-*
„ *τηρῆσαι.*

Πᾶς φόνος ἐςὶ κακία,
Οὐδεμία Φιλαργυρία ἐςὶ φόνος·
Ἄρα ȣ̓δεμία Φιλαργυρία ἐςὶ κακία.

„ *Θῶμεν ἔτι ἑτέρῳ συλλογισμῷ τὸν Κωνςαντῖνον ἐντυχεῖν· κατά γε τὸ σχῆμα ἀκριβῶς*
„ *παρεμφερεῖ τῷ προτέρῳ. παρ. χάρ.*

Πᾶν σῶμα ἐςὶ ȣ̓σία,
Οὐδὲν πνεῦμα ἐςὶν σῶμα·
Ἄρα ȣ̓δὲν πνεῦμα ἐςὶν ȣ̓σία.



„ Συλ-

„ Συλλογισμȣ͂ δὴ τȣ͂ προτέρȣ μεμνημένος ὁ Κωνςαντῖνος ὀρθῶς ἐπιτρέψεσθαι τὸ συμπέρασμα ἀρνηθήσεται ὁ γενικὸς κανὼν, καθ᾽ ὃν ἁμαρτάνει ὁ συλλογισμὸς ȣ̓͂τος συγκεχυμένως μόνον αὐτῷ ἐπὶ τȣ͂ παραδείγματος καθορᾶται. Ὁ γὰρ διακεκριμένως τȣ̀ς κανόνας γινώσκων, ȣ̓͂τος ἤδη ἐπὶ τὰς ἰδικὰς περιςάσεις προσεφαρμόττων οἷος ἐςὶ τȣ̀ς αὐτȣ̀ς δεικνύειν, καὶ ἰδικῶς ἀριθμεῖν.

## ΝΕ΄.

### Ἐντεῦθεν ἕπεται τȣ̀ς μόνῃ ἀγαπῶντας τῇ Φυσικῇ Λογικῇ, συμβαίνειν πλειςάκις πταίειν καὶ πλημμελεῖν.

Δεῖξ. Ἐπεὶ γὰρ οἱ κατὰ τὴν Φυσικὴν Λογικὴν κρίνοντες ἢ διανοȣ́μενοι συγκεχυμένως μόνον τȣ̀ς τȣ͂ κρίνειν καὶ διανοεῖσθαι καθορῶσι κανόνας, (ΝΔ΄.), ἐνδέχεται συμβαίνειν ἐπί τινος εἰδικȣ͂ παραδείγματος, ἀληθὲς τὸ μὴ τοιȣ͂τον, καὶ τοῖς γενικοῖς κανόσι συνᾷδον τὸ τȣ́τοις μαχόμενον οἴεσθαι, καὶ ἀνάπαλιν· ὡς ȣ̓́τως ἕπεσθαι τȣ̀ς χρήσει μόνῃ καὶ τȣ͂ κρίνειν τριβῇ τὴν ἑαυτῶν δύναμιν ἐξασκήσαντας (ΝΑ΄.) ὡς τὰ πολλὰ πταίειν, καὶ παρὰ τȣ̀ς ὀρθȣ̀ς τȣ͂ διανοεῖσθαι κανόνας διαμαρτάνειν.

„ Τοῖς μόνῃ ἀρκεσθεῖσι τῇ Φυσικῇ Λογικῇ ταὐτὸν ἀμέλει συμβαίνει γίγνεσθαι, ὅπερ καὶ τοῖς γλῶσσαν τινὰ χρήσει μόνῃ μεμαθηκόσι παρατηρεῖται, ȣ̓́τοι γὰρ τοῖς κανόσι συνᾴδοντας ὅλως δύνανται συναρμόττειν τȣ̀ς λόγȣς. Ἐπεὶ δὲ ὄντες ἀδίδακτοι τȣ̀ς τῆς γλώττης κανόνας, ȣ̓δ᾽ ὅλως ἤγȣν ἀσαφῶς οἴδασι καὶ λίαν συγκεχυμένως, πλεῖω ἁμαρτήσȣσι πάντως τῶν τȣ̀ς κανόνας διακεκριμένως ὁρώντων, καὶ λόγον ἀποδȣ͂ναι τȣ͂ λέγειν διὰ κανόνων εὐκρινῶς ἐγνωσμένων ἑτοίμȣς ἑαυτȣ̀ς παρασκευασάντων.

## Νϛ΄.

Τῷ τȣ̀ς κανόνας, καθ᾽ ȣ̓̀ς ὁ νȣ͂ς εἰς γνῶσιν τȣ͂ ἀληθȣ͂ς διευθύνεται (Ν΄.) διακεκριμμένως εἰδότι καὶ καθ᾽ ἕκαςον ἐν ὁποιαδηποτȣ͂ν εἰδικῇ περιςάσει δυναμένῳ δεικνύειν, τὴν Τεχνικὴν αὐτῷ Λογικὴν ἀπονέμομεν, ὡς ȣ̓́τω τὴν Τεχνικὴν Λογικὴν συςηματικῶς μὲν θεωρȣμένην, παιδείαν εἶναι κανόνας καὶ παραδείγματα διακεκριμένως παραδιδȣ͂σαν, δι᾽ ὧν αἱ τȣ͂ ἡμετέρȣ νοὸς ἐνέργειαι, εἰς γνῶσιν καὶ διάκρισιν τῆς ἀληθείας διευθετȣ͂νται. Τῷ λόγῳ δὲ τȣ͂ ὑποκειμένȣ, καὶ καθ᾽ ἕξιν ἐννοȣμένην, ἐπιςήμην ἢ ἕξιν

εἶναι

εἶναι διακεκριμένως διασκοποῦσαν κανόνας καὶ ἐφαρμόττουσαν, οἷς τισιν αἱ τοῦ νοὸς ἐνέργειαι εἰς τὴν τῆς ἀληθείας ἀναζήτησιν καὶ διάκρισιν διευθύνονται.

,, Ὅθεν τε καὶ ὅπως ἡ τῆς Λογικῆς φωνὴ τὴν ἀρχὴν ἔλαχε, διὰ πλειόνων ἡμῖν ἐνταῦθα
,, οὐ πρόκειται ἐξετάσαι, οὔτε μὴν οὐ τισιν ἄλλως ἐπιγραφαῖς ἡ λυσιτελεστάτη αὕτη παι-
,, δεία ἐπισημαίνεσθαι εἴωθε διεξοδικῶς ἐκθέσθαι, ἐν τῇ τοῦ μαθήματος δὲ κατενώπιον
,, ἑρμηνείᾳ τὰ ἀξιολογώτερα τούτων ἀπομνημονεύσομεν. Ἓν τοῦτο μόνον προσενεγ-
,, κεῖν ἐνταῦθα λυσιτελές, ὅτι γε καὶ Φιλοσοφία Λογική, ἡ Λογικὴ μόνον λεγομένη κοί-
,, νότερον ἤκουσεν, ὡς αὐτὴ παιδεία οὖσα ἐν τοῖς μάλιστα καταγινομένη περὶ τὴν ἔκθεσιν τῶν
,, κανόνων, δι' ὧν τὴν τοῦ ἐν ἡμῖν λόγου θεραπείαν προαγάγειν ἐπὶ τὸ κρεῖττον δυνά-
,, μεθα. Ἡ Τεχνικὴ Λογική, κατ' ἐξοχήν, λέγεται Λογική, τῆς Φυσικῆς
,, Λογικῆς, ᾗ χρὴ Μυλλέρῳ τῷ ἐκ Λειψίας Φιλοσόφῳ τὴν περὶ τούτου ἐπιτρέψαι κρί-
,, σιν, οὐδὲ Λογικῆς ὅλως καλεῖσθαι ἀξίας οὔσης· καὶ περὶ τούτου ἔσται λόγος ἡμῖν κατε-
,, νώπιον.

## ΝΖ΄.

Τῷ ἐν ἕξει ὄντι τοῦ προσαρμόττειν ἐν ταῖς τυχούσαις ὁποιαισδηποτοῦν περιστάσεσι κανόνας τὰς τοῦ νοὸς ἐνεργείας εἰς γνῶσιν τοῦ ἀληθοῦς διευθύνοντας, τὴν χρωμένην ἀπονέμομεν αὐτῷ Λογικήν· τὸν δέ γε μόνον τοὺς κανόνας εἰδότα, καθ' οὓς ἡ ἡμετέρα τοῦ γινώσκειν καὶ κρίνειν διαμορφοῦται δύναμις, εἰς πρᾶξιν δὲ τούτους οὐ μεταφέροντα, Λογικῆς ἀξιοῦμεν τῆς διδασκούσης.

## ΝΗ΄.

## Ἐκ τούτων κατανοεῖται ὀρθῶς καλεῖσθαι παρά τισι τὴν τεχνικὴν Λογικὴν διακεκριμένην ἀνάπτυξιν, εἴτουν ἀνεπτυγμένον ἐκτύπωμα τῆς Φυσικῆς Λογικῆς.

Δεικν. Ἐπεὶ γὰρ ἐν τῇ τεχνικῇ Λογικῇ διακεκριμένως κανόνες ἐκτίθενται (Νϛ΄.), οὕστινας τῇ Φυσικῇ μόνῃ Λογικῇ κεχρημένοι συγκεχυμένως μόνον καὶ ἀσαφῶς οἴδαμεν (ΝΔ΄.), ἀμφιγνοεῖν οὐκ ἔνι, ὅτιπερ ἡ τεχνικὴ Λογικὴ ὀρθῶς καλεῖται διακεκριμένη ἀνάπτυξις, εἴτουν ἀνεπτυγμένον ἐκτύπωμα τῆς Φυσικῆς Λογικῆς.

Ἐντεῦθεν προτάσεις τινὲς οἱονεὶ πορίσματα ἀναφαίνονται. Α΄. Τὴν τεχνικὴν Λογικὴν μὴ οὐσιωδῶς τῆς Φυσικῆς διενηνοχέναι ἐκ τῶν εἰρημένων ἐστὶ προφανέστατον. Β΄. Ἐντεῦθεν συναγαγεῖν ἔξεστιν ὅσον ἡ τεχνικὴ Λογικὴ τῆς Φυσικῆς ὑπερανέστηκε. Γ΄. Ἐκ τούτων συνίσταται ἐν τῇ τεχνικῇ Λογικῇ τοὺς κανόνας ἐκ τῆς φύσεως τοῦ ἀνθρωπίνου νοός, καί, τοῦ καθ' ὃν ἐνεργεῖ, τρόπου ὀφείλειν παράγεσθαι. Δ΄. Συνίης τέλος ἀνθ' ὅτου τῇ Φυσικῇ Λογικῇ ἐφησυχάζειν ἀρκούμενον ἀπαξιοῦμεν τὸν ἀληθοῦς ἐπαύρασθαι παιδείας ἐθέλοντα, προσαπτέαν ἔτι κρίνοντες αὐτῷ καὶ τὴν τεχνικήν.

„ Εἰσὶν οἳ ὡς πρὸς πᾶσαν Φιλοσοφίαν, οὕτω δὴ καὶ πρὸς τὴν Λογικὴν ἔχοντες ἀπεχθῶς,
„ περιττὸν ἡγοῦνται, καὶ οὐδενὶ προσήκειν φασὶ τὰ τῆς Λογικῆς παραγγέλματα, ἃ κα-
„ λοῦσι σχολαστικὰ τριχώματα, κατέχειν τῷ νῷ, μόνην δὲ ἀποχρῶσαν εἶναι βοῶσι τὴν
„ Φυσικὴν Λογικήν. Ἀλλ' ἤτοι γε οὐδὲν ἄλλο φασίν, εἰμὴ ὅτι περιττόν ἐστι καὶ οὐδενὶ
„ προσῆκον διακεκριμένην τῶν πραγμάτων γνῶσιν περιποιήσασθαι, οὐδενὶ προσήκειν ἀξιοῦσι
„ τὸν λόγον ἀσκεῖν, καὶ τέλος τῶν ἀπεμφαινόντων οἴονται εἶναι ἀποχρῶντα λόγον τῶν
„ ἡμετέρων διδόναι κρίσεων εἶναι δυνατούς, καὶ τὰς τούτων βάσεις τοῖς ἄλλοις ἐν μέρει ἀναπ-
„ τύσσειν. Ταῦτα δὴ καὶ μόνον λεγόμενα, ἤδη ἐστὶν ἀνασκευαζόμενα· ἄθλιον ἐστιν, ἵνα
„ κατὰ Κρόσαν εἴπω τὸν πάνυ, τὸ βραχέα εἰδέναι, πολλῷ δὲ ἀθλιώτερον, μηδὲ τὰ βρα-
„ χέα δὴ ταῦτα οὕτως εἰδέναι, ὥστε τὸ περὶ αὐτῶν μὴ ἁμαρτάνειν ἐπίστασθαι ἀκριβῶς.

## Ξ΄.

## Ἡ τεχνικὴ Λογικὴ συστηματικῶς νοουμένη ἄριστα διαλαμβάνεται εἰς μέρος θεωρητικόν, καὶ πρακτικὸν διαιρουμένη.

Δείκν. Ἐπειδὴ γὰρ ἐν τῇ τεχνικῇ Λογικῇ συστηματικῶς νοουμένῃ, παραγγέλματα ὀφείλουσι παραδίδοσθαι καὶ κανόνες, δι' ὧν αἱ τοῦ ἡμετέρου νοὸς ἐνέργειαι εἰς γνῶσιν τοῦ ἀληθοῦς καὶ διάκρισιν ὀφείλουσι διευθύνεσθαι (Νϛ΄.), ἕπεται τὴν τεχνικὴν Λογικὴν συστηματικῶς λαμβανομένην ἄριστα διαιρεῖσθαι εἰς τοιαῦτα μέρη, ὧν ἐν μὲν τῷ α΄. αἱ τοῦ νοὸς ἐνέργειαι καὶ ἡ φύσις αὐτῶν ἀναπτύσσονται ὑποσυναπτομένων τῶν τοῦ κρίνειν καὶ διανοεῖσθαι γενικωτέρων κανόνων· ἐν δὲ τῷ β΄. τρόπος εἰδικώτερος παραδίδοται τοῦ διευθύνειν τὰς τοῦ νοὸς

ἐνερ-

ἐνεργείας, ὡς ἂν εὐχερῶς εὑρίσκοιτο, καὶ ὀρθῶς ἡ ἀλήθεια διακρίνοιτο· τούτων δὲ τὸ μὲν πρῶτον Θεωρητικὸν καλᾶμεν, Πρακτικὸν δὲ τὸ δεύτερον.

## ΞΑ΄.

### Ἐντεῦθεν τέλος κατανοεῖται, ὡς ἐκ ἄνευ λόγε ὁμοφρονήσαντες οἵτε πάλαι καὶ οἱ νεώτεροι τὴν Λογικὴν μετῆλθον κατὰ τὰς τρεῖς τε νοὸς ἐνεργείας, τὸ Θεωρητικὸν αὐτῆς μέρος διατιθέντες.

Δεικν. Ἐπεὶ γὰρ ἡ τεχνικὴ Λογικὴ ἀνεπτυγμένον ἐςὶν ἐκτύπωμα τῆς Φυσικῆς Λογικῆς (ΝΗ΄.), μεταξὺ δὲ τε ἐκτυπώματος τινὸς πράγματος, καὶ τε Ἀρχετύπε πράγματος ἀκριβὴς ὀφείλει εἶναι ἡ ὁμοιότης· δῆλον ἦν ὅτι μεταξὺ τῆς Φυσικῆς Λογικῆς, καὶ τῆς τεχνικῆς ἀκριβῆ προσήκει εὑρίσκεσθαι ὁμοιότητα, ἤδη δὲ τῶν ἐνεργειῶν τε νοὸς, μὴ πλειόνων, ἢ τριῶν δυνατῶν ὅσων κατὰ φύσιν. Ἢ γὰρ ἁπλῶς ἐπιλαμβάνεταί τινος πράγματος ὁ ἡμέτερος νᾶς, καὶ αὐτῷ τᾶτο παρίςησιν, ἢ περὶ τῶν αὐτᾶ καταφάσκει τι, ἢ ἀποφάσκει συντιθεὶς τὰς παραςάσεις, ἢ διαιρῶν· ἢ τελευταῖον ἐκ δύω ἢ πλειόνων κρίσεων νέας ἐξάγει κρίσεις, εἴτ᾽ ἂν διανοεῖται. Ἆρα ὀρθῶς ἡ τεχνικὴ Λογικὴ κατὰ τὰς τρεῖς ταύτας τε νοὸς διατίθεται ἐνεργείας· ὥςε Α΄. τὴν περὶ ἰδεῶν, ἤτοι ἐννοιῶν, ἀναπτύσσεσθαι διδασκαλίαν· Β΄. περὶ κρίσεων, ἤτοι προτάσεων· Γ΄. περὶ διανοημάτων, ἤτοι συλλογισμῶν τὴν διάληψιν γίνεσθαι,

„ Αἱ τῆς Λογικῆς χρήσεις ὀρθότερον ἐννοῦνται, ἤπερ ἐκφράζονται, οὕτω γὰρ ποικίλη „ τις καὶ πολλαπλασία ἡ τῆς Λογικῆς ἐςὶ χρῆσις· ὥςε λόγοις ἱκανῶς ἐκτίθεσθαι μὴ „ ἐξεῖναι. Τὰ λυσιτελῆ πάντα ὅσ᾽ ἂν ἐκ τῆς ἐπιμελεςέρας θεραπείας τε λόγε ανα„ πλημμυροῖεν σοι, ἐκ τῆς διαχωρίσεως καὶ συνεχᾶς μελέτης τῆς Λογικῆς σεαυτῷ „ πάντως ὑποσχεθῆναι δυνήσῃ· πλάνας καὶ ἀδικωτέρας χρήσεις τῆς Λογικῆς ἀναπτύξομεν κατενώπιον.

ΛΟΓΙ-

# ΛΟΓΙΚΗ͂Σ

## ΜΕ΄ΡΟΣ Α΄. ΘΕΩΡΗΤΙΚΟ΄Ν

Η῎ΤΟΙ

## ΠΕΡΙ΄ ΤΩ͂Ν ΤΡΙΩ͂Ν ΤΟΥ͂ ΝΟΟ΄Σ

# Ε᾿ΝΕΡΓΕΙΩ͂Ν.

## ΚΕΦΑ΄ΛΑΙΟΝ Α΄.

## ΠΕΡΙ᾿ Ε᾿ΝΝΟΙΩ͂Ν

## ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΞΒ΄.

Πρώτη τοῦ ἡμετέρου νοὸς Ε᾿νέργειά ἐςὶν, ἡ ἁπλῆ τοῦ πράγματος Πρόσληψις, ἤτοι Ε῎ννοια. Ε῎ννοια δὲ ἐςὶν οὐδὲν ἄλλο, πλὴν ὅτι ὁποιαδηποτοῦν τοῦ ἀντικειμένου παράςασις ἐν τῷ νῷ ἄνευ καταφάσεως ἢ ἀποφάσεως.

,, *Πρόχειρος ὁ λόγος, δι᾿ ὃν περὶ ἰδεῶν ἐνταῦθα διαλαμβάνομεν. Ε᾿πειδὴ γάρ ἐν τῇ*
,, *Θεωρητικῇ Λογικῇ αἱ τρεῖς ὀφείλουσιν ἐκτίθεσθαι τοῦ ἡμετέρου νοὸς Ε᾿νέργειαι. (ΞΑ΄.)*
,, *Τὸν δὲ Φιλόσοφον τοιαύτῃ τάξει προσήκει χρῆσθαι, καθ᾿ ἣν προηγοῦνται τὰ δι᾿ ὧν*
,, *ἔχουσι γινώσκεσθαι τὰ ἑπόμενα· (Λ΄.) εὔδηλον οὖν, ὅτι ἀπὸ τῶν ἁπλουςέρων ἐπὶ τὰ*
,, *μᾶλλον σύνθετα προϊέναι χρεών, τῆς δὲ παραςάσεως πράγματός τινος ἐν τῷ νῷ,*
,, *οὐδεμία ἐςὶν ἁπλουςέρα ἐνέργεια τοῦ νοὸς (συντιθεμένων ἢ διαιρουμένων τῶν ἰδεῶν ἐν*
,, *ταῖς κρίσεσι, κἀπὶ τῶν διανοημάτων συζευγνυμένων πλειόνων κρίσεων)· δῆλον ἄρα*
,, *ὅτι περὶ Λογικῆς πραγματευομένοις ἀπὸ τῶν ἰδεῶν ἀρκτέον ἐςίν. Α᾿ρξάμενοι δὲ τοῦ*
,, *Βεΐσιου ἀπὸ τῆς ἀποφάνσεως, οὐκ οἶδ᾿ ὅπως ὑπεραπολογήσασθαι δύναιτο. Η᾿ Ε῎ννοια*
,, *λέγεταί ποτε καὶ ἰδέα, καὶ νοὸς σύλληψις, ἁπλῆ τε ἀντίληψις, καὶ πρόσληψις κτ.*
,, *Ο᾿ρισθείσης δὲ τῆς Ε᾿ννοίας διὰ τῆς τοῦ ἀντικειμένου ἐν τῷ νῷ παραςάσεως, ἐπιζητή-*
,, *σειεν ἄν τις, τί ποτ᾿ ἐςὶν ἡμῖν βουλομένοις διὰ τῆς παραςάσεως ἐννοεῖν· ταύτῃ τοι*
,, *ὁριζόμεθα τὴν παράςασιν εἶναι ἀφομοίωσιν τῶν ἐκτὸς τοῦ ὄντος ἐν αὐτῷ· τὸν ὁρισμὸν*
,, *δὲ τοῦτον παραδείγμασι παραςατικοῖς ἐν τῷ κατόπτρῳ, ἐν εἰκόνι καὶ ἐν ἀγάλματι*



,, τέ-

„ τέλος σαφηνίσομεν ἐν τῇ τοῦ μαθήματος ἀναπτύξει· ὅρα τὸν Α῎γειν περὶ μεθόδου
„ μαθηματικῆς σελ. 153.

„ Τῆς ἰδέας ἤτοι Ε'ννοίας Ο'ρισμὸν ἄλλοι ἄλλως ἀποδοτέον εἶναι ᾠήθησαν. Τισὶ δὲ οὕτως
„ ἔδοξε σαφὴς εἶναι ἡ τῆς ἰδέας λέξις, ὥστε μηδ᾽ ὅλως ὁρισμοῦ δεῖσθαι, Ο'λμάτος ὁ
„ πάνυ σὺν τῷ Συρβίῳ τὴν ἰδέαν ὡρίσατο, ἀντίγραφον τοῦ πράγματος ἐν τῷ νοοῦντι.
„ Ο῏ρα. Διδασκ. Λογικ. σελ. 85.

„ Καὶ τοῦτο δὲ τέλος σημειωτέον, ὅτι τὴν ἰδέαν ὁρίζοντες, παράστασιν εἶναι τοῦ ἀντικει-
„ μένου δίχα καταφάσεως, ἢ ἀποφάσεως, τοὺς οὐκ ἐθ᾽ ὅπως ἰδέαν δίδοσθαι θέλοντας
„ χωρίς τινος ἀποφάσεως, ἢ καταφάσεως ἐξελέγχομεν. Ο῎ρα Κρουσαζίν Λογ. σελ. 8.
„ Οὐκ ἀρνησόμην μὲν γὰρ ἂν ὅτι πλάκις περιστάσεσι συνεζευγμένην εἶναι καταφάσει καὶ
„ ἀποφάσει τὴν ἁπλῆν τοῦ ἀντικειμένου πρόσληψιν. Ε'ξ ἁπαλῶν γάρ, φασίν, ὀνύχων εἰ-
„ θίσθαι ἡμῖν ἀμέσως ἐκ τῆς προσλήψεως κρίσιν ἐπιφέρειν τινὰ περὶ τοῦ προσλαμβανο-
„ μένου πράγματος. Ε'ξ οὗ δὴ συμβαίνει πρᾶγμά τι τῷ νῷ παριστᾶσιν, ἐν τῷ αὐτῷ
„ σχεδὸν χρόνῳ τοῦ κρίνειν καὶ διανοεῖσθαι ἔννοιαν, ἤτοι ἁπλῆν πρόσληψιν, ἐν ᾗ καθ᾽ ὅ,
„ τι οὖν καταφάσκεται ἢ ἀποφάσκεται. Περὶ τούτων δὲ πλεῖον ἐναντίον.

## ΞΓ'.

Διὰ τῆς πείρας γινώσκομεν, οὕτως ἡμᾶς προσλαμβάνειν τινά, ἤτοι ἑαυτοῖς παριστᾶν, ὥστε ἀπὸ τῶν ἄλλων διαγινώσκειν δύνασθαι ταῦτα.

„ Οὕτω παρ. χάρ. ὁπηνίκα τὸ ἐρυθρὸν χρῶμα προσλαμβάνῃς, οὕτω πάντως γε τοῦτ᾽ αὐ-
„ τὸ προσλαμβάνεις, ὥστε ἀπὸ τοῦ μέλανος καὶ λευκοῦ καὶ τοῦ κυανοῦ, καὶ τῶν ἄλλων δια-
„ κρίνειν ἐκεῖνο δύνασθαι.

## ΞΔ'.

Η'νίκα πρᾶγμά τι οὕτω προσλαμβάνομεν, εἴτουν ἑαυτοῖς τῷ νῷ παριστῶμεν, ὥστε ἀπὸ τῶν ἄλλων ἐκεῖνο διακρίνειν δύνασθαι, τηνικαῦτα δὴ τοῦ ἀπὸ τῶν ἄλλων ἡμῖν διακρινομένου πράγματος τούτου Ε῎ννοιαν, ἤτοι ἰδέαν σαφῆ ἔχειν λεγόμεθα· ὥστε τὴν σαφῆ ἰδέαν, ἤτοι Ε῎ννοιαν οὐδὲν ἄλλο εἶναι, ἔτι μὴ τοιαύτην παράστασιν πράγματος, δ᾽ ἧς τὸ παριστανόμενον ἔχομεν ἀπὸ τῶν ἄλλως διαγινώσκειν.

„ Οὕτω δὴ τοῦ μέλανος χρώματος ἰδέαν ἔχεις σαφῆ, ἀπὸ τοῦ λευκοῦ καὶ τῶν ἄλλων χρωμά-
„ των διακρίνειν τὸ μέλαν δυνάμενος. Καὶ τῆς τοῦ ῥόδου ὡσαύτως ὀσμῆς, ὁπηνίκα
„ τὴν ὀσμὴν τοῦ ῥόδου ἀπὸ τῆς ὑακίνθου, ἢ ἑτέρου οὑτινοσοῦν ἄνθους διακρίνειν οἷός τε ᾖς.

ΞΕ'.

## ΞΕʹ.

Τὴν ἰδέαν ἒν σαφεςέραν εἶναι καθ᾽ ὅσον ἐν τῷ παριςανομένῳ ἀντικειμένῳ πλείω δύνασαι διακρίνειν, ἐνταῦθα κατανοεῖς.

„ Ὄρνιθός τινος παρ. χάρ. τῷ ἀέρι ἀφιπταμένε, σαφεςέρα γίνεται ἡ ἰδέα, ἔτω προσεγ-
„ γίζοντος τῇ ὁράσει, ὥθ᾽ οἷόν τε ἦν ἀφ᾽ ἑτέρε εἴδες ὀρνίθων διακριθῆναι.

## Ξϛʹ.

Εἰς ἐπίκτησιν τῆς πράγματός τινος σαφῆς ἰδέας, ἤτοι ἐννοίας, ἡ τῶν αἰσθήσεων χρῆσις ἀπαιτεῖται συνεζευγμένη τῇ προσοχῇ.

Δεικν. Ἐπεὶ γὰρ τηνικαῦτα δὴ τέλος σαφῆ τινὸς πράγματος ἔννοιαν, ἤτοι ἰδέαν σαυτῷ περιεποιήσω, ὁπηνίκα τὸ παριςανόμενον πρᾶγμα διαγινώσκειν ἠδυνήθης τῶν ἄλλων (ΞΔʹ.), εἰς δὲ τὴν τε παριςανομένε ἀπὸ τὴν τῶν ἄλλων διάγνωσιν ἀπαιτεῖται μόνον ἡ τῶν αἰσθήσεων πρόσληψις συνάμα τῇ προσοχῇ (κατὰ τὴν πεῖραν)· δῆλον ἒν ὅτι εἰς ἐπίκτησιν τῆς πράγματος τινὸς σαφῆς Ἰδέας, ἤτοι Ἐννοίας ἡ τῶν αἰσθήσεων χρῆσις ἀπαιτεῖται συνεζευγμένη τῇ προσοχῇ.

## ΞΖʹ.

Ἐπὶ τοσῦτον ἒν ἡ ἰδέα σαφεςέρα ἀποτελεῖται, ἐφ᾽ ὅσον πρᾶγμα διὰ πλειόνων αἰσθήσεων προσλαμβάνεις.

Δείκν. Ὅσον ἡ ἰδέα σαφεςέρα τυγχάνει ἒσα, τοσῦτον πλείω ἐν τῷ παριςανομένῳ ἀντικειμένῳ δύνασαι διακρίνειν (ΞΕʹ.)· Ἐπεὶ δὲ ἀναμφηρίςως ἐν τῷ ἀντικειμένῳ πλείω πάντως διακρίνομεν διὰ πλειόνων αἰσθήσεων ἓν καὶ τὸ αὐτὸ προσλαμβάνοντες πρᾶγμα, ἤπερ δι᾽ ἐλαττόνων, κατανοεῖς ἄρ᾽ ὅτι ἐπὶ τοσῦτον ἡ ἰδέα σαφεςέρα ἀποτελεῖται, ἐφ᾽ ὅσον πρᾶγμα διὰ πλειόνων αἰσθήσεων προσλαμβάνεται.

„ Ἐν-

„ *Ἐντεῦθεν ὁ τῶν Φιλοσόφων ὅδε κανών. Βουλομένῳ σοι σαφέστερον πρᾶγμά τι προσλαβεῖν*
„ *εἰς τοσαύτας τὸ αὐτὸ περιάγειν αἰσθήσεις χρεὼν, εἰς ὅσας δήποτοῦν περιάγεσθαι δύναται.*
„ *ᾧ τινι δὴ κανόνι τὸν Ἰσαὰκ παρηκολουθηκέναι ἀναγινώσκομεν. Οὗτος γὰρ ἵνα τὸν*
„ *Ἡσαῦ διακρίνῃ τοῦ Ἰακώβου, ἃς ἠδύνατο πάσας προσελάμβανε τὰς αἰσθήσεις, ἀκοὴν ἀμέ-*
„ *λει, ἁφήν τε καὶ ὄσφρησιν. Ἠπατῶντο μέντοι καὶ αὗται, ἀπούσης τῶν αἰσθήσεων τῆς προ-*
„ *κρίτου, λέγω δὲ τὴν ὅρασιν· καὶ ταῦτα περὶ ἰδέας σαφοῦς.*

## ΞΗ'.

Ὥσπερ οἴδαμεν διδαχθέντες τῇ πείρᾳ τινὰ τῶν πραγμάτων ἑαυτοῖς παριστᾶν· ὥστε ἀπὸ τῶν ἄλλων διακρίνειν δύνασθαι ταῦτα (ΞΓ'.), οὕτως αὖθις ὡς τὰ πολλὰ τῆς αὐτῆς διδασκούσης, παριστᾶν μὲν ἑαυτοῖς ἀληθῶς τῶν πραγμάτων ἔνια, μὴ δύνασθαι ἀποχρώντως διαγινώσκειν τῶν ἄλλων ταῦτα, οὐκ ἀγνοοῦμεν.

„ *Τὴν πεῖραν ταύτην ὁ περιφανὴς Βουλφίγγερος ἐν ταῖς ἀμοιβαίαις Ἐπιστολαῖς περὶ ἁρμονίας*
„ *προδιατεταγμένης §. 6. τοῖς ἑπομένοις ῥήμασι βεβαιοῖ. Τάξον σεαυτὸν, φησὶν, ἐν*
„ *μέσῳ ῥητόρων ἑκατὸν ἐν περιφερείᾳ κύκλου ἴσοις διαστήμασιν ἀφισταμένων καὶ φω-*
„ *νῇ μὲν γεγονωτέρᾳ, ἴσῃ δὲ πάντων ποιουμένων τοὺς λόγους. Ἔνθα δὴ προσλήψῃ*
„ *πάντως τὰς ἁπάντων φωνὰς, οὐδ᾽ ἐστι λόγος, δι᾽ οὗ τὴν τοῦ ἑτέρου μᾶλλον τῆς τοῦ*
„ *ἑτέρου ἀκούσειας, κατανοήσεις ἐμπης οὐδὲν (τουτέστι τὴν τοῦ Χρυσάνθου λαλιὰν τῆς φω-*
„ *νῆς τοῦ Κωνσταντίνου διαγνῶναι οὐχ ἕξεις). Θῶμεν οὖν τὰ ἕνα τῶν ἑκατὸν ἐκείνων στεντο-*
„ *ρείῳ χρήσασθαι σάλπιγγι, τῶν λοιπῶν ἀκολουθούντων ὡς πρότερον, ἢ δῆτα τοὺς λοι-*
„ *ποὺς κατασίγασον, ἢ ὡς οἷόν τε ὑφειμένως τοὺς λόγους ποιεῖσθαι κέλευσον τοῦ ἑκατοστοῦ,*
„ *ὡς πρότερον τῇ γεγονωτέρᾳ κεχρημένου φωνῇ, τότε δὴ τὰ ἐκείνῳ λεγόμενα ἔσῃ σα-*
„ *φῶς (τουτέστι τὴν τοῦ ἑκατοστοῦ φωνὴν τῆς τῶν ἄλλων διαγνῶναι δυνήσῃ) ὡς ἔξεστι συμ-*
„ *βαίνειν ἔσθ᾽ ὅτε αἰσθάνεσθαι μὲν πράγματός τινος, οὐδ᾽ ὁτιοῦν δὲ διαγινώσκειν ἐν τῷ οὗ*
„ *αἰσθανόμεθα, ἐν τῇ τοῦ μαθήματος ἑρμηνείᾳ διὰ πλειόνων παραδειγμάτων συστή-*
„ *σομεν.*

## ΞΘ'.

Ἡ τοιαύτη παράστασις, καθ᾽ ἣν τὸ παριστανόμενον πρᾶγμα οὐ δυνάμεθα διαγινώσκειν τῶν ἄλλων, Ἰδέα ἢ Ἔννοια ἀσαφὴς καλεῖται.

„ *Τοιαῦται εἰσὶν αἱ τῶν ληθαργίᾳ περιπεσόντων, τῶν τε νηπίων, καὶ τῶν πλεῖστον οἴνου*
„ *ἐκπεπωκότων Ἰδέαι.*

## Ο΄.

**Προφανῶς ἤδη καθορᾶται ἡ τῆς Ἰδέας, ἄτουν ἐννοίας διαίρεσις ὀρθῶς γινομένη εἰς σαφῆ καὶ ἀσαφῆ.**

Δείκν. Ἐπεὶ γὰρ διὰ τῆς πείρας γινώσκομεν, ἔστιν ἃ τῶν πραγμάτων ἑαυτοῖς παριστῶντες, διαγινώσκειν τῶν ἄλλων δύνασθαι (ΞΓ΄.), τινὰ δὲ οὔ (ΞΓ΄.)· ἡ δὲ τοιαύτη παράστασις, καθ᾽ ἣν δυνάμεθα πρᾶγμά τι διαγινώσκειν τῶν ἄλλων, Ἰδέα σαφὴς ἀκούει (ΞΔ΄.), ἡ δὲ μὴ τοιαύτη ἀσαφὴς (ΞΘ΄.)· δῆλον, οὖν, ὅτι ὀρθῶς ἡ Ἰδέα εἰς τὴν ἀσαφῆ καὶ σαφῆ διαιρεῖται.

„ Τῆς ἀσαφείας δίδονται βαθμοὶ ἐντεῦθεν ὡσαύτως κατάδηλον· ὅσον γὰρ ἡ Ἰδέα γίγνοιτο σαφεστέρα, τοσοῦτόν τις πλείω διακρίνει ἐν τῷ ἀντικειμένῳ (ΞΕ΄.)· Ἐνδέχεται δὲ γενέσθαι τὸν Κωνσταντῖνον ἔν τινι πράγματι πλείω διὰ τῶν αἰσθήσεων διακρίνειν, ἤπερ τὸν Χρύσανθον· τηνικαῦτα δὴ ὁ Χρύσανθος κατ᾽ ἀναφορὰν πρὸς τὴν τοῦ Κωνσταντίνου Ἰδέαν ἕξει Ἰδέαν ἀσαφῆ. Ἀλλ᾽ ἡ ἀσάφεια αὕτη, κατ᾽ ἀναφορὰν λέγεται, ἡ δ᾽ ἁπλῆ τῶν Ἰδεῶν ἀσάφεια γίγνεται, ἡνίκα πρᾶγμά τι ἑαυτοῖς παριστῶντες, οὐδ᾽, ὅλως τοῦτο δυνάμεθα τῶν ἄλλων διαγινώσκειν.

## ΟΑ΄.

Φυλακτέον εἶναί σοι, ἐντεῦθεν κατανοεῖς, μήποτε καὶ ἑτέρῳ τινὶ παραχρῆμα λάθῃς ὑπολαβὼν ἀσαφῆ Ἰδέαν εἶναι πράγματός τινος, οὗ τινος Ἰδέαν ἔχων ἀσαφῆ πάντῃ ἐτύγχανε.

„ Δῆλον ἐξ αὐτοῦ τούτου, ὡς λίαν ἀεὶ προπετῶς ἐν τῷ κρίνειν οἱ τὴν ἀσάφειαν τῶν πραγμάτων τῷ τοῦ νοὸς αὐτῶν ἐλαχίστῳ μέτρῳ διαμετροῦντες, κἀντεῦθεν καὶ πρᾶγμα καθ᾽ αὑτὸ ἀσαφὲς εἶναι κραυγάζοντες ἐκ τοῦ αὐτοῖς ὑπάρχειν ἀνέφικτον.

## ΟΒ΄.

**Ἡ ἀσαφὴς Ἰδέα γίνεται σαφὴς διὰ τῆς προσοχῆς καὶ ἐνατενίσεως.**

Δείκν. Θῶμεν ἀντικειμένου τοῦ Α. Ἰδέαν ἐσχηκέναι σε ἀσαφῆ· Οὐκ ἄρα τῶν ἄλλων πραγμάτων διαγνώσῃ τὸ Α. οὐδ᾽ ἔστιν ὅ, τι ἐν τούτῳ διακρινεῖς (ΞΘ΄.)

(ΞΘ'.) Τεθέντος δὲ τοῦ ἀντικειμένου Α. προσεκτικὸν σοι εἶναι τὸν νοῦν, τότε δὴ τὸ Α'. μᾶλλον γνώσῃ, ἤπερ ἄλλό τι τῶν ἀντικειμένων (κατὰ τὸν ὁρισμὸν τῆς προσοχῆς) γινώσκων δὲ πλέον τὸ ἀντικείμενον Α., ἤπερ ἄλλο τι, ἀπὸ τῶν ἄλλων πάντων, τὸ Α. διακρινεῖς (τὰ γὰρ ἐκτὸς ἡμῶν κείμενα εἰδέναι λεγόμεθα, ὅτι ἀπὸ τῶν ἄλλων διακρίνειν δυνάμεθα)· ὁ δὲ τὸ ἀντικείμενον Α. διακρίνειν τῶν ἄλλων εἰδὼς, σαφῆ Ἰδέαν ἔσχηκε τοῦ αὐτοῦ (ΞΔ'.)· ἡ ἀσαφὴς ἄρα Ἰδέα γίνεται σαφὴς διὰ τῆς προσοχῆς καὶ ἐνατενίσεως.

## ΟΓ'.

Ἐκ τούτων οὖν σύνάγεται, ὅτι ἀμελημένης τῆς προσοχῆς καὶ ἐνατενίσεως, ἐκ σαφῶ. αἱ Ἰδέαι γίνονται ἀσαφεῖς.

„ *Τῆς ἀσαφείας τοιγαροῦν τὴν αἰτίαν οὐκ ἀπεικότως ὡς τὰ πολλὰ ἐν τῷ ἡμετέρῳ οἱ Φιλο-*
„ *σοφοῦντες ζητοῦσι νοΐ, οὐκ ἐν προσοχῇ τῇ ὀφειλομένῃ πρᾶγμά τι σκεπτομένων ἡμῶν*
„ *ἔσθ' ὅτε, οἷα δὴ ξυμβαίνειν πῶθε τοῖς πάθει τινὶ ἀφαρπαζομένοις, καὶ τοῖς ἐφ' ἑτέρᾳ*
„ *μελέτῃ ἐνασχολουμένοις, ἢ ἐνεργείᾳ μιᾷ ὅτι πλεῖστα ἑαυτοῖς παριστᾶν ἐθέλουσι.*

## ΟΔ'.

Πρᾶγμά τι ἑαυτοῖς παριστῶντες, ὥστε ἀπὸ τῶν ἄλλων αὐτὸ διακρίνειν δύνασθαι, ἤτοι τούς τε χαρακτῆρας, καὶ τὰ γνωρίσματα, εἰς τὴν τούτων ἀπὸ τῶν ἄλλων διάκρισιν συντείνοντα καθ' ἕκαστον ἑαυτοῖς ἔχομεν παριστάνειν, ἢ οὔ.

„ *Παριστάνοντες φέρ' εἰπεῖν τοῦ Πλάτωνος ἑαυτῷ τὸν νόμον, ἐνδέχεται γενέσθαι ὡς μὴ*
„ *μόνον αὐτὸν διαγινώσκειν, ὡς ἔτυχεν ἀπὸ τῶν ἄλλων, ἀλλ' ἔτι τε μὴν καὶ τὰ χαρακτη-*
„ *ριστικὰ γνωρίσματα τὸν Πλάτωνα παριστᾶν καθ' ἕκαστα, καὶ ἰδικῶς ταῦτα ἀριθμεῖν*
„ *οἷόν τε εἶναι, καθ' ἃ τῶν λοιπῶν ἁπάντων ὁ νόμος διακρίνεται χωριζόμενος· Θῶμεν δ'*
„ *ἔτι καὶ τὸν Λυσίαν τὸ ἐρυθρὸν χρῶμα παριστᾶν ἑαυτῷ· διακρινεῖ μὲν οὖν ἀπὸ τῶν*
„ *ἄλλων ἐκεῖνο πάντως, τοὺς δὲ χαρακτῆρας, καὶ τὰ γνωρίσματα, καθ' ἃ τῶν ἄλλων ἁ-*
„ *πάντων τὸ ἐρυθρὸν χρῶμα διέζευκται, παριστᾶναι ἑαυτοῦ τῷ νοΐ, οὐ δυνήσεται ὁ Λυ-*
„ *σίας.*

## ΟΕ΄.

Ἡ τοιαύτη παράστασις, καθ᾽ ἣν ἐ μόνον ἀπὸ τῶν ἄλλων τὸ παριστανόμενον διακρίνομεν, ἀλλ᾽ ἔτι καὶ τὰ χαρακτηριστικὰ γνωρίσματα, καθ᾽ ἃ τὸ παριστανόμενον τῶν ἄλλων διέζευκται, εἰδικῶς ἡμῖν παριστῶμεν, καὶ τῷ νῷ διακρίνομεν, Ἔννοια ἢ Ἰδέα λέγεται διακεκριμμένη, ἐδ᾽ ὅτιεν ἄλλο ἐσαν, εἰμὴ τῶν πράγματος τινὸς χαρακτηριστικῶν γνωρισμάτων παράστασις.

„ Οὕτω παρ. χάρ. ὁ Κωνσταντῖνος διακεκριμένην διαμορφῆται τῇ νόμε ἑαυτῷ Ἔννοιαν, εἰδὼς, „ ὅτι ὁ νόμος ἐστὶ κανὼν, καθ᾽ ὃν τὰς αὐτῇ ἐνεργείας ὀφείλει διαμορφῆν ὁ ὑπὸ τὸν „ νόμον. Ἐνταῦθα γὰρ ὁ Κωνσταντῖνος τὰς χαρακτῆρας, καθ᾽ ἃς ὁ νόμος ἀπὸ τῶν „ ἄλλων διακρίνεται παριστᾷ ἑαυτῷ τῷ νῷ, ἢ εἰδικῶς ταυτας ἐπαριθμεῖ.

## Οϛ΄.

Ἡ τοιαύτη παράστασις, καθ᾽ ἣν ἀπὸ τῶν ἄλλων πρᾶγμά τι διακρίνοντες ἐδὲν τῶν γνωρισμάτων, εἴτεν χαρακτήρων ἐκείνων κατὰ μέρος ἑαυτοῖς παριστᾶναι δυνάμεθα, Ἔννοια, ἢ Ἰδέα συγκεχυμένη ἀκέει.

„ Οὕτω δὴ τὸ ἐρυθρὸν χρῶμα διακρίνεις μὲν ἀπὸ τῶν ἄλλων ἐστὶ ἤδη παντός. Ἐπεὶ δὲ, „ μαρτυρήσης τῆς πείρας, ἐδένα κατὰ μέρος ἔχεις τῷ νῷ παριστᾶν τῶν χαρακτήρων, „ δι᾽ ὧν τὸ ἐρυθρὸν τῶν ἄλλων διαγινώσκεται· ταύτῃ τοι τῷ ἐρυθρῷ συγκεχυμένη σοι „ ἐστιν ἡ Ἰδέα.

## ΟΖ΄.

### Ἡ σαφὴς Ἰδέα, εἴτεν Ἔννοια εἰς διακεκριμένην ἢ συγκεχυμένην ὀρθῶς ἔχει διαιρεμένη.

Δείκν. Τὸ συμπαριστανόμενον πρᾶγμα διακρίνοντες ἀπὸ τῶν ἄλλων ἔχομεν Ἰδέαν σαφῆ (ΞΔ΄.)· Ἐπεὶ δὲ πρᾶγμά τι διακρίνοντες ἀπὸ τῶν ἄλλων, ἤτοι καὶ τὰς χαρακτῆρας, καθ᾽ ἃς τὸ παριστανόμενον πρᾶγμα διὰ τῶν ἄλλων διαχωρίζεται, εἰδικῶς ἐξαγγέλειν δυνάμεθα, ἢ ἔ· (ΟΔ΄.) δῆλον ἐν, ὅτι Ἰδέαν ἔχοντες σαφῆ, ἤτοι τὰ χαρακτηριστικὰ τῶ παριστανομένε πράγματος γνωρίσματα εἰδικῶς ἑαυτοῖς δυνάμεθα παριστᾶν, ἢ ἔ. Τῶν δὲ παραστάσεων, καθ᾽ ἣν τὰ μὲν γνωρίσματα, καὶ τὰς χαρακτῆρας, δι᾽ ὧν τὸ παριστανόμενον

πρᾶγ-

πρᾶγμα διακρίνεται ἀπὸ τῶν ἄλλων εἰδικῶς ἑαυτοῖς παριστῶμεν, Ἰδέα ἢ Ἔννοια λέγεται διακεκριμένη (ΟΕ΄.)· καθ' ἣν δὲ τὰ χαρακτηριστικὰ γνωρίσματα παριστᾶν ἑαυτοῖς καθ' ἕκαστα οὐ δυνάμεθα Ἰδέα εἴτουν Ἔννοια συγκεχυμένη καλεῖται (Οϛ΄.), ἄρα τὴν σαφῆ Ἰδέαν εἰς Διακεκριμένην καὶ Συγκεχυμένην ὀρθῶς διαιρεῖσθαι καταδῆλον.

„ *Εἰσὶν οἱ τὰς σαφεῖς ϗ διακεκριμένας Ἰδέας ἀντὶ συνωνύμων λαμβάνουσι τῇ κατὰ γραμ-*
„ *ματικὴς τῶν φωνῶν τῶνδε σημασίᾳ ἀναμφιρρέπτως ἐξαπατηθέντες. Ἐκ δὲ τῶν*
„ *εἰρημένων καταφανές, οὐκ ἄνευ λόγου τοῦ ἀποχρῶντος τόν τε Καρτέσιον ϗ τὸν Λειβ-*
„ *νίτζιον εἰς Διακεκριμένην ϗ Συγκεχυμένην τὴν σαφῆ ἰδέαν διελεῖν· τὰ γὰρ διάφορα*
„ *καθ' αὑτὰ ὄντα διαφόροις χρὴ ϗ τοῖς ὅροις ἐκφαίνεσθαι.*

## ΟΗ΄.

Ἐὰν διακεκριμμένην Ἰδέαν ἔχῃς ἀντικειμένου τινὸς, τῶν τὸ ὁλικὸν ἐκεῖνο ἀντικείμενον συνιστώντων, καὶ ἀπὸ τῶν ἄλλων διακρινόντων χαρακτηριστικῶν γνωρισμάτων Ἰδέαν ἕξεις σαφῆ· Ἐὰν δέ τινος ἀντικειμένου συγκεχυμένην Ἰδέαν ἔχῃς, τῶν τὸ παριστανόμενον ἀντικείμενον συνιστώντων, καὶ παντὸς ἄλλου διαζευγνύντων χαρακτηριστικῶν γνωρισμάτων Ἰδέαν ἀσαφῆ ἕξεις.

Δεῖκν. Ὅτε τινὸς πράγματος Ἰδέαν εἴτουν ἔννοιαν διακεκριμένην ἔχεις, τότε δὴ τὸ παριστανόμενον συνιστῶντα, καὶ ἀπὸ τῶν ἄλλων διακρίνοντα χαρακτηριστικὰ γνωρίσματα δύνασθαι καθ' ἕκαστον σεαυτῷ παριστᾶν τε καὶ διακρίνειν (ΟΕ΄.), Ἐὰν δέ τι διακρίνειν ἀπ' ἀλλήλων οἷός τε ᾖς σαφῆ πάντως γ' ἐκείνου ἕξεις Ἰδέαν (ΞΔ΄.)· διακεκριμένως ἄρα ἀντικείμενόν τι σεαυτῷ παριστῶν, τῶν γνωρισμάτων εἴτουν χαρακτήρων τῶν. τὸ παριστανόμενον ἀντικείμενον συνιστώντων, Ἰδέας ἕξεις ἀναγκαίως σαφεῖς.

Ἔτι, ὁ συγκεχυμένην ἔχων ἀντικειμένου τινὸς Ἰδέαν, τὰ τὸ παριστανόμενον ἀντικείμενον συνιστῶντα καὶ ἀπὸ τῶν ἄλλων διϊστῶντα γνωρίσματα οὐκ ἔχει ἑαυτῷ παριστᾶν, καὶ καθ' ἕκαστον διακρίνειν (Οϛ΄.)· ἡ δὲ τοιαύτη παράστασις καθ' ἣν τῷ νῷ παριστᾷ τις τὸ ἀντικείμενον, οὐχ ὥστε τῶν ἄλλων διαγινώσκειν οἷά τε εἶναι, ἀσαφὴς Ἰδέα καλεῖται (ΞΘ΄.)· Ὁ ἔχων ἄρα πράγματός τινος συγκεχυμένην Ἰδέαν τῶν συνιστώντων αὐτὸ γνωρισμάτων Ἰδέαν ἕξει πάντως ἀσαφῆ.

„ Ἐντεῦθεν κατανοεῖν ἔχεις ἀνθ' ὅτι παρὰ τοῖς φιλοσόφοις ἡ τῆς ὁλικῆς προσλήψεως „ διάκρισις ἐκ τῆς σαφηνείας τῶν μερικῶν προσλήψεων, οἷα δὴ καὶ ἡ συγκεχυμένη τοῦ „ ὁλικοῦ ἀντικειμένου Ἰδέα, ἐκ τῆς ἀσαφείας τῶν μερικῶν Ἰδεῶν ἀναφύεσθαι λέγεται. Ἐκ „ τῶν αὐτῶν ἔτι κατάδηλον, τὸν τῆς διακρίσεως αὔξανειν βαθμὸν τῆς σαφηνείας αὐ- „ ξούσης ἐν ταῖς τῶν μερῶν τοῦ ὅλου προσλήψεσι.

## ΟΘ΄.

**Πρόδηλον ἐντεῦθεν, ὅτι ἡ προσοχή τε καὶ ἐνατένισις εἰς ἐπίκτησιν τῶν διακεκριμένων Ἰδεῶν συμβάλλει τὰ μάλιστα.**

Δεικν. Ἐπεὶ γὰρ τῷ Ἰδέαν διακεκριμένην πράγματος τινὸς ἔχειν ἐθέλοντι, τὰ τούτου γνωρίσματα σαφῶς αὐτῷ ἐπάναγκες παρισάνεσθαι (ΟΗ΄.), εἰς ἐπίκτησιν δὲ τῆς σαφοῦς Ἰδέας ἀναγκαία ἡ προσοχή τε καὶ ἐνατένισις (ΟΒ΄.)· δῆλον ἄρ' ὅτι ἡ αὐτὴ προσοχὴ ὡσαύτως ἀπαιτεῖται εἰς τὴν τῶν διακεκριμένων Ἰδεῶν ἐσομένην ἐπίκτησιν.

## Π.

**Ὁ διακεκριμένην Ἰδέαν ἀντικειμένου τινὸς ἐσχηκὼς, καὶ ἑτέρῳ τὴν αὐτὴν διὰ φωνῶν κοινώσασθαι δύναται.**

Δεικν. Ὁ διακεκριμένην ἀντικειμένου τινὸς ἐσχηκὼς Ἰδέαν τοὺς χαρακτῆρας ἐκείνου καὶ γνωρίσματα παρισᾶν ἑαυτῷ καθ' ἕκαστον δύναται (ΟΕ΄.)· ἐπεὶ δὲ ὀνόμασιν ἰδίοις οἱ χαρακτῆρες ἤτοι ἐκφαίνονται, κατανοεῖς ἤδη τοὺς αὐτοὺς ἐπαριθμεῖσθαι ἑτέροις, καὶ δι' ὅρων ἔχειν ἐνδείκνυσθαι.

„ Τῆς δὲ διακεκριμένης ἐννοίας ἐξαίρετον τουτὶ κριτήριον εἶναι δοκεῖ μοι, εἴτις τὰ διακε- „ κριμένως νοούμενα, ἰδικῶς ἀπαριθμεῖν ἐστι δυνατός. Συμβαίνει δ' ἔμπης πολλῶν ἕνε- „ κα διακεκριμένας καίπερ ἐσχηκότας τινὰς ἐννοίας, ἤτοι οὐδ' ὅλως, ἢ δυσχερῶς γοῦν „ διὰ φωνῆς ζώσης ἐκτίθεσθαι τὰ νοούμενα, τούτου δὴ τὸν λόγον εὗρηκεν [illegible] ἐν τῷ „ προγράμματι περὶ τῶν πεπαιδευμ. οἵτινες τὰ ἐννοηθέντα οὐκ οἴδασιν διατρανῶσαι. Οὐϊ- „ τεμβέργα 1734. Θῶμεν παρ. χάρ. τὸν Δημήτριον τῆς ἐλπίδος ἔχειν διακεκριμένην „ ἰδέαν. Ἐρωτηθεὶς οὖν ὅπως ἂν ἡ ἐλπὶς τῶν ἄλλων παθῶν διΐςωτο; ἀπαριθμεῖν δυνή- „ σεται πάντως τὰ γνωρίσματα τὰ τῶν ἄλλων πάντων τὴν ἐλπίδα διαζευγνύντα.

## ΠΑ΄.

**Ὅ, τιδήποτε ἑαυτοῖς διὰ τῶν αἰσθήσεων παριςῶμεν, συγκεχυμένως ἅπαν ἡμῖν αὐτοῖς παριςῶμεν, ὥσθ᾽ οὕτω τοὺς φιλοσοφοῦντας ὀρθῶς τὰς αἰσθητικὰς παραςάσεις, ἤ τοιαύτας συγκεχυμένως ἀποφαίνεσθαι εἶναι.**

Δέικν. Αἱ αἰσθήσεις ἡμῖν τὰ ὑπάρχοντα παριςῶσι (κατὰ τὴν πεῖραν) τὰ δὲ ὑπάρχοντα παντοδαπαῖς καὶ ποικίλαις χρόνοις, τόποις καὶ προσώποις, διακριτικοὺς χαρακτῆρας ἤ παριςώσαις περιςάσεσιν ἐνειλημμένα ἐςι, κἀντεῦθεν συνορᾷν ἔχεις οὗ χάριν, ὅτι πλεῖςα καὶ σύνθετα αἱ αἰσθήσεις ἅμα παριςῶσαι τὰ διακριτικὰ γνωρίσματα οὐ καθ᾽ ἕκαςον ἡμῖν ἀφιςᾶσιν. Ἡ δὲ τοιαύτη παράςασις καθ᾽ ἣν τὰ χαρακτηριςικὰ γνωρίσματα τοῦ παριςανομένου οὐκ ἔξεςιν ἡμῖν καθ᾽ ἕκαςον παραςῆσαι, συγκεχυμένη ἀκούει (Οϛ΄.)· ὅ, τιδήποτ᾽ ἄρα ἑαυτοῖς διὰ τῶν αἰσθήσεων παριςῶμεν, συγκεχυμένως παριςῶμεν.

„ Αἰσθάνῃ παρ. χάρ. διὰ τῶν ῥινῶν τὴν τοῦ ῥόδου ὀσμὴν, διὰ δὲ τῶν ὀφθαλμῶν τὸ μέ-
„ λαν χρῶμα, καὶ διὰ τῶν ὤτων τὸν ἦχον τοῦ Κώδωνος· συγκεχυμένως ἀλλ᾽ οὖν καὶ τὰ
„ τρία ταυτὶ σεαυτῷ παριςάνεται. Οὐδὲ γὰρ ἔξεςί σοι καθ᾽ ἕκαςα παριςᾶν, καὶ τοὺς
„ χαρακτῆρας δι᾽ ὧν ἡ τοῦ ῥόδου ὀσμὴ τῆς τοῦ ὑακίνθου, καὶ τὸ μέλαν τοῦ λευκοῦ διακρίνε-
„ ται χρώματος.

## ΠΒ΄.

**Κριτήριον συγκεχυμένης ἐννοίας ἐςὶ, τὸ διὰ φωνῶν αὐτὴν οὐκ ἐξεῖναι τοῖς ἄλλοις κοινώσασθαι.**

Δέικν. Ἐπεὶ γὰρ ὁ συγκεχυμένην πράγματος τινὸς ἐσχηκὼς Ἰδέαν, τὰ γνωρίσματα καὶ τοὺς χαρακτῆρας ἐκείνου ἀσαφῶς ἑαυτῷ παρίςησιν· (ΟΗ΄.) ἐν δὲ τῇ ἀσαφεῖ παραςάσει οὐδὲν σαφῶς διακρίνειν ἔχομεν (ΞΘ΄.)· δῆλον οὖν, ὅτι ὁ συγκεχυμένην πράγματός τινος ἐσχηκὼς Ἰδέαν, τὰ χαρακτηριςικὰ τοῦ παριςανομένου γνωρίσματα, καθ᾽ ἕκαςον ἀπαριθμῆσαι ἑτέρῳ οὐ δύναται. Εἰ γὰρ ἂν ταῦτα ἠρίθμει, καὶ διέκρινε πάντως· ὥςε κριτήριον συγκεχυμένης ἐν-

νοίας

νοίας ὀρθῶς καθίςαϑαι τὸ μὴ δύναϑαι δι᾽ ὅρων ἀναπτύσσειν ἑτέρῳ τὴν Ἔννοιαν.

„ Θῶμεν παρ. χάρ. ζητηθέντα σε παρά τινος τὴν τῶν χαρακτηριςικῶν ἔκφρασιν γνωρισ-
„ μάτων, δι᾽ ὧν, ἡ τῦ ῥόδυ ὀσμὴ τῆς τῶν ἄλλων ἀνθῶν διενήνοχε, μὴ δύναϑαι ταυτὶ
„ ἐξαγγεῖλαι, ἀκριβῶς ἂν σαυτὸν πεπεισμένον ἔξεις τῆς τῦ ῥόδυ ὀσμῆς συγκεχυμένην
„ ἔχειν Ἰδέαν. Τῦτ᾽ αὐτὸ συμβαίνει ϗ τοῖς δυναμένοις μὲν τῦ λευκῦ διακρίνειν τὸ μέ-
„ λαν, τῷ δ᾽ ἔμπης ἐκ γενετῆς τυφλῷ, λόγοις ἀναπτύξαι ἐκ ἔχυσιν, ὅπως τὸ λευκὸν
„ χρῶμα τῦ μέλανος ὀφείλει διαγινώσκεϑαι.

## ΠΓ΄.

Εἴπερ ἦν ἑτέρῳ τινὶ συγκεχυμένην τινὸς Ἰδέαν μέλλῃς ἀνακοινώσαϑαι τὸ, ἥπερ ἡ συγκεχυμένη Ἰδέα ἐςιν, ἀντικείμενον, ταῖς τῦ ἑτέρυ αἰσθήσεσιν ἀνάγκη καθυποβάλλειν, ἔτυν ἐνδείκνυϑαι.

„ Εἴτις παρ. χάρ. τὴν ὀσμὴν τῦ ῥόδυ ὐδέποτε τῇ ὀσφρήσει προσέλαβε, βυλομένυ ἄλλυ
„ τινὸς τὴν ὀσμὴν αὐτῷ ἀνεγεῖραι τῦ ῥόδυ, τὸ ῥόδον ἀνάγκη τῇ τῦ ἑτέρυ προσενεχθῆναι
„ ῥινί. Οὕτως ἤδη ἐκείνῳ ἡ συγκεχυμένη ἀνεγερθήσεται τῆς ὀσμῆς τῦ ῥόδυ Ἰδέα.
„ λόγοις γὰρ ὐκ ἄν ποτε δύναιτο διακεκριμμένως νοῆσαι, ὅπως ἡ τῦ ῥόδυ ὀσμὴ τῶν ἄλ-
„ λων διακεχώριςαι.

## ΠΔ΄.

Ἐκ τύτων τέλος κατανοεῖν ἔχει τις, τίποτ᾽ ἐςὶν τὸ τῦ νοὸς φῶς, καὶ τί βύλεται σημαίνειν ἡ φράσις αὕτη, φῶς ἐγείρεται τῷ ἡμετέρῳ νοΐ.

## ΠΕ΄.

Διὰ τῦ ἐν τῷ κόσμῳ φωτὸς, τοιῦτον ὂν ἐννοῦμεν, δι᾽ ὃ τὰ ἐκτὸς περικείμενα ἀντικείμενα διακρίνειν ἀλλήλων δυνάμεθα.

ΠϚ΄.

## Πϛ.

### Τὸ φῶς ἐν τȣ͂ ἀνθρωπίνȣ νοὸς ἐν τῇ ϛάσει τῶν σαφῶν ϗ διακεκριμένων συνέϛηκεν ἰδεῶν.

Δείκν. Ο' γὰρ νȣ͂ς ἐν τῇ ϛάσει τῶν σαφῶν καὶ διακεκριμένων ἰδεῶν ὑπάρχων τὰ παριϛανόμενα διακρίνειν δύναται (ΞΔ), καὶ ἑπομένως ἡ τῶν σαφῶν καὶ διακεκριμένων ἰδεῶν ϛάσις τὸ τȣ͂ ἀνθρωπίνȣ νοὸς καλȣ́μενον ἀποτελεῖ φῶς (ΠΕ'.).

„ Ε'γκεῖσθαι τοιγαρȣ͂ν Α'. ἐν τῷ ἡμετέρῳ νῷ φῶς προφανὲς, ὅτε ἐξ ἀσαφῶν σαφῶς, ἢ
„ ἐκ σαφῶν διακεκριμέναι αἱ ἰδέαι γίγνοιντο. Β'. Ε'κ τῶν αὐτῶν καθορᾶται, ὅτι
„ τῆς σαφȣ͂ς ϗ διακεκριμμένης γνώσεως αὐξανȣ́σης, τὸ τȣ͂ νοὸς συναύξεται φῶς. Γ'.
„ Ε'ξ αὐτῶν τȣ́των ἔχομεν γνῶναι ἐν τίνι τὸ τȣ͂ νοὸς συνίϛαται σκότος. Ο'τε ὁ νȣ͂ς ἀμελεῖ
„ ἐν τοῖς προσλαμβανομένοις ἀντικειμένοις ȣ̓δ' ὅ, τι ȣ͂ν διακρίνειν ἔχῃ, τότε δὴ τὸ σκότος
„ αὐτῷ ἀποδίδοται. Ε'πεὶ γὰρ ἐν ϛάσει ȣ̓σι τῶν ἀσαφῶν ἰδεῶν, ἕτερον θατέρȣ διακρί-
„ νειν ἀδύνατον (ΞΘ'.)· Εὔδηλον ἄρ' ὅτι τῇ τῶν ἀσαφῶν ἰδεῶν ϛάσει τὸ τȣ͂ νοὸς σκό-
„ τος ἀποτελεῖται.

## ΠΖ'.

Διὰ τῆς πείρας γινώσκομεν, ὅτι ἐν τῷ παριϛᾶν ἑαυτοῖς τὰ χαρακτηριςικὰ γνωρίσματα πράγματός τινος, ἢ πάντα δὴ παριϛῶμεν, ὅσαγ' ἐξαρκεῖ εἰς τὴν τȣ͂ παριϛανομένȣ ἀπὸ τῶν ἄλλων ἁπάντων, ἐν ὁποιᾳδηποτȣ͂ν περιϛάσει, τόπῳ καὶ χρόνῳ διάκρισιν, ἢ γȣ͂ν τινὰ μόνον τῶν γνωρισμάτων, ἅπερ εἰς τὴν τȣ͂ παριϛανομένȣ ἀπὸ τῶν ἄλλων διάκρισιν ἐν ἁπάσῃ περιϛάσει, τόπῳ τε καὶ χρόνῳ ȣ̓κ ἐξαρκεῖ.

## ΠΗ'.

Τῶν παραϛάσεων ἡ μὲν, καθ' ἥν περ ἐξαρκȣ͂ντα γνωρίσματα εἰς τὴν τȣ͂ παριϛανομένȣ ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιϛάσει διάκρισιν, καθ' ἕκαϛα τῷ ἐμῷ ἐφίϛημι νῷ, Ι'δέα Συμπλήρης ἀκȣ́ει. Η' δέ γε, καθ' ἣν τινὰ μόνον, μηδ' ἀποχρῶντα καὶ ταῦτα εἰς τὴν τȣ͂ παριϛανομένȣ ἀπὸ τῶν ἄλλων ἐν ὁποιᾳδηποτȣ͂ν ϛάσει διάκρισιν, Ι'δέα λέγεται ἐλλιπής.



„ Ε'ὰν

„ Ἐὰν παρ. χάρ. τὰ χαρακτηριστικὰ ταῦτα τοῦ πνεύματος γνωρίσματα ἀριθμήσαιας, ὅτι ἐστὶ
„ Α΄. Οὐσία, Β΄. Νοερά. Γ΄. Βουλητικὴ, ἢ Θελητικὴ, καταλέξῃ δὴ τὰ τὸ πνεῦμα δια-
„ ζευγνῦντα τῶν ἄλλων χαρακτηριστικὰ γνωρίσματα, καὶ ἑπομένως διακεκριμένην
„ σεαυτῷ διαμορφώσεις τοῦ πνεύματος Ἔννοιαν (ΟΕ΄.)· ἐπεὶ τὰ ἤδη ἀριθμηθέντα γνω-
„ ρίσματα εἰς τὴν τοῦ πνεύματος ἀπὸ τῶν ἄλλων διάκρισιν ἐν ὁποιαδηποτοῦν ἐξαρκεῖ πα-
„ ραστάσει· (οὐδὲν γὰρ ἄλλο παρὰ τὸ πνεῦμα νοερόν ἐστι ϗ θελητικόν), συνιεὶς, ὅτι διακε-
„ κριμένην συμπλήρη ἔχειν ἔλαχες τοῦ πνεύματος Ἔννοιαν. Ἀριθμῶν δὲ μόνου τῶν τοῦ
„ Θεοῦ γνωρισμάτων εἶεν, παρ. χάρ. ὅτι ὁ Θεός ἐστιν οὐσία Διανοητικὴ, ἕξεις ἤδη τὴν
„ Θεοῦ ἐλλιπῆ ἰδέαν. Ἃ γὰρ τέως ἠριθμήσω εἰς τὴν τοῦ Θεοῦ ἀπὸ τῶν ἄλλων ἐν ὁποια-
„ δηποτοῦν στάσει διάκρισιν, ἐξαρκοῦντα οὐκ ἔστι γνωρίσματα· ἥτε γὰρ ἡμετέρα ψυχὴ,
„ ὥσπερ δὴ ϗ ὁ ἄγγελος, οὐσία ὑπάρχει Διανοητική.

## ΠΘ΄.

## Ὀρθῶς ἡ διακεκριμένη Ἰδέα εἰς Συμπλήρη διαιρεῖται, ϗ Ἐλλιπῆ.

Δείκν. Ἡ διακεκριμένη Ἰδέα παράστασίς ἐστι, καθ᾽ ἣν τὰ δι᾽ ὧν τὸ παριστανόμενον διαγινώσκεται ἀπὸ τῶν ἄλλων χαρακτηριστικὰ γνωρίσματα, καθ᾽ ἕκαστα τῷ ἑαυτῶν ἐφιστῶμεν νοΐ (ΟΕ΄)· Ἐπειδὴ δὲ ἐκ τῆς πείρας ἴσμεν, ἢ πάντα τὰ ἐξαρκοῦντα εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ὁποιαδηποτοῦν στάσει διάκρισιν, γνωρίσματα ἑαυτοῖς παριστᾷ, ἢ γοῦν ἔνια τούτων, ὅτα γε μηδ᾽ ἀπόχρη εἰς τὴν τοῦ παριστανομένου ἐν ὁποιαδηποτοῦν στάσει ἀπὸ τῶν ἄλλων διάκρισιν (ΠΖ.)· τῶν δὲ παραστάσεων, ἡ, καθ᾽ ἣν μὲν εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ὁποιαδηποτοῦν καταστάσει διάγνωσιν, ἐξαρκοῦντα ἑαυτοῖς γνωρίσματα παριστῶιεν, Ἰδέα Συμπλήρης λέγεται. Ἡ δέ γε, καθ᾽ ἣν τινα μόνον τῶν γνωρισμάτων, οὐδ᾽ αὐτάρκη καὶ ταῦτα εἰς τὴν τοῦ παριστανομένου ἀπὸ τῶν ἄλλων διάκρισιν, ἑαυτοῖς τῷ νῷ ἐφιστῶμεν, Ἰδέα ἀσυμπλήρης καλεῖται (ΠΗ.)· Κατανοεῖται ἤδη, τὴν διακεκριμένην Ἰδέαν ὀρθῶς διαιρεῖσθαι εἰς Συμπλήρη καὶ Ἐλλιπῆ.

„ Πᾶσαν μὲν διακεκριμένην Ἰδέαν Συμπλήρη εἶναι ὑπέλαβε Λεϊβνίτζιος. Ὁ δὲ Βόλφιος
„ διαφωνῶν ἐν τούτῳ Λεϊβνιτζίῳ, εἰς Συμπλήρη ϗ Ἐλλιπῆ τὴν διακεκριμένην Ἰδέαν
„ διέκρινε, ϗ τοῦτο δὴ εἰκότως, ϗ λίαν ὀρθῶς.

## Υ΄.

Τὰ χαρακτηριςικὰ γνωρίσματα τὰ τὸ παριςανόμενον συνιςῶντα καθ᾽ ἕκαςα ἑαυτοῖς παριςάνοντες, ἤτοι καὶ τῶν γνωρισμάτων δὴ τέτων καινὰς αὖθις χαρακτῆρας εἰδικῶς ἑαυτοῖς παριςᾶν, ἢ ἐκ ἐθ᾽ ὅπως δυνάμεθα· τῦτο δὲ ἐκ τῆς πείρας κατάδηλον.

„ *Οὕτω γὰρ ὁ διακεκριμένην Ἔννοιαν τῦ πνεύματος διαμορφῶν ἑαυτῷ τὰ τὸ πνεῦμα „ τῶν ἄλλων διαχωρίζοντα καθ᾽ ἕκαςον ἔχει ἐφιςᾶναι τῷ νῷ, οἶδεν, ὅτι τὸ πνεῦμα ἐ- „ ςὶ Α΄. Οὐσία, Β΄. Νοητική, Γ΄. Βυλητική. Τῶν γνωρισμάτων δὴ τέτων, δι᾽ ὧν „ τὸ πνεῦμα διακρίνεται τῶν ἄλλων ἤτοι νέα αὖθις προσεπαριθμεῖν γνωρίσματα δύνα- „ ται, ἢ ἐ· ταὐτὸν εἰπεῖν, ἢ οἶδεν αὖθις ὅ, τι ἐςὶν ἡ Οὐσία, ἡ Νόησίς τε καὶ Θέλη- „ σις, ἢ ἐδαμῶς.*

## ΥΑ΄.

Τὸ ἀντικείμενον Α. ἔτως ἑαυτοῖς παριςᾶντες, ὡς μὴ μόνον τὰ δι᾽ ὧν τὸ Α΄. διαγινώσκεται τῶν ἄλλων χαρακτηριςικὰ γνωρίσματα εἰδικῶς ἀριθμεῖν δύνασθαι, ἀλλ᾽ ἔτι καὶ τῶν γνωρισμάτων νέα γνωρίσματα τῷ νῷ καθ᾽ ἕκαςα ἐφιςᾶν, Ἐξηκριβωμένην Ἰδέαν τῦ ἀντικειμένυ Α΄. ἔχειν λεγόμεθα. Οὐχ ὅτω δὲ τὸ Α. δυνάμενοι ἑαυτοῖς παριςᾶν, Ἰδέαν ἔχειν λεγόμεθα μὴ ἐξηκριβωμένην.

## ΥΒ΄.

### Ἐντεῦθεν κατανοεῖται, ὡς ὀρθῶς εἰς ἐξηκριβωμένην καὶ μὴ ἐξηκριβωμένην ἡ Διακεκριμένη διαιρεῖται Ἰδέα.

Δείκν. Ἰδέαν γὰρ ἔχοντες Διακεκριμένην τὰ χαρακτηριςικὰ γνωρίσματα εἰδικῶς ἑαυτοῖς δυνάμεθα παριςᾶν (ΟΕ΄.)· τὰ δὲ χαρακτηριςικὰ γνωρίσματα πράγματός τινος ἑαυτοῖς παριςῶντες, ἤτοι καὶ τῶν γνωρισμάτων αὐτῦ νέα αὖθις γνωρίσματα δυνάμεθα καταλέγειν, ἢ ἔ. (Υ΄.) εἰ μὲν τὸ Α΄. Ἐξηκριβωμένην· εἰδὲ τὸ Β΄. μὴ ἐξηκριβωμένην ἕξομεν Ἰδέαν· ὀρθῶς ἄρα ἡ διακεκριμένη Ἰδέα διαιρεῖται εἰς ἐξηκριβωμένην καὶ μὴ ἐξηκριβωμένην.

## ΥΓʹ.

Ὅσον ἂν ποῤῥωτέρω εἰς ἀπαρίθμησιν καὶ ἐξάγγελσιν τῶν νέων γνωρισμάτων προχωρεῖν ἔχεις, τοσοῦτον ἡ Ἰδέα μᾶλλον ἐξηκριβωμένη τελεῖται.

## ΥΔʹ.

Ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς τῶν χαρακτηριστικῶν διαγνωρισμάτων γεννᾶται Διακεκριμένης Ἰδέας.

Δείκν. Ἐξηκριβωμένην ἐσχηκότες Ἰδέαν, τὰ τῶν χαρακτηριστικῶν γνωρισμάτων γνωρίσματα καθ᾽ ἕκαστα ἑαυτοῖς παριστᾶντε καὶ ἀριθμεῖν δυνάμεθα· τὰ δὲ τοῦ πράγματος γνωρίσματα καθ᾽ ἕκαστα ἑαυτοῖς παριστῶντες, Ἰδέαν ἔχομεν τοῦ πράγματος Διακεκριμένην (ΟΕʹ.)· Ἰδέαν ἄρα πορίζομεθα Ἐξηκριβωμένην τῶν χαρακτηριστικῶν γνωρισμάτων Διακεκριμένης εὐμοιροῦντες Ἰδέας, ταὐτὸν δ᾽ εἰπεῖν ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς Διακεκριμένης τῶν μερῶν, ἤτοι χαρακτηριστικῶν γνωρισμάτων γεννᾶται Ἰδέας.

## ΥΕʹ.

Παντὸς πράγματος Ἐξηκριβωμένην Ἰδέαν διαμορφοῦν ἑαυτοῖς οὐ δυνάμεθα.

Δείκν. Ἐπεὶ γὰρ ἡ Ἐξηκριβωμένη Ἰδέα ἐκ τῆς Διακεκριμένης Ἰδέας ἤρτηται τῶν τὸ ὁλικὸν ἀντικείμενον συνιστώντων χαρακτηριστικῶν γνωρισμάτων (ΥΔʹ.)· Παντὸς δὲ πράγματος Διακεκριμμένην ἑαυτοῖς διαμορφοῦν Ἰδέαν ἀμήχανον, πολλῶν ὅσων τῶν αἰσθήσεσιν ἐκτιθεμένων συγκεχυμένως ἡμῖν παριστανομένων (ΠΑʹ.)· δῆλον, ὅτι παντὸς πράγματος Ἐξηκριβωμένην Ἰδέαν διαμορφοῦν ἑαυτοῖς οὐ δυνάμεθα.

## Υϛʹ.

Ἡ τῶν ἐξηκριβωμένων Ἰδεῶν διαμόρφωσις Ἰδεῶν ἀνάλυσις λέγεται παρὰ φιλοσόφοις.

„ Κα-

„ *Καλεῖται δὲ ἡ τῶν Ε'ξηκριβωμένων Ι'δεῶν διαμόρφωσις Ι'δεῶν ἀνάλυσις, ὅτι ὁ τὰς ἐξη-*
„ *κριβωμένας Ι'δέας εἰδοποιῶν ἑαυτῷ τὰ μέρη αὖθις, ἤτοι γνωρίσματα τῆ παριςα-*
„ *νομένη εἰς τὰ ἑαυτῶν μέρη, ἤτοι γνωρίσματα ἀναλύει (ΥΛ'.), ὡς ἔθος τοῖς τῶν Α'-*
„ *νατόμων παισὶν, οἵτινες τὸ ἀνθρώπινον σῶμα εἰς τὰ οἰκεῖα λύουσι μέρη, καὶ τὰ μέρη*
„ *ὡσαύτως εἰς τὰ ἑαυτῶν ὑποδιαιροῦσι μέρη, καὶ τῶν ἐλαχίςων ὡς οἷόντε διαπεράμε-*
„ *νοι δεξιῶς.*

## ΥΖ'.

## Ε'ν τῇ τῶν Ι'δεῶν ἀναλύσει ἐπ' ἄπειρον προϊέναι ἀδύνατον.

Δείκν. Ε'πεὶ γὰρ ὁ τῶν ἀνθρώπων νοῦς εἰς Ι'δέας ἐν τοῖς μάλιςα Ε'ξηκριβωμένας ἀφικέσθαι ἀδύνατα, κἂν τῇ τῶν Ε'ξηκριβωμένων Ι'δεῶν εἰδοποιήσει, οἷον ὅροι ἡμῖν ἀφορίζονται (ΞΕ'.)· ἡ δ' ἀνάλυσις τῶν Ε'ννοιῶν τῇ τῶν ἐξηκριβωμένων Ι'δεῶν εἰδοποιήσει ἀποτελεῖται· (Υϛ'.)· δῆλον, ὅτι ἐν τῇ ἀναλύσει τῶν Ἰδεῶν ἐπ' ἄπειρον προϊέναι ἀδύνατον.

„ *Οὐκ ἄνποτε προχωρητέον ἕως ἂν ἐξῇ ἐν τῇ τῶν Ι'δεῶν ἀναλύσει· ὅτε γὰρ Α'. ἐν τῇ τῶν*
„ *Ι'δεῶν ἀναλύσει εἰς τὰ χαρακτηριςὰ γνωρίσματα ἀφίκῃ τὰ τοῖς πᾶσι καταφανῆ, μη-*
„ *κέτι περαιτέρω ταυτὶ ἀναλύσειας. Β'. Ο'τε εἰς τοιαῦτα γένη γνωρίσματα ἐν τῇ τῶν*
„ *Ι'δεῶν ἀναλύσει, ἐν οἷς περ διὰ τὴν ἑαυτῶν ἁπλότητα οὐδὲν ἔτι ἔξεςι διακρίνειν, τὴν*
„ *τῶν Ι'δεῶν ἀνάλυσιν θέμις ἵςασθαι. Γ'. Ο'τε γένοιο τῷ σκοπῷ, πρὸς ὃν τῇ τῶν Ε'ν-*
„ *νοιῶν ἐνεχείρησας ἀναλύσει (ὁδὲ γε σκοπὸς, ἤτοι ἀνάπτυξις, ἢ δεῖξις ἐςὶν) ἠρεμητέον*
„ *ἤδη σοι τὰ χαρακτηριςικὰ γνωρίσματα ἀναπτύσσοντι· πλέω δὲ περὶ τούτων ἐν τῇ ἀ-*
„ *ναπτύξει.*

„ *Μέχρι τῆδε περὶ τῆς εἰδοποιοῦ διαφορᾶς τῆς τῶν Ι'δεῶν, ἤτοι περὶ διαφόρου τρόπου τῆς*
„ *τῶν Ι'δεῶν διαμορφώσεως, αὕτη δὲ ἡ διαφορὰ, ἐπὶ τοῦ παρόντος διαγράμματος καθορᾶται.*

**Ι'δέα**

| | | |
|---|---|---|
| | *Σαφὴς* | Α'σαφής. |
| | *Διακεκριμένη* | Συγκεχυμένη. |
| (α'.) | *Συμπλήρης* | Ε'λλιπής. |
| (β'.) | *Ε'ξηκριβωμένη* | μὴ Ε'ξηκριβωμένη. |

## ΥΗ'.

Ε'πὶ τὴν ὑλικὴν ἤδη τῶν Ε'ννοιῶν διαφορὰν μεταβαίνομεν.

Ε'ςι δ' αὕτη ἡ ἀπὸ τῆς ὕλης τῶν αὐτῶν, ἤτοι ἀπὸ τοῦ παριςανομένου πράγματος λαμβανομένη.

„ *Κατὰ*

„ *Κατὰ δὲ ταύτην τὴν Θεωρίαν αἱ Ἰδέαι παράτισι διαιροῦνται εἰς Ἰδέας Α. τῶν οὐσιῶν Β.*
„ *τῶν συμβεβηκότων, εἴτ' οὖν τρόπων. Γ΄. τῶν Σχέσεων. ἥν τινα δὴ τριπλῆν διαφορὰν*
„ *ἐν τῇ παραδόσει ἐκθησόμεθα. Ἀλλ' οὖν ταύτην τῶν Ἰδεῶν ὑλικὴν ἐνταῦθα ὑποζωγνύντες διαφοράν. Αἱ Ἰδέαι ἀμέλει τῷ λόγῳ τοῦ ἀντικειμένου, ἤτοι τοῦ παριστωμένου πράγματος ἄριστα διαιρεῖσθαι δοκοῦσιν εἰς τὰς μερικὰς εἴτουν ἀτομικάς, καὶ εἰς τὰς ἀνηγμένας καὶ καθολικάς. Ταύτης δὲ τῆς διαφορᾶς εἰς εὐκρινεστέραν κατάληψιν τοῖς ἑξῆς προσεκτέον.*

## ΥΘ΄.

**Πᾶν ὅ, τι ὑπάρχει, ἢ τῇ αἰσθήσει ἀντιλαμβανόμεθα, Μερικὸν ἀποκαλοῦμεν, ἤτοι ἄτομον.**

„ *Παρ. χάρ. Αὕτη ἡ τράπεζα, ἥτις ὁ Τίμων, ὃν ὁρῶ· οὗτος ὁ Περικλῆς, ὁ λαλοῦντος ἀκούω, εἰσὶν ἄτομα.*

## Ρ΄.

### Τὸ ἄτομον δι' ὅλου διώρισται.

Δείκν. Οὗτινος δήποτε ἀντιλαμβανόμεθα ταῖς αἰσθήσεσι, τοῦτο δὴ ποικίλαις, καὶ ὅτι πλείσταις περιστάσεσιν ἐνειλημμένον καὶ ἱματισμένον εἶναι παρατηροῦμεν. Τὸ δ' ὑπὸ ποικίλαις καὶ ὅτι πλείσταις περιστάσεσι δυνάμενον ἐννοεῖσθαι δι' ὅλου διωρισμένον ἀποκαλοῦμεν. Οὗτινος δήποτε ἄρα ταῖς αἰσθήσεσιν ἀντιλαμβανόμεθα, δι' ὅλου διώρισται, τουτέστιν ἐκείνῳ πάντα πάρεστιν, ὡς μὴ πλείους δύνασθαι περιστάσεις, ἢ διορισμοὺς ἐπελθεῖν, ἐν ὅσῳ δὴ τοῦτο μένει ταυτό. Οὗ δὲ ταῖς αἰσθήσεσιν ἀντιλαμβανόμεθα, ἄτομον δὴ τοῦτο ἐστί. (ΥΘ΄.) Πρόδηλον οὖν, ὅτι τὸ ἄτομόν ἐστι δι' ὅλου διωρισμένον.

„ *Οὕτω παρ. χάρ. ὁ Πέτρος οὗτος, ὃν ὁρᾷς, ἄτομον τυγχάνει γε ὄν· συνῆλθον καὶ γὰρ ἐν αὐτῷ ὅτι πλεῖσται περιστάσεις τε καὶ διορισμοί, οἵτινες δὴ ἀποτελοῦσι τὸν Πέτρον διωρισμένως αὐτὸν τοῦτον εἶναι τὸν Πέτρον, ὡς μηκέτι δύνασθαι πλείους ἐπελθεῖν ἐφ' ὅσον εἶναι ὀφείλει Οὗτος ὁ Πέτρος· κἂν γὰρ καὶ ἐλάχιστος ἐπέλθῃ διορισμὸς ὁ πρότερον αὐτῷ μὴ προσών, ἕτερον ἄτομον ἀνακύψει.*

## ΡΑ΄.

Κατανοεῖς νῦν ἐντεῦθεν πρῶτον, τὸν παρά τισι τῇ Ἀτόμῃ φερόμενον ὁρισμὸν, τοιῦτον τί εἶναι λέγουσιν, ὅπερ ἑαυτῷ ὐδὲν ἔσχηκεν ὅμοιον. Οἱ πάλαι Ἄτομον ἀπεκάλουν τὸ ἐξ Ἰδιοτήτων συνιςάμενον, ὧν τὸ ἄθροισμα ὐδέποτ' ἐν ἑτέρῳ τινὶ τὸ αὐτὸ εἶναι δύναται· Πορφυρ. Εἰσαγ. κεφ. Γ΄. §. 16.

Β΄. Ὁρᾷς ἐν τίνι συνέςηκεν ἡ ἀρχὴ τῆς Ἀτομότητος. Ἔςι γὰρ αὕτη συμπλοκὴ ἁπασῶν τῶν Ἰδιοτήτων καὶ διορισμῶν τῶν ἀποτελόντων πρᾶγμά τι διωρισμένως εἶναι τοῦτο τὸ πρᾶγμα, μηδ' ἄλλο τι.

## ΡΒ΄.

Ἀτομικὴ Ἰδέα ἐςὶν τοιαύτη παράςασις, καθ' ἣν τῷ νῷ παριςῶμεν τὸ ἄτομον, ἤτοι παράςασις πράγματος τινὸς ὄντος.

## ΡΓ΄.

Ἡ Ἀτομικὴ Ἴδεα παρίςησιν ἡμῖν ὅτι πλείςας περιςάσεις τε καὶ δι' ὅλου διορισμούς.

Δεικν. Ἐπεὶ γὰρ ἡ Ἀτομικὴ Ἰδέα παράςασις ἐςὶ τῆ Ἀτόμη, ἤτοι τῆ ὑπάρχοντος πράγματος (ΡΒ΄.)· τὸ δ' Ἄτομον δι' ὅλου διώριςαι (Ρ΄.)· δῆλον οὖν, ὅτι ἡ Ἀτομικὴ Ἰδέα παρίςησιν ἡμῖν πλείςας περιςάσεις κτλ΄.

## ΡΔ΄.

Καίτοι δὲ τῶν Ἀτόμων, εἴτουν τῶν μερικῶν πραγμάτων ὑπὸ παντοδαπαῖς περιςάσεσι καὶ διορισμοῖς δυναμένων θεωρεῖσθαι (Ρ΄.), καὶ ταύταις τοῦ ἑνὸς Ἀτόμου, τοῦ ἑτέρου ἀείποτε διαφέροντος· Γινώσκομεν ἔμπης διὰ τῆς πείρας ἔν τισι διορισμοῖς ὅμοια εἶναι τὰ μερικὰ πράγματα, καὶ ἐν ἑτέροις ἀνόμοια.

## ΡΕ΄.

Ὅσα περ ἐςὶ τῶν Ἀτόμων ὅμοια, ἐπὶ τὴν αὐτὴν ἀνάγομεν κλάσιν καλουμένην τῷ τοῦ εἴδους ὀνόματι, κἀντεῦθεν ὁμοιότης τῶν Ἀτόμων ὀρθῶς ἔχει τὸ εἶδος ὁρίζεσθαι.

„ Οὕτω παρ. χάρ. σκοπῶν τὸν Πέτρον, Παῦλον καὶ Ἰωάννην, καὶ ἕτερ᾽ ἄττα τῶν Ἀτό-
„ μων ὅσα ἂν ἐθέλῃς, εὑρήσεις ταῦτα τῆς ἡλικίας τῷ λόγῳ, ἢ τοῦ μεγέθους, ἢ τῆς
„ γνώμης, ἢ τῆς εὐσεβείας, ἢ τῶν ἱματίων, ἢ ἄλλων τέλος τινῶν περιςάσεων διαφέ-
„ ρειν πρὸς ἄλληλα. Τοῦτο δὲ ἀνκοτε κοινὸν εἶναι πᾶσι παρατηρήσεις τὸ σώματα εἶ-
„ ναι ὀργανικὰ λογικῇ ψυχῇ εἰδοπεποιημένα, καὶ τὸ ἐπίσης εἶναι πάντας ἀνθρώπους.
„ Ἐντεῦθεν εἰς κλάσιν συνιςῶμεν τῶν ὄντων τὸ τοῦ ἀνθρώπου ταύτῃ ὄνομα ἀπονέμον-
„ τες, δῆλον οὗτος ἐντεῦθεν ὅτου χάριν ἡ τοῦ ἀνθρώπου Ἰδέα τὸ εἶδος συνίςησι.

## Ρϛ΄.

Ἐκ τῶν εἰρημένων κατανοεῖται οὐδὲν ἕτερον ἐν τῇ τοῦ εἴδους Ἐννοίᾳ εἰσέρχεσθαι, εἰμὴ ὅ, τι κοινὸν ἀλλήλοις τὰ Ἄτομα ἔσχηκε.

## ΡΖ΄.

Ἐὰν πλείω εἴδη ἀλλήλοις παραβάλλωμεν, ἔν τισι διορισμοῖς, εἴτουν ἰδιότησιν ἀλλήλοις εἶναι ὅμοια ταῦτα παρατηροῦμεν· ἡ τῶν εἰδῶν αὕτη ὁμοιότης κλάσιν τινὰ ἀνωτέραν συνίςησιν, ἥτις τὰ εἴδη ταῦτα ὑπ᾽ αὐτὴν περιέχουσα **Γένος** καλεῖται.

„ Οὕτω παρ. χάρ. εἶδος τῶν ὄντων ὡρισμένον συνιςῶσιν οἱ ἄνθρωποι, ὡσαύτως δὲ καὶ
„ οἱ ἵπποι, καὶ λέοντες καὶ κύνες κτλ. Ταῦτα οὖν πάντα τὰ εἴδη, καί τοιγε ἐν ὅτι
„ κλάσεις διενηνοχότα ἀλλήλων, ἔν τισιν ἔμπης ὅμοια ἐςὶν καὶ ἀλλήλοις συνᾴδοντα.
„ Κοινὸν ἀμέλει τοῖς λέουσιν ἐπὶ τοῖς βουσὶ, τοῖς κυσὶ, τοῖς ἀνθρώποις κτλ. Τὸ εἶ-
„ ναι ἀ. ζῶα, τὸ αἰσθάνεσθαι, καὶ ἑπομένως γένος τῶν ὄντων συνίςαται τὴν τοῦ ζώου φέ-
„ ρον ἐπωνυμίαν· λέγεται γὰρ ζῶον πᾶν τὸ ζῶν τε καὶ αἰσθανόμενον.

## ΡΗ΄.

Αἱ καθόλου Ἔννοιαι εἰσὶν Ἔννοιαι τῶν πλείοσι κοινῶν παραςατικαί.

„ Αὕτη

„ *Οὕτω δὴ ἥτε τῦ ἀνθρώπυ Ε'ννοια, κ̀ ἡ τῦ ζώυ Ε'ννοιαι καθόλυ εἰσί· διὰ τῆς*
„ *τῦ ἀνθρώπυ Ι'δέας παριςαμένης ἡμῖν τοῖς πλέοσιν ἀτόμοις Πέτρῳ φέρ' εἰπεῖν, Παύλῳ,*
„ *Ι'ωάννῃ, Κωνςαντίνῳ, κ̀ τοῖς λοιποῖς ὄντος κοινῦ, κ̀ διὰ τῆς τῦ ζώυ Ι'δέας τῦ κοινῦ*
„ *ἑαυτῆς πλέοσιν εἴδεσι, λέοντι φέρ' εἰπεῖν, Ι'ππῳ, ἀνθρώπῳ κ̀ κτλ'.*

## ΡΘ'.

### *Αἱ τῶν εἰδῶν καὶ γεννῶν Ε'ννοιαι εἰσὶ καθόλυ Ε'ννοιαι.*

*Δείκν.* Ε'πείπερ ὁ τῦ εἴδυς Ε'ννοιαν ἔχων παριςᾶν ἑαυτῷ ὀφείλει τὸ πολλοῖς Α'τόμοις κοινὸν (ΡΕ'.), καὶ ὁ τὴν Ε'ννοιαν ἔτι τῦ γένυς διαμορφῶν ἑαυτῷ, τὸ πολλοῖς εἴδεσι κοινὸν ἑαυτῷ παρίςησιν (ΡΖ'.)· αἱ δὲ τὰ πλείοσι κοινὰ παριςῶσαι Ε'ννοιαι καθόλυ Ε'ννοιαι λέγονται (ΡΗ'.)· δῆλον ὅτι αἱ τῶν εἰδῶν καὶ γεννῶν Ε'ννοιαι καθόλυ Ε'ννοιαι εἰσί.

## ΡΙ'.

### *Αἱ τῶν εἰδῶν καὶ γενῶν Ε'ννοιαι εἰδοποιῦνται δἰ ἀφαιρέσεως.*

*Δείκν.* Τὰς τῶν εἰδῶν Ε'ννοίας εἰδοποιῶν σεαυτῷ, τὺς κοινὺς μόνον τοῖς Α'τόμοις σαυτῷ παριςᾶν ὀφείλεις διορισμὺς (ΡΕ'.)· καὶ ἑπομένως διορισμύς τινας τὺς ἐν τῷ Α'τόμῳ ὐκ ὀφείλεις συνεννοεῖν, τυτέςι τὰς ἐν οἷς ὐκ ἀείποτε ἀλλήλοις ὅμοια τὰ Α'τομα εἰσὶ, παραλείπεις, ὅτε δὲ θάτερον ἄνευ θατέρυ ἐννοῶμεν ἀφαιρεῖν λεγόμεθα, Ο' Ε'ννοίας ἄρα ἑαυτῷ τῶν εἰδῶν διαμορφῦν ἀξιῶν, διαμορφῦν ἑαυτῷ ὀφείλει ταύτας δἰ ἀφαιρέσεως.

Ε'τι, ἐπειδὴ τὰς τῶν γενῶν Ε'ννοίας ἑαυτοῖς ὕτω διαμορφῦμεν, ὥςε μόνον τὺς κοινὺς πλείοσιν εἴδεσι διορισμὺς ἐννοεῖν (ΡΖ'.)· Εὔδηλον ὖν ὅτι τὰς τῶν γενῶν Ε'ννοίας διαμορφῦμεν, ἡνίκα διορισμύς τινὰς μὴ κοινὺς ὄντας τοῖς εἴδεσι παραλείπομεν. Ε'πεὶ δὲ τυτὶ γενέσθαι ἄνευ ἀφαιρέσεως ὐκ ἐνδέχεται· καὶ αἱ τῶν γενῶν ἄρα Ε'ννοιαι εἰδοποιῦνται δἰ ἀφαιρέσεως.

****

## ΡΙΑ΄.

### Αἱ Ἔννοιαι ἐκ μερικῶν καθόλου ἀποτελοῦνται μεσολαβούσης τῆς ἀφαιρέσεως.

Δείκ. Αἱ καθόλου Ἔννοιαι εἰσὶν Ἔννοιαι τὰ πλείοσι κοινὰ παριστῶσαι, αἱ δὲ Ἀτομικαὶ, εἴτουν μερικαὶ, εἰσὶν Ἔννοιαι δι᾽ ὧν περ τὸ Ἄτομον, καὶ ἑπομένως τὸ δι᾽ ὅλου διωρισμένον πρᾶγμα (Ρ΄.) ἡμῖν παρίσταται (ΡΒ΄.)· δῆλον οὖν ἐκ τῶν μερικῶν Ἐννοιῶν γίνεσθαι τὰς καθόλου, ἐπειδὰν διορισμούς τινας τοὺς ἐν τῷ Ἀτόμῳ παραλείπων τοὺς κοινοὺς μόνον ἐννοεῖς. Ὅτε δὲ διορισμούς τινας ἐν τῇ τοῦ Ἀτόμου κατὰ νοῦν ἀντιλήψει οὐκ ἐννοῶμεν, τοὺς κοινοὺς δὲ μόνον ἑαυτοῖς παριστῶμεν, τηνικαῦτα ἀπὸ τῶν μὴ ἐννοουμένων ἀφαιρεῖν λεγόμεθα. Ταῦτα ἄρα τὰς καθόλου Ἐννοίας ἐκ τῶν μερικῶν γίνεσθαι μεσολαβούσης ἀφαιρέσεως καθομολογοῦμεν. Εἶχεν ἂν καὶ οὕτω δειχθῆναι αὕτη ἡ πρότασις.

Αἱ τῶν γενῶν καὶ εἰδῶν Ἔννοιαι εἰσὶ καθόλου Ἔννοιαι (ΡΘ΄.)· αἱ δ᾽ αὐταὶ τῶν γενῶν καὶ εἰδῶν Ἔννοιαι τῇ ἀφαιρέσει εἰδοποιοῦνται (ΡΙ΄.)· προφανὲς, ὅτι αἱ καθόλου Ἔννοιαι δι᾽ ἀφαιρέσεως ἀποτελοῦνται.

„ Ἐντεῦθεν ἐγένετο τοῖς φιλοσοφοῦσι τὰς καθόλου Ἐννοίας, καὶ ἀφῃρημένας ἀποκαλεῖν
„ τοιαῦται δέ εἰσιν αἱ τοῦ ἀνθρώπου, τῆς οὐσίας, τοῦ ὄντος, καὶ τῶν τοιούτων Ἔννοιαι.

## ΡΙΒ΄.

### Νῦν ἤδη ἐκ τῶν προκατασκευασθέντων κατανοεῖς τὰ γένη καὶ τὰ εἴδη μὴ ὑπάρχειν, εἰμὴ ἐν τοῖς Ἀτόμοις.

Πᾶν ὅ, τι ὑπάρχει δι᾽ ὅλου διώρισται περιστάσεσί τε πολλαπλασίαις καὶ ποικίλαις ἐμπεριείληπται (κατὰ τὴν πεῖραν). Ἐπεὶ δὲ ἡ τοῦ εἴδους Ἔννοια ὑπ᾽ αὐτὴν οὐ δι᾽ ὅλου διορισμοὺς περιέχει, μόνον δὲ τοὺς τοῖς Ἀτόμοις κοινοὺς (ΡΕ΄.) ἑπόμενόν ἐστι τὸ εἶδος μὴ ἐνεργείᾳ ὑπάρχειν, ἤτοι, ὡς ὁ Βόλφιος προφέρει, „ τὸ ὂν, ᾧ τινι ἐνυπάρχει μόνα τὰ τῇ τοῦ εἴδους ἐννοίᾳ ἀνήκοντα, ὑπάρχειν οὐκ ἔξεστιν“. Ἐπεὶ δὲ τῇ τοῦ εἴδους Ἰδέᾳ οὐδ᾽ ὁτιοῦν ἄλλο, εἰμὴ τὸ τοῖς Ἀτόμοις κοινὸν εἰσέρχεσθαι δύναται (Ρϛ΄.), καὶ ἑπομένως πάντα τὰ ἐν τῷ εἴδει πε-

ριε-

μιεχόμενα, ἐν τοῖς καθ᾽ ἕκαςα Ἀτόμοις πρόσκεινται. Δῆλον ἄρ᾽ ὅτι τὸ εἶδος ὐχ ὑπάρχει, εἰμὴ ἐν τοῖς καθ᾽ ἕκαςα καὶ Ἀτόμοις.

Ἔτι, ἐπείπερ ἡ τῦ γένυς Ἔννοια τὰ τοῖς εἴδεσι περιέχει κοινὰ (ΡΖ΄.) τὸ δὲ εἶδος ὐχ ὑπάρχει, εἰμὴ ἐν τοῖς Ἀτόμοις (κατὰ τὰ δειχθέντα), προφανέςατον αὖθις μὴ ὑπάρχειν τὸ γένος, ὅτι μὴ ἐν τοῖς Ἀτόμοις.

„ Λάβε μοι παρ. χάρ. τὴν τῦ ἀνθρώπυ Ἔννοιαν ἀντὶ εἴδυς· εἰς σύςασιν ὖν τύτυ ἀπαιτῦνται οἱ διορισμοὶ ὗτοι. Α΄. Σῶμα Ὀργανικόν· β΄. Αὐτῷ συνημμένη Ψυχὴ Λογική. Οὐδὲν δ᾽ ἐνεργείᾳ ὑπάρχει ὂν τὺς δύω μόνον τύτυς περιέχον διορισμὺς, καὶ παρὰ τύτυς ὐδένα ἕτερον· τὰ γὰρ Ἄτομα δὴ ταῦτα τὰ τὴν κλάσιν συνιςῶντα τὴν τῶν ἀνθρώπων, πλείυς ϗ ἄλλυς διορισμὺς ἔσχηκεν εἰς σύςασιν Ἐννοίας τῆς τῦ ἀνθρώπυ, ἢ τοιῦτον, ὐδόλως ἀνήκοντας.

# ΡΙΓ΄.

Ἐντεῦθεν κατάδηλον ὅτι

Α΄. Ἐν πᾶσι τοῖς μερικοῖς ἐνυπάρχυσι τὰ καθόλυ· τὰ γὰρ γένη ϗ εἴδη ἐν τοῖς Ἀτόμοις ὑπάρχυσιν (ΡΙΒ΄.), Αἱ δὲ Ἔννοιαι τῶν γενῶν καὶ εἰδῶν καθόλυ εἰσὶν (ΡΙ΄.)· ἄρα πᾶσι τοῖς Ἀτόμοις, ἤτοι μερικοῖς ἐνυπάρχυσι τὰ καθόλυ.

Β΄. Ὀρθῶς λέγεται τὰ Ἄτομα τῦ γένυς καὶ εἴδυς εἶναι θεμέθλυς.

# ΡΙΔ΄.

## Ἐν τοῖς Ἀτόμοις πλείω, ἤπερ τῷ εἴδει ἐςί.

Δείκ. Ἐπεὶ γὰρ ἐν τοῖς Ἀτόμοις δι᾽ ὅλυ διορισμὺς καὶ περιςάσεις οἴδαμεν ὔσας (Ρ΄.), εἰς δὲ τὴν τῦ εἴδυς Ἔννοιαν διορισμοὶ εἰσέρχονται μόνον οἱ ἀεὶ ὡσαύτως τοῖς Ἀτόμοις ἐνόντες (Ρϛ΄.)· Εὐχερῶς ἤδη κατανοεῖς μὴ πάντας τὺς ἐν τῷ Ἀτόμῳ διορισμὺς, μόνυς δὲ τὺς ὁμοίυς καὶ ἀλλήλοις συνᾴδοντας εἰς τὴν τῦ εἴδυς Ἔννοιαν ἀπαιτεῖσθαι· κἀκτέτυ συνεννοεῖται ἐν τοῖς Ἀτόμοις πλείω εἶναι, ἤπερ ἐν τῷ εἴδει.

„ Οὕτω παρ. χάρ. Ἐν τοῖς Ἀτόμοις τοῖς δε, Πέτρῳ, Ἰακώβῳ ϗ Ἰωάννῃ δι᾽ ὅλυ διορισμὺς ϗ ἰδιότητας εὑρήσεις προσέχων τὸν νῦν. Ἐν γὰρ τῷ Πέτρῳ τὴν ἡλικίαν, τὸ μέγεθος, τὰς ἐθῦτας, τὴν παιδείαν, τὸν τόπον, ἐν ᾧ ποιεῖται τὰς διατριβὰς, ϗ πλείω ἕτερα τὰ τὸν Πέτρον, Πέτρον εἶναι ἀποτελῦντα, δύνασαι ἐννοεῖν. Οὗτοι δὲ οἱ διορισμοὶ πάντες ἐν τῷ εἴδει, τῇ τῦ ἀνθρώπυ δηλονότι Ἐννοίᾳ ὐ πρόσκειται.



„ Εἰς

„ Εἰς γὰρ τὴν εἰδοποίησιν τούτου οὐδὲν ἔτι ἀπαιτεῖται, εἰμὴ ψυχὴ λογικὴ συνημμένη
„ ὀργανικῷ σώματι.

## ΡΙΕ΄.

### Ἐν τῷ εἴδει ἐςὶ πλείω, ἢ ἐν τῷ γένει.

Δεῖξις. Ἐπεὶ γὰρ τὴν τοῦ γένους Ἔννοιαν μόνοι οἱ ἐν τῷ εἴδει ὅμοιοι διορισμοὶ συνιςῶσι (ΡΖ΄.)· Πρόδηλον, ὅτι οὐ πάντες οἱ ἐν τῷ εἴδει διορισμοὶ ἀπαιτοῦνται εἰς τὴν τῆς Ἐννοίας τοῦ γένους σύςασιν· καὶ ἑπομένως πλείους ὁρᾷς διορισμοὺς ἐν τῷ εἴδει, ἤπερ ἐν τῷ γένει εὑρίσκεσθαι.

„ Οὕτω παρ. χάρ. πλείους ἀπαιτοῦνται διορισμοὶ εἰς τὴν τῆς Ἐννοίας τοῦ ἀνθρώπου ὡς
„ εἴδους σύςασιν, ἤπερ εἰς τὴν τοῦ ζώου ὡς γένους. Τῇ γὰρ τοῦ ἀνθρώπου Ἐννοίᾳ, οὐ
„ μόνον ἀπαιτοῦνται ζωὴ καὶ αἴσθησις, ἀλλ' ἔτι καὶ ψυχὴ Λογικὴ ὀργανικῷ σώματι συ-
„ νημμένη. Ἐπὶ δὲ τὴν τοῦ ζώου Ἔννοιαν ζωὴ καὶ αἴσθησις ἀπαιτεῖται. Πλείω τοιγα-
„ ροῦν τῷ εἴδει, ἢ τῷ γένει παρεῖναι δῆλον.

## ΡΙϚ΄.

Νῦν ἤδη κατανοεῖς τὰ παρὰ Φιλοσόφοις λεγόμενα.

Α΄. Ἀφ' ὡρισμένου εἴδους ἐπὶ τὸ γένος οὐκ ὀρθῶς συμπεραίνεται.

Β΄. Τὸ γένος οὐ δύναται ἀντιςρέφειν τῷ εἴδει.

Γ΄. Οὐ πᾶν ὅ, τι μάχεται τῷ εἴδει, μαχόμενον ἐςὶ καὶ τῷ γένει, καίτοι παντὸς τοῦ μαχομένου τῷ γένει, μαχομένου πάντως γε καὶ τῷ εἴδει.

„ Τὴν ἐσχάτην ταύτην διαβεβαίωσιν τοῖς φιλοσοφοῦσιν οὖσαν συνήθη, σημειωτέαν ἀξιῶ εἶναι, ὡς
„ παρὰ ταύτην μεμνημένος ἐν ταῖς νεωτέραις ἀμφισβητήτεσιν, οὐχ ἅπαξ πλημμεληθῆναι,
„ ὅπερ ἐν τῇ ἑρμηνείᾳ τοῦ μαθήματος πλατύτερον ἐπιδείξομεν.

„ Οὕτω παρ. χάρ τῷ ἀνθρώπῳ ὡς εἶδος θεωρουμένῳ, τὸ ἄλογον εἶναι μάχεται, οὐ μὴν δὲ
„ καὶ τῷ ζώῳ ἐν γένει· τοὔμπαλιν δὲ συναγαγεῖν ἔχομεν, μάχεται τῷ ζώῳ ἐν γένει τὸ
„ εἶναι ἀναίσθητον, ἄρα καὶ τῷ ἀνθρώπῳ.

„ Τοὺς δὲ λόγους τῶν θέσεων τουτωνὶ οἷον πορίσματα παραχθεισῶν ἐκ τῶν πρότερον, ἐνώ-
„ πιον ἀποδώσομεν. Ἐκ τούτων οὖν ἁπάντων εὐχερῶς ἔχεις κατανοῆσαι τὸν παρά τι-
„ σι τῶν νεωτέρων φιλοσόφων, οὕτω προενεχθέντα κανόνα τουδί· ὅσῳ περ ἡ Ἰδέα ἐλάττω
„ τὴν σύλληψιν, τοσούτῳ μείζω τὴν ἔκτασιν ἔχει. Σύλληψιν δὲ καλεῖ ὁ τῆς τέχνης τοῦ
„ νοεῖν ποιητὴς, τὴν τῶν διορισμῶν, ἤτοι περιςάσεων διανόησιν τῶν εἴς τινος σύςασιν
„ Ἰδέας συντρεχουσῶν. Ἐπεὶ δέ τοι καὶ ὑποκείμενον θεωρεῖται, ὥπερ οἱ διορισμοὶ ἀπο-
„ νέμεσθαι δύνανται ἔκτασιν τὸ ὑποκείμενον τοῦτο ἀποκαλεῖν, ὥςε τὸν κανόνα Ἔννοιαν

„ πε-

„ περιέχειν τοιαύτην. Ἐν ὁποιαδηποτοῦν Ἰδέᾳ ἐλάττους πρόσκεινται οἱ διορισμοὶ, αὕ-
„ τη εἰς πλείω δύναται ἐκτείνεσθαι ὑποκείμενα, ἤπερ ἡ ἐν ᾗ πλείους· παρ. χάρ. ἡ τοῦ
„ Πέτρου Ἰδέα πολλοὺς καὶ ποικίλους διορισμοὺς περιέσχηκε, κἀνταῦθεν οὐχ αὕτη γε
„ δυνηθείη ἐφ' ἕτερα ὑποκείμενα ἐκτείνεσθαί τε καὶ ἐφαρμόττεσθαι. Ἡ δὲ τοῦ ἀνθρώπου
„ Ἰδέα οὐχ ὅσας καὶ ἡ τοῦ Πέτρου συμπεριείληφεν. Ἔνθεν τοι ἐπὶ πλείω ἐστὶν ἐκτεινο-
„ μένη πλατυτέρως. Ἔτι δὲ ἡ τοῦ ζώου Ἰδέα διορισμοὺς ἐλάττους τῆς τοῦ ἀνθρώπου
„ συμπεριέχουσα, ἐπὶ πλείω τῆς τοῦ ἀνθρώπου ἐφαρμόττεσθαι δύναται. Πλείω περὶ τούτου
„ ἐν τῇ παραδόσει.

# ΡΙΖ΄.

Οἱ καθ' οὓς τὰ ὑπὸ τὸ αὐτὸ γένος εἴδη πρὸς ἄλληλα διενήνοχε διορισμοὶ, διαφορὰ καλοῦνται εἰδοποιός.

„ Οὕτω παρ. χάρ. Τὸ Λογικὸν, εἰδοποιὸς ἐστὶ τοῦ ἀνθρώπου διαφορά, διὰ γὰρ τῆς λογι-
„ κότητος ἁπάντων τῶν ὑπὸ τὸ αὐτὸ Γένος ἑτέρων εἰδῶν ὁ ἄνθρωπος διακρίνεται ἀπό τε
„ ἵππων φημὶ, λεόντων, κυνῶν τε κτλ. τῶν ὑπὸ τῷ αὐτῷ γένει, τῇ τοῦ ζώου ἀμέλει Ἐννοίᾳ
„ περιεχομένων εἰδῶν.

# ΡΙΗ΄.

## Ἐξ ἁπάντων τούτων καταφανὲς, ὅτι αἱ Ἰδέαι διαμορφοῦνται· ἤτοι δι' αἰσθήσεως, ἢ δι' ἀφαιρέσεως.

Δείκν. Ἐπεὶ γὰρ αἱ Ἰδέαι τῷ λόγῳ τοῦ ἀντικειμένου, ἢ Ἀτομικαί εἰσιν, ἢ καθόλου (ΠΘ΄.)· Ἡ δὲ Ἀτομικὴ Ἰδέα δι' αἰσθήσεως διαμορφοῦται (ΥΘ΄. ΡΒ΄.) αἱ δὲ καθόλου Ἰδέαι, διὰ τῆς ἀφαιρέσεως προσαπορίζονται (ΡΙΑ΄.)· ἢ δι' αἰσθήσεως ἄρα, ἢ δι' ἀφαιρέσεως αἱ Ἰδέαι πᾶσαι διαμορφοῦνται.

Γ. Παρὰ ταῦτα τρόπος διαμορφωτικὸς ἰδεῶν προστίθεται ὁ διὰ τῆς κατὰ τὸ δοκοῦν ἀμέλει
„ συζεύξεως· ὥσπερ γὰρ διὰ παραλείψεώς τινων τῶν τὸ Ἄτομον δι' ὅλου διοριζόντων
„ τὰς ἀφηρημένας ἐκτελοῦμεν Ἐννοίας, οὕτω καὶ τοὺς διορισμοὺς ἐννοοῦσιν ἐμποιεῖν ἔξεστι τὰ
„ διάφορα καὶ ἀλλήλων διεζευγμένα, καὶ τὸ οὕτω διωρισμένον διορίζειν ἄλλως πως. Οὕτω
„ παρ. χάρ. Ἔννοια διανοίας ἐντελεστάτης, ἢ ὡσαύτως ὄρους χρυσοῦ διαμορφῶν σεαυτῷ
„ διὰ τῆς κατὰ τὸ δοκοῦν συζεύξεως ταύτην διαμορφοῖς. Εἰδὼς γὰρ ὅ, τι ἐστὶν ἡ διά-
„ νοια, καὶ ὅ, τι τὸ ἐντελέστατον, οὕτως ἤδη ἐννοοῦν τὰς Ἰδέας συζεύγνυς, ὡς μίαν ἀπο-
„ τελεῖσθαι τὴν τῆς ἐντελεστάτης διανοίας Ἔννοιαν.

„ Πε-

„ *Περὶ τῶν Ἐννοιῶν τούτων, τῶν διὰ τῆς κατὰ τὸ δοκοῦν συζεύξεως ἠδοποιημένων, τουτὶ παρατηρεῖν ἀξιῶ. Βουλομένῳ σοι, ἂν αὗται δυναταὶ ὦσι, καὶ ἑπομένως ἀληθεῖς ἐπιγνῶναι, τῇ τῶν συζευγνυμένων Ἐννοιῶν συμπλοκῇ προσεκτέον. Εἰ μὲν γὰρ συζευγνύμεναι αἱ Ἰδέαι ἀντιφάσκοιεν, ἀδύνατοι αἱ Ἔννοιαι ἔσονται, οἷα ἡ τῆς κοινότητος τῶν ἀθέων, τοῦ χρυσοῦ ὄρους, τοῦ σιδηροῦ ξύλου. Εἰδὲ πρὸς ἀλλήλας μὴ ἀντιμάχοιντο, αἱ Ἔννοιαι ἔσονται δυναταὶ, οἷα ἡ τῆς τελειοτάτης διανοίας ἐςί.*

„ *Ταῦτα μὲν περὶ τῆς τριπλῆς μεθόδου τῆς τῶν Ἰδεῶν διαμορφώσεως. Ἤδη δὲ ὅπως αἱ Ἰδέαι βελτιοῦνται καὶ ἰκακιοῦνται· (συγγνώμη δ' ἡμῖν ταῖς λέξεσι βαρβαρίζουσιν.)*

## ΡΙΘ΄.

Αἱ Ἰδέαι βελτιοῦνται, ἐξ ἀσαφῶν σαφεῖς καὶ ἐκ σαφῶν γινόμεναι διακεκριμέναι.

## ΚΡ΄.

## Αἱ Ἰδέαι μάλιςα βελτιοῦνται τῇ προσοχῇ.

Δεικν. Αἱ Ἰδέαι ἐξ ἀσαφῶν σαφεῖς καὶ ἐκ σαφῶν διακεκριμέναι τελοῦνται διὰ τῆς προσοχῆς (ΟΒ΄. ΥΖ΄.)· Ὅτε δὲ αἱ αὐταὶ βελτιοῦνται ἐξ ἀσαφῶν σαφεῖς, καὶ ἐκ σαφῶν διακεκριμέναι ἀποτελοῦνται (ΡΙΘ΄.)· Αἱ Ἰδέαι ἄρα βελτιοῦνται διὰ τῆς προσοχῆς.

„ *Εἰς τὴν τῶν Ἰδεῶν βελτίωσιν ἐν τοῖς μάλιςα συμβάλλει ἡ συνεχὴς ἐπανάληψις· καὶ τοῦ πράγματος παράςασις. Ὅσῳ γὰρ αἱ παραςάσεις ἐπαναλαμβάνονται, τοσούτῳ δὴ σαφέςεραι γινόμεναι βελτιοῦνται.*

## ΡΚΑ΄.

Κακιοῦσθαι τοιγαροῦν τὰς Ἰδέας ἐκ τῶν ἑπομένων κατανοεῖται. Α΄. ἀμελουμένης τῆς ἐπαναλήψεως καὶ συνεχοῦς παραςάσεως. Β΄. ἀμελουμένης τῆς προσοχῆς καὶ ἐνατενίσεως, καὶ Γ΄. ἡνίκα τὸ πρᾶγμα οὐ δι' ἱκανοῦ χρόνου ἑαυτοῖς παριςῶμεν.

„ *Περὶ οὗ πλείω ἐν ταῖς ἡμετέραις σχολαῖς.*

ΚΕ-

# ΚΕΦΑ'ΛΑΙΟΝ Β΄.

## Περὶ χρήσεως φωνῶν, ἤτοι τῶν περὶ τὰς Ἐννοίας ὅρων.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΚΒ΄.

Τὰς ἐν ἡμῖν διαμορφημένας Ἐννοίας διὰ φωνῶν κοινῶσθαι τοῖς ἄλλοις εἰώθαμεν· ἔνθεν τοι προφυλακῆς δεῖ περὶ τὰς φωνὰς, ἵνα μὴ τοῖς ἄλλοις ἀσαφεῖς, εἰ μὴ πάντοι ἀκατάληπτοι γενώμεθα. Τῷ αὐτῷ δὴ λόγῳ, καθ᾿ ὃν τὰς ἡμετέρας Ἐννοίας, εἴτην Ἰδέας ἡ Λογικὴ διευθύνει εἰς γνῶσιν τῆς ἀληθείας, ἔργον ἐςὶ τῆς αὐτῆς ἐκτιθέναι κανόνας, καθ᾿ οὓς δεῖ ταύτας διαμορφοῦσθαι, εἴγε μέλλοι τὰ παρ᾿ ἡμῖν διανοήμενα, ὀρθῶς τοῖς ἄλλοις ἐνδείκνυσθαι.

### ΡΚΓ΄.

Οὐδὲν ἕτερον εἰσιν αἱ φωναὶ, εἰμὴ σημεῖα ἐνάρθρῳ προφερόμενα ἤχῳ τῶν Ἐννοιῶν τῷ ἡμετέρῳ νοὸς δεικτικά· σημεῖον δὲ, τὸ παρὰ τὴν ἑαυτῷ Ἰδέαν συνεγεῖρον καὶ τὴν ἑτέρου τινός. Αἱ τῶν Ἐννοιῶν δεικτικαὶ φωναὶ λέγονται ἄλλως καὶ ὅροι.

„ Λέξεις καὶ φωναὶ διακριτέαι εἰσὶν ἀλλήλων κατά τινας· λέξεις γὰρ εἰσὶ σημεῖα ἐνάρ-
„ θρῳ προφέρεσθαι ἤχῳ δυνάμενα, καὶ τῶν γραπτῶν συμπεριεχομένων αὐτοῖς. Τὰς δὲ
„ φωνὰς ἐπὶ τὰς ἐνεργεία προφερομένας ἤχας, καὶ διηρθρωμένας ἐκτάνεσθαι πρόδηλον.

### ΡΚΔ΄.

#### Αἱ φωναὶ εἰσὶ σημεῖα τῶν Ἐννοιῶν κατ᾿ ἀρέσκειαν.

Δεῖξις. Διὰ τῆς πείρας μανθάνομεν, τὰς αὐτὰς Ἐννοίας ἔθνεσι διαφόροις διὰ φωνῶν ἐνδείκνυσθαι διαφερουσῶν. Ἐντεῦθεν κατανοεῖται μεταξὺ τῶν φωνῶν ὡς σημείων τῶν Ἐννοιῶν (ΡΚΓ΄.) καὶ τῶν Ἐννοιῶν αὐτῶν ὡς

πραγ-

πραγμάτων σημαινομένων συνάφειαν ἀναγκαίαν ὀυδεμίαν ἐυρίσκεσθαι. Ὅσα δὲ τῶν σημείων ὀυδεμίαν ἔχει πρὸς τὸ σημαινόμενον ἀναγκαίαν συνάφειαν, κατ' ἀρέσκειαν λέγεται. Προφανὲς ὄυν ἐκ τούτων, ὅτι αἱ φωναὶ σημεῖα τῶν Ἐννοιῶν εἰσὶ κατ' ἀρέσκειαν, ἤτοι ἀπὸ τῆς ἡμετέρας θελήσεως ἤρτηται ἡντιναοῦν Ἔννοιαν ὁποιαδηποτοῦν σημαίνειν φωνῇ.

## ΡΚΕ΄.

Τὸν τοῦ ἑτέρου νοῦν συνιέναι λεγόμεθα, ἡνίκα τὰς αὐτὰς Ἐννοίας τοῖς ἐκείνου συζεύγνυμεν ῥήμασιν, ἅς περ ἐκεῖνος συζεύγνυσι τοῖς αὐτοῖς.

## ΡΚς΄.

Πρὸς ἑτέρους ποιοῦντες τοὺς λόγους, προσλαμβάνομεν τὰς φωνὰς, ὡς ἂν οἱ πρὸς οὓς λαλοῦμεν τὸν ἡμέτερον νοῦν συνιέναι ἔχωσι.

„ Τὴν πρότασιν ταύτην, ἣν καὶ μάλα ἡδέως ταύτῃ ὁμολογήσαι πᾶς τις ἀποδεχόμενος,
„ ἐνταῦθα ὡς ἀξίωμα λαμβάνομεν ἀναπόδεικτον.

## ΡΚΖ΄.

### Ὁποιαδηποτοῦν φωνῇ ὀφείλει συζεύγνυσθαι Ἔννοια.

Δείκν. Ἐπεὶ γὰρ αἱ φωναὶ σημεῖα εἰσὶ (ΡΚΓ΄.)· τὸ δὲ σημεῖον εἶναι οὐ δύναται, εἰμή τι σημαινόμενον συμπαρομαρτῇ, ἅτε δὴ παρὰ τὴν ἑαυτοῦ Ἰδέαν ἐγεῖρον, καὶ τὴν ἑτέρου τινος (§. ἐγγυτ.)· Εὔδηλον οὖν, ὅτι αἱ φωναὶ ἀείποτε λόγον ἔχουσι πρὸς τὰς Ἐννοίας τὰς δι' αὐτῶν σημαινομένας, καὶ ἑπομένως ὁποιαδηποτοῦν φωνῇ Ἔννοιαν συζευκτέον.

Εἶχεν ἂν τὸ αὐτὸ δειχθῆναι καὶ οὕτω.

Θῶμεν λέξεις προσλαμβάνεσθαι μηδεμιᾶς αὐταῖς Ἐννοίας συζευγνυμένης· τότε δὴ, οὐδ' ὁ ἕτερος Ἔννοιάν τινα ταύταις συζεύξει, καὶ ἑπομένως, οὐδένα συνήσει νοῦν διὰ λέξεων μηδεμιᾶς Ἐννοίας σημαντικῶν (ΡΚΕ΄.)· Ἐπειδὴ δὲ τοῖς ῥήματι χρώμεθα, ἵνα τὸν ἡμέτερον νοῦν ἄλλοι ἔχωσι συνιέναι (ΡΚς΄.), ἕπεται πάντως ἀφεκτέον εἶναι ἡμῖν τῶν, αἷς μηδεμία συζεύγνυται Ἔννοια, λέξεων.

ΡΚΗ΄.

## ΡΚΗ΄.

### Ὅτι περ ὖν τῶν Φιλοσοφικῶν σχολῶν ἐξοριςαῖαι εἰσὶν αἱ νῦ κεναὶ λέξεις, ἐντεῦθεν ἔχει καταληφθῆναι.

Δείκν. Ἐπεὶ γὰρ ὁποιᾳῦνποτῦν φωνῇ Ἔννοιά τις ἐςὶ συζευκτέα (ΡΚΖ΄.) ὅσαις δὲ ὐδεμία συνέζευκται Ἔννοια, αὗται φωναὶ νῦ κεναὶ, ἤτοι ἦχοι λέγονται ἄνευ νοός· δῆλον ἄρ᾽ ὅτι αἱ νῦ κεναὶ τῶν φωνῶν, ἤτοι οἱ χωρὶς νοὸς ἦχοι ὐδ᾽ ὅλως εἰσὶ προσληπτέοι, ἀλλὰ τῶν Φιλοσοφικῶν σχολῶν καὶ συγγραμμάτων ἐξοριςέοι.

„ *Τὰς τοιαύτας λέξεις ὐδεμιᾷ Ἐννοίᾳ ὔτε γνώμῃ συνεζευγμένας παρὰ τοῖς πάλαι ἐςὶν*
„ *εὑρεῖν καλυμένας βλίτυρι ἢ σκίνδαψος, ὡς ἐςὶν ἰδεῖν παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ*
„ *ςρωματ. βιβλ. Η. τὰς ὅρυς δὲ ὅσοις Ἐννοίαν τινὰ συζευγνύναι οἰόμεθα, τῇ ἀλη-*
„ *θείᾳ δὲ συζευγνυμεν ὐδεμίαν, Ἔννοιαν ἀπατηλὴν τύτοις σημαίνεσθαι λέγομεν. Ὅτε*
„ *γάρ τις ἑαυτῷ ἰδέαν τινὰ ἔχειν δοκεῖ, μηδεμίαν ὅλως ἔχων τῇ ἀληθείᾳ, ἢ ταύτην*
„ *φωνῇ τινὶ σημαίνῃ, τότε δὴ ἡ μὲν Ἔννοια Ἀπατηλὴ, ὁ δὲ ὅρος ἀποκαλεῖται Κενός.*
„ *Οὕτω παρ. χάρ. τὴν μνήμην τινὲς ὁρίζοντες δοχεῖον εἶναι τῶν Ἰδεῶν, δοκῦσιν ἑαυ-*
„ *τοῖς ἐννοεῖν τὸ λεγόμενον. Ἐπεὶ δὲ τῇ φωνῇ ταύτῃ δοχεῖον ὐδεμία Ἰδέα πα-*
„ *ρομαρτεῖ ἐπὶ τὴν Ψυχὴν μεταφερομένη, ὁρᾷς ἤδη τὸν ὅρον τῦτον ὄντα κενὸν,*
„ *ἀπατηλὴν, μᾶλλον δὲ ὐδεμίαν συμαίνοντα Ἔννοιαν.*

## ΡΚΘ΄.

Ὅρος ἀσαφὴς ἐςὶν ἐςὶν ὁ συνημμένην ἔχων Ἔννοιαν ἀσαφῆ.

## ΡΛ΄.

### Ἐὰν ὖν ἐν τῇ τῶν νοημάτων σῦ ἐξηγήσει ὅροις χρήσαιο ἀσαφέσι, τῦ σῦ νοὸς ἐφικέσθαι ὐ δυνήσεται ἕτερος.

Δείκν. Ὅρυς γὰρ ἀσαφεῖς προσλαμβάνοντός σῦ, εἴτινα τύτοις Ἰδέαν συζεύγνυσιν ἕτερος, ἀσαφῆ γῦν τύτοις συζεύξει (ΡΚΘ΄.)· Ἐν δὲ τῇ ἀσαφεῖ Ἐννοίᾳ ὐδ᾽ ὁ, τι ὖν διακρίνειν δυνάμεθα (ΞΘ΄.)· ὁ ἕτερος ἄρα ἀσαφῆ Ἔννοιαν συζευγνὺς τοῖς σοῖς ἀσαφέσιν ὅροις γινώσκειν τὸ σημαινόμενον καὶ διακρίνειν

ἀπὸ τῶν ἄλλων ἐκ ἔθ᾽ ὅπως δυνήσεται, καὶ ἑπομένως ἀγνοήσει τὸ διὰ φωνῆς ἀσαφῆς σημαινόμενον. Α᾽γνοῶν δὲ τὸ ἀσαφέσι σημαινόμενον ὅροις, ἐχ ἕξει τὴν αὐτὴν Ε῎ννοιαν ἑαυτῷ, τῶν ἀσαφῶν ἀκεθέντων ὅρων, ἐγεῖραι. ἥνπερ αὐτοῖς αὐτὸς συζευγνύεις ὅροις ἀσαφέσι πρὸς ἄλλης χρώμενος, καὶ ἑπομένως τὸν σὸν νῦν ἐ συνήσει. (ΡΚΕ.)

„ Σημειωτέον ἐνταῦθα, ὅτι ἡ ἐν τῷ λόγῳ ἀσάφεια, Ε῎ννοια ἐςὶ σχετικὴ πρὸς τούτοις „ γοντα ἢ γράφοντα, ἀκέοντα ἢ ἀναγινώσκοντα ἀναφερομένη. Οἱ μὲν ἐν ὅροι ἢ ἡ τέτων „ σύνταξις ἐνίοτε ἕτως ἔχεσιν, ὥςε παντὶ τῷ προσέχειν μόνον ἐθέλοντι εἶναι κατα- „ φανεῖς. Ε᾽θ᾽ ὅτι δὲ ἕτως εἰσὶ συντεταγμένοι, ὥςε ἐδὲν ἐξ αὐτῶν ἐξάγεται νόημα, „ ἐδ᾽ ἂν πᾶσαν καταβάλλωσι σπεδήν τε ἢ προσοχήν. ἐδ᾽ ἀσάφεια αὕτη γίγνεται

„ Α᾽. Ε᾽κ τῶν λέξεων τῶν νοὸς κενῶν ἢ ἀπατηλὴν Ε῎ννοιαν διεγειρεσῶν (ΡΚΗ᾽.) οἷοί εἰσιν οἱ „ ὅροι τινῶν Φανατικῶν, ἢ Παρακελσιςικῶν· παρ. χάρ. Μικροκοσμήτωρ, Βιθινιμάλκα „ καὶ τὰ λοιπά.

„ Β᾽. Ε᾽κ τῆς συζεύξεως ὅρων τινῶν, οἵτινες χωρὶς, ἢ καθ᾽ ἑαυτὴς θεωρέμενοι Ε῎ννοιάν τινα „ ἑαυτοῖς προσφκειωμένην ἐσχήκασι, φωνῆς δέ τινος προςιθεμένης, ἐδεμίαν ἔτι σημαίνε- „ σιν Ε῎ννοιαν.

„ Οὕτω παρ. χάρ. οἱ ὅροι ἔτοι, σίδηρος, καὶ ξύλον, Ε῎ννοιαν συνεζωγμένην ἑαυτοῖς „ πάντως ἐσχήκασι, συνδυαζομένων δ᾽ ἀλλήλοις τέτων τῶν φωνῶν σίδηρος ξύλινος, „ σημασία πᾶσα προφανῶς ἀναιρεῖται. Πλεῖω παραδείγματα ἐκ τινων Φιλοσοφικῶν „ συγγραμμάτων ἐπάξω ἐν τῇ ἀναπτύξει, συνυπομνήστων ἅμα τὰς αἰτίας, ἀνθ᾽ ὧν ἐχ „ ὅπως οἱ ἰδιῶται, ἀλλ᾽ ἔτι ἢ οἱ πεπαιδευμένοι αὐτοὶ συνεχέςερον φωναῖς νῦ κεναῖς ἢ „ ὅροις κενοῖς χρῶνται ἢ ἀσαφέσι. Περὶ φωνῶν δὲ τῇ νῦ κενῶν ἀναγνωσθήτω ὁ Βερν- „ φέλβιος περὶ Λογομαχιῶν τῶν πεπαιδευμένων. Κεφ. ς᾽, §. 4.

## ΡΛΑ᾽.

### Α᾽ναπτύσσεσι τὰ νοήματα, ἢ τὰς Ε῎ννοίας ἀνακοινεμένοις ὅρων, ἤτοι φωνῶν ἀσαφῶν ἀπέχειν χρεών.

Δείκν. Ο῞ρες κενὲς προσλαμβάνοντός σε ἐ συνήσεσι τὰ λεγόμενα ἕτεροι (ΡΛ᾽.)· ἐπειδὴ τὲς λόγες ποιῶντες εἰς τὲτ᾽ αὐτὸ ἀφορῶμεν, ἵνα τοῖς ἄλλοις ὦμεν κατάδηλοι (ΡΚς᾽.)· Κατανοεῖται ἄρα ἐκ τῶν ἀσαφῶν φωνῶν, ἢ ὅρων ἀπέχειν.

## ΡΛΒ'.

### Προφυλακτέον ἔτι, μήποτε μιᾷ φωνῇ πλείȣς ᾶμα ἐννοίας συμπεριλαμβάνωμεν.

Δείκν. Ε'πειδὴ γὰρ τὰς φωνὰς καὶ τὰς ὅρȣς παραλαμβάνομεν ἐπὶ τὸ γενέσθαι τοῖς ἄλλοις καταφανεῖς (ΡΚϚ'.)· οἱ δ' ἄλλοι τὸν νȣ͂ν ἡμῶν συνιᾶσιν ἡνίκα τὴν αὐτὴν, ἣν καὶ ἡμεῖς αὐτοὶ ταῖς φωναῖς συζευγνύουσιν Ε'ννοιαν (ΡΚΕ'.)· Δῆλον ὅτι πλείȣς ᾶμα Ε'ννοίας μιᾷ φωνῇ συμπεριλαμβάνεσθαι ἐκ ὀφείλεται. Θῶμεν γὰρ μιᾷ σε φωνῇ πλείονας συμπεριλαμβάνειν τὰς σημασίας, ἕτερος δή τις ἀμφιγνοήσει πάντως, ὁποίαν δεῖ τῶν πολλῶν ἐλέσθαι μάλιςα σημασίαν, καὶ ἑπομένως ἐνδέχεται μὴ τὴν αὐτὴν, ἣν κἀυτὸς τῇ σῇ φωνῇ συζευγνύειν Ε'ννοιαν, καὶ ἔτω δὴ τὸν σὸν ἐ ξυνήσει πάντως γε νȣ͂ν.

„ Τὴν πρότασιν ταύτην πλείοσι σαφηνίσομεν παραδείγμασιν ἐν τῇ παραδόσει καί γε συ-
„ νιστοδείξομεν ὅσαι ἀνακύπτουσιν ἔριδες, μιᾷ φωνῇ Ε'ννοιῶν κρυπτομένων πλειόνων, καὶ
„ ὁπόση ἐντεῦθεν σύγχυσις ἀναφαίνεται.

## ΡΛΓ'.

Ε'πεὶ δὲ πλείω τῶν λέξεων ὑπάρχει τὰ πράγματα, ὡς τὰ πολλὰ ἐνδέχεται ἀπαντᾶσθαι φωνὰς, αἷς τισιν ἐ μία τις, ἀλλὰ πλείȣς συμπεριλαμβάνονται Ε'ννοιαι, κἀνταῦθα δὴ τὸν Φιλόσοφον ἐςὶ διορίζειν, τίνα ποτὲ τῇ φωνῇ ταύτῃ κἀκείνῃ συζεύγνυσιν Ε'ννοιαν.

## ΡΛΔ'.

Ο῾ρος Α'πλανής ἐςιν, ᾧ τινι ἀποίκιλος Ε'ννοια ἀείποτε συμπαρομαρτεῖ. Πλανώμενος δὲ, ᾧ μὴ ἀείποτε ἀποίκιλος Ε'ννοια συμπαρομαρτεῖ. Λέγεται δ' ἔτι τȣ́τȣ ὁ μὲν καὶ Διωρισμένος, ὁ δὲ καὶ Α'όριςος.

## ΡΛΕ΄

### Ε᾽κ τούτου δὴ προκύπτει αὕτη ἡ πρότασις, φευκταῖαι τῷ Φιλοσόφῳ αἱ πλανώμεναι φωναὶ καὶ ἀόριςοι, καὶ μόναι προσληπτέαι αἱ λέξεις ὅσαι σημασίας ὡρισμένης εἰσί.

Δείκν. Ε᾽πειδὴ γὰρ ταῖς πλανωμέναις, ἤτοι ἀορίςοις των φωνῶν ἠκ ἀείποτε συμπαρομαρτεῖ Α᾽ποίκιλος Ε῎ννοια (ΡΛΔ΄.), φωνὰς ἢ ὅρας προσλαμβάνοντός σου πλανωμένους καὶ Α᾽ορίςους, ἀκούων ἢς ἢ ἀναγινώσκων ἀγνοήσει πάντως, τίνα τῇ προσληφθείσῃ φωνῇ βούλει Ε῎ννοιαν συζευγνύειν, καὶ ἑπομένως μόλις, ἢ οὐδ᾽ ὁπωςοῦν τὴν αὐτὴν σοι τῇ φωνῇ Ε῎ννοιαν συνδυάσει· καὶ οὕτως οὐδὲ συνήσει τὸν νοῦν (ΡΚΕ΄.)· Ε᾽πεὶ δὲ εἰς κατάληψιν τῶν ἄλλων ταῖς λέξεσι χρώμεθα (ΡΚς΄.)· Ε῎πεται ἤδη τὸ ἐξ ἀρχῆς, ὅτι φευκτέαι τῷ Φιλοσόφῳ αἱ πλανώμεναι φωναὶ καὶ ἀόριςοι, καὶ μόναι προσληπτέαι αἱ λέξεις ὅσαι σημασίας ὡρισμένης εἰσί.

„ *Παρὰ τὴν προφυλακὴν ταύτην πολλάκις ἁμαρτάνεσθαι ἤκουσεν, ὅτι παρ᾽ χάς. οἱ ὁριζόμενοι τὴν Φιλοσοφίαν, γνῶσιν ἤγουν θείων καὶ ἀνθρωπίνων πραγμάτων, λέξει ἀορίςῳ τῇ τῆς γνώσεως χρώμενοι, τὸν ἀναγινώσκοντα, ἢ ἀκούοντα ἀσαφῆ ἐναπολείπουσιν· Εἰ γὰρ ἄν τις ζητήσειεν ὁποία τις ἐνταῦθα ἐννοοῖτο γνῶσις, ἆρα Ι῾ςορική, ἢ Φιλοσοφική, ἢ ἔτι Μαθηματική; καὶ πότερον βεβαία, ἢ πιθανή; οὐκ ἔξει ἀποκρίνασθαι ὁ ἀναγνοὺς, ἢ ἀκούσας. Οὐδὲ γὰρ οἶδεν ἀκριβῶς ὁποία τις ἐννοοῖτο γνῶσις διὰ ταυτησὶ τῆς φωνῆς. Ο῾ρθότερον ἂν ἡ τῆς ἐπιςήμης ὡρισμένη προσλαμβάνεται λέξις, βεβαίαν ἔξιν τοῦ δεικνύναι σημαίνουσα.*

## ΡΛς΄.

### Α᾽ποῤῥαπιςέοι τοιγαροῦν τῶν τῆς Φιλοσοφίας σχολῶν τῶν ὅρων ὅσοι ὁμώνυμοι.

Δείκν. Ε᾽πεὶ γὰρ οἱ ὁμώνυμοι ὅροι, φωναὶ εἰσὶ διαφόρῳ σημασίᾳ πλείοσιν ἀπονεμόμεναι πράγμασιν, εὔδηλον, ὅτι οἱ αὐτοὶ πλανώμενοι εἰσὶ καὶ ἀόριςοι (ΡΛΔ΄.)· Ε᾽πεὶ δὲ ἔτι οἱ πλανώμενοι καὶ ἀόριςοι ὅροι οὐδαμοῦ ὀφεί-

ὀφείλουσι προσλαμβάνεσθαι (ΡΛΕ΄.)· Ἐξοριστέοι ἄρα τῶν τῆς Φιλοσοφίας σχολῶν, τῶν ὅρων ὅσοι ὁμώνυμοι.

„ Οἱ ὁμώνυμοι ὅροι τοῖς μονωνύμοις ἀντίκεινται, εἰσὶ δὲ τοιοῦτοι μονώνυμοι, ὅσοι περ ὡ-
„ ρισμένην ἔχοντες σημασίαν, Ἔννοιαν Ἀποίκιλον ἀεὶ ὡσαύτως σημαίνουσι (ΡΛΔ΄)
„ ὡς ὁ ὅρος ἀήρ· τὸν ὅρον δὴ τοῦτον οἱ ἀρχαῖοι μονώνυμον ἀπεκάλουν μονωνυμοῦντα, τὸ
„ δὲ δι' αὐτοῦ σημαινόμενον μονώνυμον μονωνυμούμενον. Τὸν αὐτὸν τρόπον ἐκαλοῦντο παρ'
„ ἐκείνοις, ὁμώνυμοι ὁμωνυμοῦντες, ὅσοι τῶν ὅρων ὁμώνυμοι, καὶ ὁμώνυμα ὁμωνυμούμενα
„ ὡσαύτως τὰ δι' αὐτῶν σημαινόμενα. Προσετίθουν δ' ἔτι ὅρον ἀνάλογον, ὅσπερ ἐνα-
„ σχον τὸν μέσον ἐπέχειν τόπον μεταξὺ τοῦ μονωνύμου καὶ ὁμωνύμου, διαιροῦντες εἰς Ἀνά-
„ λογον κατ' ἀναλογίαν, καὶ Ἀνάλογον κατ' ἀπόδοσιν. Τὸ μὲν ὁπηνίκα γενικόν τε
„ ὄνομα ἀνῆκον πρώτῳ τινὶ δι' ὁμοιότητά τινα, ἀποδίδοται καὶ ἑτέρῳ, οὕτως ὁ ὅρος
„ γελᾶν ἀνάλογον ἐστὶν κατ' ἀπόδοσιν. Κυρίως γὰρ καὶ πρώτως τὸ γελᾶν τοῦ ἀνθρώ-
„ που ἀνήκει· καταχρηστικῶς δὲ καὶ δευτέρως τοῖς τε λειμῶσι καὶ τῇ γαληναίᾳ τοῦ χρόνου
„ ἀποδίδοται ὥρᾳ. Τὸ δ' ὅτε τοῦ ὀνόματος ὄντος κοινοῦ, ὁ κατὰ τοὔνομα δὲ λόγος ὑπάρ-
„ χει διάφορος· Οὕτως ὁ ὅρος ὑγιεινὸν πρώτῳ μὲν ἀνήκει τῷ ζώῳ, δεύτερον δὲ καὶ οὔρῳ
„ κατὰ λόγον, ἀλλ' οὖν διάφορον. Ἐπὶ τούτοις ἐνταῦθα ὁ παρώνυμος ὅρος ἕπεται. Πα-
„ ρώνυμα δὲ οἱ ἀρχαῖοι τῶν λογικευομένων ὁρίζονται, ὅσα ἀπό τινος διαφέροντα τῇ
„ πτώσει τὴν προσηγορίαν ἔχει, οἷον ἀπὸ τῆς εὐσεβείας ὁ εὐσεβής. Τὰ τρία δὴ ταῦ-
„ τα τῶν περὶ ὅρων λεγομένων παρὰ τοῖς ἀρχαίοις, τὴν πρὸ τῶν κατηγοριῶν παρ'
„ αὐτοῖς καλουμένην διδασκαλίαν συνίστησιν. Ἐν ἑτέρᾳ δὲ κλάσει οἱ καθόλου καὶ μερικοὶ
„ τῶν ὅρων εὑρίσκονται· καὶ ὅρος καθόλου ἐστὶν ὁ καθόλου Ἔννοιαν παριστῶν (ΡΗ΄.) οἷον
„ ἄνθρωπος, ζῶον, ὅστις καὶ κοινὸς ὅρος προσαγορεύεται. Μερικὸς δὲ ὅρος ἐστὶν ὁ Ἔννοιαν
„ παριστῶν μερικὴν (ἀτομικὴν) (ΡΗ.) οἷον ὁ Πέτρος, ὁ Καῖος κτλ. Αὕτη δὲ ἡ τῶν ὅρων
„ κλάσις τὴν τῶν κατηγορουμένων διδασκαλίαν παρὰ τοῖς ἀρχαίοις συνίστησιν. Ἐν τῇ
„ Γ΄. τελευταίον κλάσει τοὺς κατηγορηματικοὺς καὶ ὑπερβεβηκότας ὅρους οἱ πάλαι τιθέα-
„ σιν. Ἐννοίας δὲ οἱ κατηγορηματικοὶ περιέχουσι τὰς τῆς οὐσίας, τῆς ποσότητος, τῆς
„ ποιότητος, τῆς σχέσεως, τῆς ποιήσεως, τῆς παθήσεως, τοῦ τόπου, τοῦ χρόνου, τῆς
„ θέσεως καὶ τῆς ἕξεως. Περὶ ὧν ἁπάντων, ἔτι δὲ καὶ τῶν μετὰ τὰς κατηγορίας
„ πλέον ἐν τῇ ἀναπτύξει διαλήψομαι.

## ΡΛΖ΄.

Συνωνυμία μὲν ἡ αὐτὴ τῶν ὅρων λέγεται σημασία· οἱ δὲ τὴν αὐτὴν ἔχοντες σημασίαν ὅροι, Συνώνυμα, εἴτ' οὖν συνωνυμικοὶ ὅροι καλοῦνται.

„ Οἷον ξίφος, φάσγανον, ἓν καὶ τὸ αὐτὸ σημαίνοντα ὄργανον, Συνώνυμα εἰσίν, ἢ συνω-
„ νυμικοὶ ὅροι.

ΡΛΗ΄.

## ΡΛΗ΄.

Κυρίως ὁ ὅρος λαμβάνεσθαι λέγεται, ἐν ὅσῳ αὐτῷ ἡ Ἔννοια ἀποδίδοται, ἣν ἐνδεικνύειν ἀφώρισαι. Ἡ δ᾽ Ἔννοια, καθ᾽ ἣν τὸ ὃ σημαίνειν ὅρος τις ἀφώρισαι πρᾶγμα ἡμῖν ὑποβάλλεται, Κυρίαν σημασίαν καθίστησι.

„ *Παρ. χάρ. ὁ τοῦ ποταμοῦ ὅρος κυρίως λαμβάνεσθαι λέγεται, ἐν ὅσῳ τῷ ὅρῳ τούτῳ*
„ *ὕδωρ σημαίνεται, τὸ ἐν τῷ αὔλακι ἐπὶ τὰ ἄνω ἀνεωγμένῳ ἰδίᾳ καταῤῥέον βαρύτητι.*
„ *Καὶ ἡ τοῦ ποταμοῦ σημασία κυρία ἐστιν, ἐὰν διὰ τῆς τοῦ ποταμοῦ φωνῆς ἡ Ἔννοια ἀνε-*
„ *γείρεταί σοι, καθ᾽ ἣν ὕδωρ ἐννοεῖς ἐν τῷ αὔλακι ἐπὶ τὰ ἄνω ἀνεωγμένῳ ἰδίᾳ καταῤ-*
„ *ῥέον βαρύτητι.*

## ΡΛΘ΄.

Ἐντεῦθεν κατανοεῖν ἔξεστιν, ὡς ἡ φωνῆς τινὸς σημασία καταχρηστικὴ ἐστὶν, ἡνίκα ἀπὸ τῆς κυρίας σημασίας ἐπὶ τὸ σημαίνειν ἕτερον μεταφέρεται, ᾧπερ ἕτερος ὅρος ἀνήκει κύριος, καὶ τοῦτο διά τινα ἐν ἀμφοτέροις τοῖς πράγμασιν ὁμοιότητα. Ὁ δὲ τοιοῦτος ὅρος καταχρηστικῶς λαμβάνεσθαι λέγεται, καὶ Μεταφορικὸς καλεῖται.

„ *Ἐὰν παρ. χάρ. τὸν τοῦ ποταμοῦ ὅρον μεταφέρῃς ἐπὶ τὸν λόγον, ὥστε λέγειν τὸν λόγον*
„ *ποταμὸν, ἡ φωνὴ ποταμὸς καταχρηστικῶς ἐκλαμβάνεται.*

## ΡΜ΄.

Ὅτι περ ἣν αἱ καταχρηστικαὶ φωναὶ ἐπὶ τοὺς πλανωμένους καὶ ἀορίστους ὅρους ἀνάγονται, προφανὲς ἐκ τῶν εἰρημένων (ΡΛΔ΄. καὶ ΡΛΘ΄.)

## ΡΜΑ΄.

### Φυλακτέον τοιγαροῦν τῷ Φιλοσόφῳ ἵνα μὴ ὅροις καταχρηστικοῖς καὶ μεταφορικοῖς χρῷτο ἐν τῇ τῶν τῆς Ψυχῆς νοημάτων διερμηνεύσει.

Δείκν. Ἐπείπερ ὅρων Πλανωμένων καὶ Ἀορίστων ἀφεκτέον εἶναι, εἰκότως οἴεται ὁ Φιλόσοφος (ΡΛΕ΄.)· αἱ δὲ Καταχρηστικαὶ καὶ Μεταφορικαὶ τῶν

φω-

φωνῶν ἐπὶ τῆς Ηλλιωμένης καὶ Α᾽ορίςης ὅρης ἀνάγονται (ΡΜ΄.)· δῆλον ὅτι ἡ προσήκει τῷ Φιλοσόφῳ Καταχρηςικοῖς καὶ Α᾽ορίςοις χρῆσθαι λέξεσι. (Τὸ δ᾽ αὐτὸ καὶ ἥτω δυνατὸν δεῖξαι.)

Τὰς ὅρας εἰς τὴν τῶν ἑτέρων κατάληψιν προσλαμβάνομεν (ΡΚς΄.)· εἰ δέγε φωνὰς καταχρηςικὰς προσλαμβάνομεν, τότε δὴ τοιαύτας προσλαμβάνομεν φωνὰς, ὑφ᾽ ἃς πλείες ἅμα ἐν αὐταῖς λανθάνησιν Ε῎ννοιαι ἥτε Κυρία δηλαδὴ καὶ Καταχρηςική· καὶ ἥτω συμβήσεται ἐάν ποτε τύχῃς φωναῖς χρώμενος καταχρηςικαῖς Ε῎ννοιαν κυρίαν ταῖς σαῖς δὴ ταύταις φωναῖς συζευγνύειν ἕτερον, καί τοιγε τοῖς αὐτοῖς μὴ κυρίαν συζευγνύντός σε, ἐκ ἄρα τὴν αὐτὴν τῇ φωνῇ συνάψεται Ε῎ννοιαν, ἥνπερ κἀυτὸς τῇ αὐτῇ ἀξιοῖς συζευγνύειν, καὶ ἑπομένως τὸν σὸν νῦν ἡ ξυνήσει (ΡΚΕ΄.)

„ Τοῖς Ρ῾ήτορσι παραλήπομεν τὴν τῶν λόγων μεταφορὰν, τὰς τῶν ἀκόντων Ψυχὰς „ τοῖς αὐτῶν σχήμασι ϗ τρόποις ἀποδεχόμενοι αὐτῆς καταθέλγοντας. Ο᾽ δὲ Φιλόσοφος βεβαίας τὰς ἀληθείας παραδιδὺς ἀπὸ πάντων τῶν ἐν τοῖς λόγοις θελγήτρων φιλοτιμότερον ἀναζητημένων ἀφίςαται. Ο῎ρα Βεργῆρον ἐν τῷ πρὸ τῆς διαλέξεως αὐτῆ Προοιμίῳ περὶ κυρίε γένης τῆ λέγειν. Ο῎σον περ τῇ τῶν ἀληθειῶν, ϗ τῆς παιδείας αὐξήσει ἡ ὑπεράγαν τῆ μεταφορικῶς λέγειν σπεδὴ ἀεὶ ἀντίκειται, „ σοφῶς ἐκτίθησιν ὁ περίδοξος Γοτσχέδιος Φιλόσοφος ἐκ Λειψίας, ἐν τῇ διαλέξει περὶ τῆς πηγῆς τῶν ἀνθρωπίνων κακιῶν Σελ. 8. Λειψ. 1724

## ΡΜΒ΄.

Ο῞ρος ἡμῖν οἰκεῖος καλεῖται, ὅνπερ ξυνίεμεν, κἂν μὴ ἐπὶ τὴν αὐτῷ σημαινομένην Ε῎ννοιαν τὸν νῦν ἐπιτρέψωμεν.

„ Τοιῦτοι εἰσὶν οἱ τῆ ὁσημέραι κοινῆ λόγε, ἐν χρήσει ὄντες παρ᾽ ἡμῖν ὅροι, τέτες γὰρ „ διὰ χρήσεως πολυχρονίε διώκομεν, - τὸ Ι᾽δέας τινὰς ὡρισμένας μὴ δὲ διαλογιζομένοις „ ἡμῖν κατὰ νῦν ἀνεγείρεσθαι, ἀκαθεύταν τῶν ὀνομάτων. Οὕτω παρ. χὰρ ὁ ὅρος γαλάντ „ (καθαρὸς) οὕτως οἰκεῖος ἐγένετο τοῖς πολλοῖς, ὥςε πολλάκις χρωμένες αὐτῷ, ϗ Ε῎ννοιάν „ τινα τῷ αὐτῷ συζευγνύειν· ἀλλ᾽ ἀσαφῆ πάντας, ὥςε μηδ᾽ αὐτὲς εἰδέναι τὴν τῷ ὅρῳ „ τέτῳ συζευγνυμένην Ε῎ννοιαν, ϗ ἄλλοις ἐκφαίνειν.

## ΡΜΓ΄.

Ε᾽κ τέτων ὑπολαβεῖν ἔξεςιν τί ποτ᾽ ἐςὶν ἡ χρῆσις τῆ λέγειν, ἡ ἰδιοποίησις ἀμέλει ὅρων οἰκείων (ΡΜΒ΄.) καὶ κυρίως λαμβανομένων (ΡΚΗ΄.)

τὴν χρῆσιν τῦ λέγειν καθίςησιν. Ε῎νθεν τοι ἡ χρῆσις τῦ λέγειν ὀρθῶς ὁρίζεται, Κυρία σημασία τῶν ἐν τῷ κοινῷ λόγῳ λέξεων.

„ Παρ. χάρ. ἐν τῷ κοινῷ λόγῳ ἡ φωνὴ τῦ φωτὸς λαμβάνεται ἀντὶ παντὸς τῦ τὰ περικείμενα σώματα διακρίνειν ποιῦντος (ΠΕ΄.) Η῾ χρῆσις ἐν τῦ λέγειν ἀπαιτεῖ τῇ τῦ φωτὸς φωνῇ Ε῎ννοιαν ἀποδίδοσθαι παριςᾶσαν τὸ δι᾽ ὃ τὰ περικείμενα σώματα διακρίνονται.

## ΡΜΔ΄.

Τὴν χρῆσιν ὃν διασώζει τῦ λέγειν ὁ ταῖς φωναῖς συνάπτων Ε῎ννοιας, δι᾽ ὧν παρίςανται τὰ διὰ τῶν φωνῶν ἐν τῷ κοινῷ λόγῳ διακείμενα.

„ Τὴν χρῆσιν τῦ λέγειν εἰς Πολιτικὴν ϗ Τεχνικὴν οἱ Φιλόσοφοι διαιρῦσι. Η῾ μὲν ἐςὶν, ἡνίκα φωνὰς ἐν τῷ κοινῷ λόγῳ πρὸς συναλλάγματα ϗ τῦ βίυ χρείας προσλαμβάνυσιν Α῎νθρωποι πρὸς ἀλλήλυς κοινωνίᾳ συνεζευγμένοι. Η῾ δὲ, ὁπότε λέξεις προσλαμβάνυσιν ἐν ταῖς ἐπιςήμαις ϗ Τέχναις πρὸς τῷ τοῖς ἄλλοις τὰς Ε῎ννοίας μεταδιδόναι.

## ΡΜΕ΄.

Ο῾ Φιλόσοφος ἐν τῇ τῶν ὅρων προσλήψει ἀείποτε ὀφείλει ἀφορᾶν εἰς τὴν χρῆσιν τῦ λέγειν, ἀπὸ τῆς ἀναληφθείσης τῶν φωνῶν σημασίας μὴ ἀποπίπτων.

Δεικν. Ε᾽πεὶ γὰρ αἱ φωναὶ τῷ Φιλοσόφῳ προσληπτέαι εἰσὶν ὡς ἂν ἐννοοῖτο ὑπὸ τῶν ἄλλων (ΡΚΕ.)· ῥᾷςα κατανοεῖς, ὅτι περ ὅρυς προσλαμβάνειν χρεὼν τὺς τῷ κοινῷ λόγῳ ἀναληφθέντας. (ἄλλως γὰρ τὰ παρ᾽ ἐκείνυ λεγόμενα ὐκ ἐννοηθείη) ἔτι, ἐπείπερ ὁ Φιλόσοφος καταχρηςικῶν καὶ Μεταφορικῶν φωνῶν ἀπέχειν (ΡΜΑ΄.), ϗ ἑπομένως ὅρεις χρῆσθαι τοῖς κυρίως εἰλημμένοις ὀφείλει, κατανοεῖται ὅτι ὁ Φιλόσοφος ἐν τῇ τῶν ὅρων προσλήψει εἰς τὴν τῦ λέγειν χρῆσιν ἀτενίζειν ὀφείλει· ἡ γὰρ τῦ λέγειν χρῆσις ἀποτελεῖται τῇ ἐν τῷ κοινῷ λόγῳ κυρίᾳ τῶν φωνῶν σημασίᾳ (ΡΜΓ.)

„ Παρ. χάρ. Ε᾽ὰν ὁ Φιλόσοφος τὴν τῦ ἐκτεταμένυ φωνὴν διορίσηται, ὥςε δι᾽ αὐτῆς ἐννοεῖν πᾶν ὅ, τι ὅρεις τισὶ περιγέγραπται ϗ πεπερασμένον ἐςὶ τῆς τῦ λέγειν

„ χρή-

,, χρήσεως ἐκτὸς ἀνάγκης ἀποχωρῆσαι· εἰ δέ τις ἐθέλοι ἐπιζητεῖν τὴν τῆς φωνῆς σημα-
,, σίαν, ἥνπερ αὐτῇ ἡ τοῦ λέγειν ἀποδίδωσι χρῆσις, τὰς ποικίλας περιστάσεις, ἐν
,, αἷςπερ τῇ φωνῇ ταύτῃ χρώμεθα, λογιζέσθω. Οὕτω παρ. χάρ. τὴν σημασίαν τῆς
,, φωνῆς τοῦ λόγου, ἣν αὐτῇ ἡ τοῦ λέγειν ἀποδίδωσι χρῆσις, ἐπιζητοῦντί σοι προ-
,, σεκτέον ἐπὶ τὰς περιστάσεις, αἷς τὸν λόγον παρεῖναι φαμέν, κἀπὶ τὰς ἀντικειμένας
,, ἀσαύτως, ὅσαις παρεῖναι τὸν λόγον ἀρνήμεθα, ὡς ἂν γένοιτο δῆλον, τίνα ποτ'
,, ἐστί, δι' ἃ τὸν λόγον παρεῖναι ἐπικυροῦμεν. Ἐπεὶ δὲ τὸ παρεῖναι τὸν λόγον γινώσκειν
,, ἔχομεν ἐκ τοῦ συμπλέκειν τὰ ἐσόμενα τοῖς παροῦσι, καὶ τῶν ἡμετέρων ἐνεργειῶν καὶ
,, προτάσεων τὰς συνεπείας δύνασθαι διορᾶν, τοῦτον δὲ μηδέπω παρεῖναι διαβεβαιούμεθα,
,, τῶν παρόντων μόνων, καὶ τῶν ἐν ποσὶ θεωρουμένων· προφανές, ὅτι διὰ τῆς τοῦ λόγου
,, φωνῆς κατὰ τὴν χρῆσιν τοῦ λέγειν τοιαύτη σημαίνεται τελειότης, ἡ δύναμις τοῦ ἡμε-
,, τέρου νοός, δι' ἧσπερ τὰς συνεπείας τῶν πραγμάτων δυνάμεθα διορᾶν.

## ΡΜϚʹ.

## Ἡ πλειόνων ὅρων σύζευξις λόγον ἀποτελεῖ.

,, Ἐν τῷ τέλει πλείους τινὰς τοῦ ὅρου λήψεις καὶ διαιρέσεις τῶν Ἀριστοτελικῶν σημειώσομεν,
,, ἵνα μὴ ἄμοιροι κἀυτοὶ ἐκείνων ὦμεν. Αʹ. Διαιροῦσιν οὖν ἐκεῖνοι τὸν ὅρον εἰς Κατηγορη-
,, ματικόν, καὶ Συγκατηγορηματικόν· καὶ Κατηγορηματικὸς μέν ἐστιν ὁ τὸ
,, τῆς προτάσεως ὑποκείμενον, ἢ κατηγορούμενον καθ' ἑαυτὸν συνιστᾶν δυνάμενος, ἄνευ
,, ἀναγκαίας ἑτέρου συζεύξεως, οἷον Ἄνθρωπος, μανθάνει. Συγκατηγορηματι-
,, κὸς δὲ ὁ ἐξ ἀνάγκης ἑτέρῳ συζεύγνυσθαι ὅρῳ ὀφείλων εἰς ὑποκειμένου, ἢ κατη-
,, γορουμένου συμπλήρωσιν. Τοιοῦτοι δὲ εἰσὶν ὅροι, τῶν ὀνομάτων ὅσα Ἐπίθετα, τὰ
Ἐπιρρήματα, αἱ Προθέσεις, οἱ Σύνδεσμοι, καὶ πᾶσα πλαγία πτῶσις·
,, οἷον λίαν, ἀγαθός, πρός, συγκατηγορηματικοὶ εἰσὶν ὅροι.

,, Προστιθέασι δέ τινες, καὶ τὸν ὃν φασὶν Ὅρον Μικτόν, οἷον, Οὐδείς, τουτέστιν Οὐδεὶς
,, Ἄνθρωπος, Οὐδέν, τουτέστιν Οὐδὲν πρᾶγμα. Βʹ. Διαιρεῖται ὁ ὅρος εἰς Συμπε-
,, πλεγμένον, καὶ μὴ Συμπεπλεγμένον. Ὅρος μὴ Συμπεπλεγμένος, (ὃς
,, καὶ Ἁπλοῦς λέγεται) ἐστὶν ὁ μιᾷ φωνῇ συνιστάμενος, οἷον Ἄνθρωπος. Συμπεπλε-
,, γμένος δέ, ὁ πλείοσιν, ἢ μιᾷ φωνῇ συνιστάμενος· οἷον λίθος θερμός. Γʹ. Διαιρεῖ-
,, ται ὁ ὅρος εἰς Ὡρισμένον καὶ Ἀόριστον. Καὶ Ὡρισμένος μέν ἐστιν, ὁ ὡρισμέ-
,, νον τι σημαίνων, μηδεμιᾶς ἐκτιθεμένης ἀρνήσεως, οἷον Ἄνθρωπος. Ἀόριστος
,, δὲ ὁ ἀορίστως σημαίνων τι, οἷον Οὐκ Ἄνθρωπος. Δʹ. Διαιρεῖται εἰς
,, Ἀπολελυμένον, καὶ Συγκριτικόν· Συγκριτικὸς μέν ἐστιν ὁ πα-
,, ρεστῶν Ἔννοιαν χωρὶς ἀναφορᾶς πρὸς ἑτέραν ἰδέαν μὴ νοητήν. Οὕτως ἐὰν
,, εἴπω, ὁ Γολιὰθ ἐστὶ μείζων, κατ' ἀναφορὰν ἀμέλει τοῦ Δαβίδ, οὐκ ἂν ἐννοῆ-
,, σαι δυναίμην, ὅπως ὁ Γολιὰθ μείζων λέγοιτο, εἰ μὴ ἅμα παραστήσω ἐμαυτῷ τὸν

,, *Δαβὶδ*, ἢ ἕτερόν τινα, ὃ κατὰ ἀναφορὰν ἐκείνου καλεῖται *Μῆλον*. Ἀπολελυ-
,, μένος δὲ ὃν δυνάμεθα νοῆσαι χωρὶς ἀναφορᾶς τῆς πρὸ ἕτερον, οἷον Ἄνθρω-
,, πος. *Ε΄. Διαιρεῖται* εἰς Ἀφῃρημένον ϗ Συγκεκριμένον. Ἀφῃρημένος
,, μὲν, ὁ διάθεσίν τινα ἄνευ ὑποκειμένου σημαίνων, οἷον *Εὐσέβεια*. Συγκεκρι-
,, μένος δ' ἐστὶν, ὁ τὴν διάθεσιν, ϗ τὸ ὑποκείμενον, ᾧπερ αὕτη ἀνήκει, ἅμα σημαίνων,
,, οἷον Εὐσεβής. *ς΄. Διαιρεῖται* ὁ ὅρος εἰς τὸν ὑλικῶς λαμβανόμενον, ϗ εἰς τὸν
,, Εἰδικῶς. Ἐνθ' ὅτε γὰρ λαμβάνεται ὅρος τις ἀντὶ τῶν γραμμάτων ϗ τῶν συλ-
,, λαβῶν ἐξ ὧν σύγκειται, ὥστε προτίθεσθαι τούτου, αὕτη ἡ φωνὴ, αὕτη ἡ λέξις.
*Ταύτην δὲ τὴν τοῦ ὅρου λῆψιν, Ὑλικὴν ὑπόθεσιν οἱ ἀρχαῖοι καλοῦσι. Παρ.*
,, *χάρ.* Ἐὰν εἴποις, ἡ Ἀρετὴ ἐστὶ γένους Θηλυκοῦ, ἢ ἡ ἀρετὴ τρισύλλαβός ἐστι, τότε
,, δὴ ἡ φωνὴ Ἀρετὴ, ἐν *Ὑλικῇ Ὑποθέσει* λαμβάνεται. Εἰδικῶς δὲ ὁ ὅρος
,, λαμβάνεται ἀντὶ Ἰδέας τινὸς ἢ Ἐννοίας τῆς αὐτῷ σημαινομένης θεωρημένος, ὡς ὅταν
,, εἴπω, φέρ' εἰπεῖν, ἡ *Ἀρετὴ*, ἐστὶν ἕξις, ἡ Ἀρετὴ ἡμᾶς εὐδαίμονας ἀπεργάζε-
,, ται, τότε δὴ ὁ ὅρος Ἀρετὴ, ἐν εἰδικῇ ὑποθέσει λαμβάνεται.

,, Τὰς λοιπὰς διαιρέσεις, ἢ μικρόν τι συμβαλούσας, ἢ ἐξ αὐτῶν τῶν λέξεων ῥᾷστα
,, νοηθησομένας, ἢ διὰ συνεχεστέρας χρήσεως γινωσκομένας, ἢ ἐν τοῖς ἀνωτέρω ἐκ-
,, τεθειμένας, ἀποσιωπῶμεν ἐνταῦθα.

KE-

# ΚΕΦΑ'ΛΑΙΟΝ Ι'.

## ΠΕΡΙ'

## Ο' Ρ Ι Σ Μ Ω~ Ν

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΜΖ'.

Ο'ρισμός ἐςὶν Ε'ννοια τῦ πράγματος διακεκριμμένη συμπλήρης λόγῳ ἐκφαινομένη· ὁ Ο'ρος εἴτην τὸ ὁριζόμενον πρᾶγμα λέγεται Ο'ρισόν.

„ Μέχρι τῦδε διείληπται περὶ Ι'δεῶν. Κεφ. Α'. ὡσαύτως καὶ περὶ σημείων τῶν Ι'δεῶν, „ ἤτοι τῶν ὅρων Κεφ. Β. Ε'πειδὴ ἡ συμπλήρης Ι'δέα ὅροις ἐκφαινομένη, Ο'ρισ- „ μὸς καλεῖται, κατανοεῖται, ὅτι Οἰκειότατα τῇ περὶ Ι'δεῶν ὡσαύτως καὶ πε- „ ρὶ ὅρων διδασκαλίᾳ ἡ περὶ Ο'ρισμῶν ὑποζεύγνυται.

### ΡΜΗ'.

**Ε'κ τῦ ὁρισμῦ τῦ Ο'ρισμῦ δῆλον ἐν τῷ Ο'ρισμῷ ὀφείλειν ἐπαριθμεῖσθαι γνωρίσματα χαρακτηρισικὰ ἀπὸ τῶν ἄλλων πραγμάτων διαζευγνῦντα τὸ ὁρισόν.**

Δείκν. Ε'πειδὴ γὰρ ὁ ὁρισμὸς ἐςὶν Ι'δέα διακεκριμένη τῦ ὁρισῦ λόγῳ ἐκφαινομένη (ΡΜΖ'.), τότε δὲ διακεκριμένη ἐςὶν ἡ Ι'δέα, ὅτε καταριθμῦνται καὶ ἐν μέρει ἐφίςανται τὰ χαρακτηρισικὰ γνωρίσματα, τὰ ἀπὸ τῶν ἄλλων τὸ παρισανόμενον πρᾶγμα διαζευγνῦντα, εὔδηλον, ὅτι ἐν παντὶ ὁρισμῷ ὀφείλει ἐπαριθμεῖσθαι γνωρίσματα χαρακτηρισικὰ ἀπὸ τῶν ἄλλων πραγμάτων διαζευγνῦντα τὸ ὁρισόν.

## ΡΜΘʹ.

### Εʹξ οὗ συνάγεται μὴ δύνασθαι τὰς ἁπάντων τῶν πραγμάτων Ιʹδέας, ὅσων χωρητικὸς ἐςὶν ὁ ἀνθρώπινος νοῦς, ὑπὸ τῶν ἀνθρώπων ὁρισμῷ ἐκδηλοῦσθαι.

Δείκν. Εʹπεὶ γὰρ ὁ Οʹρισμὸς Εʹννοιά ἐςὶ διακεκριμένη λόγῳ ἐκφαινομένη (ΜΖʹ.), τῶν δὲ πραγμάτων ἁπάντων Εʹννοιαι διακεκριμέναι οὐ δύνανται εἶναι (ΠΑʹ.), οὐδ᾽ ἡ τῶν Ιʹδεῶν ἀνάλυσις ἐπ᾽ ἄπειρον γίνεσθαι, (ΥΖʹ.) εὔδηλος ἐντεῦθεν ὁ λόγος, δι᾽ ὃν τὰς ἁπάντων τῶν πραγμάτων Ιʹδέας, ὅσων ὁ τῶν ἀνθρώπων νοῦς δεκτικὸς τοῖς ἀνθρώποις ἐξηγεῖσθαι δι᾽ ὁρισμοῦ, ἀποφάσκομεν.

„ Ωʹσπερ δ᾽ ἐν τῇ τῶν Εʹννοιῶν ἀναλύσει οὐ θέμις προβαίνειν ἐπ᾽ ἄπειρον (ΥΖʹ.)· οὕτως „ ἐσθ᾽ ὅτε οὐδ᾽ ὁρισμοῦ ὅλως δεῖ, τῆς συγκεχυμένης τοῦ πράγματος ἐξαρκούσης ἡμῖν „ Εʹννοίας· τὴν ὑπεράγαν οὖν τῶν ἀρχαίων φιλοριςίαν οὐκ ἐγκριτέαν ἡγούμεθα. Εʹν „ οἷς ὑπάρξαι τινὰς παρελαβομεν, οἵγε μηδὲ λαχάνων τὸ ὠμότερον ἄνευ ὁρισμοῦ „ ὠνησόμενοι ὁρᾶσθαι ἠξίουν.

## ΡΝʹ.

### Οὐκ ἀπόχρη δὲ τὰ ὁποιαδηποτοῦν χαρακτηριςικὰ γνωρίσματα, ἀπαριθμεῖν ἐν τῷ ὁρισμῷ, ἀλλ᾽ ὅσα περ ἐξαρκεῖ εἰς τὴν τοῦ ὁριζομένου πράγματος ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιςάσει διάγνωσιν.

Δείκν. Εʹπεὶ γὰρ ὁ ὁρισμὸς Εʹννοιά ἐςὶ συμπλήρης (ΡΜΖʹ.), συμπλήρη δὲ τοῦ πράγματος Εʹννοιαν διαμορφοῦμεν αὐτοῖς, ὅτε τὸ πρᾶγμα παριςῶντες, τὰ χαρακτηριςικὰ ἐκείνου γνωρίσματα καθ᾽ ἕκαςον ἐφιςῶμεν, καὶ τὰ δι᾽ ὧν περ τὸ παριςανόμενον πρᾶγμα τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιςάσει διαγινώσκεσθαι δύναται, εἰδικῶς ἀπαριθμεῖν ἔχομεν (ΠΗʹ.)· πρόδηλον, ὅτι

ἐν

ἐν τῷ ὁρισμῷ τοιαῦτα χαρακτηριστικὰ γνωρίσματα ἀπαριθμεῖν δεῖ, ὅσα περ ἐξαρκεῖ εἰς τὴν τῦ ὁριζομένυ πράγματος ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει διάγνωσιν.

## ΡΝΑ΄.

Ἐντεῦθεν ἕπεται τὰ ἀπαριθμούμενα γνωρίσματα ἐν τῷ ὁρισμῷ ὀφείλειν ἤτοι ἔχειν. Α΄. Μηδενὶ ἑτέρῳ ἀνήκειν παρὰ τὸ ὁριστόν. Β΄. πᾶσι καθ᾽ ἕνα τοῖς ὑπὸ τῷ ὁριστῷ περιεχομένοις εἴδεσιν, ἢ ἀτόμοις ἐφαρμόττειν.

## ΡΝΒ΄.

Πλατύτερος μὲν ὁ Ὁρισμὸς τῦ ἰδίυ Ὁριστῦ λέγεται τὰ καὶ τοῖς ἄλλοις παρὰ τὸ Ὁριστὸν χαρακτηριστικὰ γνωρίσματα παριστῶν· στενώτερος δὲ, ὁ τὰ μὴ πᾶσι τοῖς ὑπὸ τὸ Ὁριστὸν ἀνήκοντα ἐκδηλῶν.

„ Οὕτω παρ. χάρ. Ὁρίζων τὶς τὸν Θεὸν ὀσίαν εἶναι νοητικὴν, ὁρισμὸν ἕξει πλατύ-
„ τερον πάντως τῦ ὁριστῦ, τῶν καταλεχθέντων γνωρισμάτων ἐπὶ πλειόνων δυναμένων
„ ἐκτείνεσθαι· ἦτε γὰρ ψυχὴ καὶ οἱ Ἄγγελοί εἰσιν ὀσίαι νοητικαί. Ὁρίζων δὲ τὸν
„ ἄνθρωπον ζῶον εἶναι πεπαιδευμένον, ὁρισμὸν στενώτερον ἀποδώσει τῦ ὁριστῦ, μὴ
„ πᾶσι τοῖς ὑπὸ τὸ εἶδος τῦ ἀνθρώπυ περιεχομένοις ἀτόμοις ἁρμόττοντα.

## ΡΝΓ΄.

**Ὁ Ὁρισμὸς τῦ οἰκείυ ὁριστῦ ὀκ ὀφείλει εἶναι πλατύτερος, ὔτε στενώτερος.**

Δεικν. Ἐπεὶ γὰρ ἐν τῷ Ὁρισμῷ ὀκ ὀφείλυσι γνωρίσματα καταλέγεσθαι παρὰ τὸ Ὁριστὸν καὶ ἑτέροις ἀνήκοντα (ΡΝΑ΄.)· ὁ δὲ ὁρισμὸς, ἐν ᾧ

γνω-

γνωρίσματα καταλέγονται τὰ παρὰ τὸ Ο῾ριςὸν ἀνήκοντα καὶ ἑτέροις, πλατύτερός ἐςι τȣ͂ οἰκείȣ Ο῾ριςȣ͂ (ΡΝΒ΄.)· ἕπεται, ὅτι ὁ Ο῾ρισμὸς ὔτε πλατύτερος τȣ͂ οἰκείȣ Ο῾ριςȣ͂, ὔτε ςενώτερος ὀφείλει εἶναι.

Ε῎τι ἐπείπερ ἐν παντὶ Ο῾ρισμῷ Ε῎ννοιαι ὀφείλȣσιν ἀριθμεῖσθαι αἳ πᾶσι τοῖς ὑπὸ τὸ Ο῾ριςὸν περιεχομένοις ἀνήκȣσαι (ΡΝΑ΄.)· Ο῾ δὲ Ο῾ρισμὸς ἐν ᾧ γνωρίσματα ὑποβάλλονται τὰ μὴ πᾶσιν ἀνήκοντα τοῖς ὑπὸ τὸ Ο῾ριςὸν, τȣ͂ Ο῾ριςȣ͂ ςενώτερος λέγεται (ΡΝΒ΄.)· προφανὲς, ὅτι ὁ Ο῾ρισμὸς τȣ͂ οἰκείȣ Ο῾ριςȣ͂ ȣ̓κ ὀφείλει εἶναι ςενώτερος.

## ΡΝΔ΄.

### Ο῾ Ο῾ρισμὸς ὀφείλει ἐξισȣ͂σθαι τῷ Ο῾ριςῷ.

Δείκν. Ε᾿πεὶ γὰρ ὁ Ο῾ρισμὸς ὔτε πλατύτερος, ὔτε μὴν ςενώτερος ὀφείλει εἶναι τȣ͂ Ο῾ριςȣ͂ (ΡΝΓ΄.)· λείπεται ἤδη καθομολογεῖν τῷ οἰκείῳ Ο῾ριςῷ ἐξισȣ͂σθαι τὸν Ο῾ρισμόν.

„ Ε῎ξεςι ϗ ȣ̔́τω δεῖξαι ταὐτόν· νόει μοι τὸ Ο῾ριςὸν ὥσπερ ὅλον· τὸν δὲ ὁρισμὸν,
„ ἤτοι τὴν συμπλοκὴν τῶν χαρακτηριςικῶν γνωρισμάτων τῶν συνιςώντων τὸ ὅλον ὡς
„ μέρη. Ε᾿πείπερ ȣ̓͂ν τὰ μέρη πάντα ὁμȣ͂ εἰλημμένα τὸ ὅλον εἰσὶ (κατὰ τὰς ἀρχὰς
„ τῆς Ο᾿ντολογίας), τὰ μέρη πάντα ὁμȣ͂ εἰλημμένα ὀφείλει ἶσα εἶναι τῷ ὅλῳ, ἄλλως
„ γὰρ ἂν εἴη τὸ ὅλον ἄνισον ἑαυτῷ (ὅπερ ἄτοπον)· Ε῎πεται τὰ χαρακτηριςικὰ
„ γνωρίσματα ὡς μέρη τȣ͂ ὁριςȣ͂ ἅμα εἰλημμένα ὀφείλειν εἶναι ἶσα τῷ ὅλῳ, ἤτοι τῷ
„ ὁριςῷ. Ταὐτὸν δ᾿ εἰπεῖν τὸν ὁρισμὸν ἐξισȣ͂σθαι τῷ ὁριςῷ, τȣτέςιν ἐπίσης πλατὺν φαίνεσθαι, ὥςπερ τὸ Ο῾ριςόν.

## ΡΝΕ΄.

### Ε᾿ντεῦθεν κατανοεῖς τὸν Ο῾ρισμὸν ὀφείλειν ἀντιςρέφειν τῷ Ο῾ριςῷ.

Δείκν. Ε᾿πεὶ γὰρ ὁ Ο῾ρισμὸς ὀφείλει ἐξισȣ͂σθαι τῷ Ο῾ριςῷ καὶ ἑπομένως τὰ χαρακτηριςικὰ γνωρίσματα τὰ καταλεγόμενα ἐν τῷ Ο῾ριςῷ ὀφείλει ἐπίσης πλατέα φαίνεσθαι, ὥσπερ τὸ Ο῾ριςὸν (ΡΝΔ΄.)· Συνεννοεῖς τὰ χαρακ-

ϱακτηϱιςικὰ γνωϱίσματα ἀντὶ τȣ̃ Οʹϱιςȣ̃ δύναϑαι τεϑῆναι, ὡς καὶ τὸ Οʹϱιςὸν ἀντὶ τῶν χαϱακτηϱιςικῶν γνωϱισμάτων. Οὕτω δὲ ὁ Οʹϱισμὸς τῷ οἰκείῳ Οʹϱιςῷ ἀντιςϱέφει. ὥϑ᾽ ȣ̓́τω τȣ̀ς φιλοσοφȣ̃ντας ὀϱϑῶς ἐπιτάττειν, τὸν Οʹϱισμὸν τῷ οἰκείῳ Οʹϱιςῷ ἀντιςϱέφειν ὀφείλειν.

„ Οὕτω παϱ. χάϱ. δύνασαι λέγειν. Πᾶν Πνεῦμα ἐςὶν ȣ̓σία, Νοεϱὰ, Θελητικὴ· καὶ „ πᾶσα ȣ̓σία, Νοεϱὰ, Θελητικὴ ἐςὶ πνεῦμα.

## ΡΝϛʹ.

## Εʹντεῦϑεν ἔκδηλον, ὅτι ὁ Οʹϱισμὸς καὶ τὸ Οʹϱιςὸν εἰσὶ τωόντι τ᾽ αὐτά.

Δείκν. Εʹπεὶ γὰϱ ὁ Οʹϱισμὸς τῷ Οʹϱιςῷ ἀντιςϱέφειν ὀφείλει (ΡΝΕʹ.), καὶ ἑπομένως τῷ οἰκείῳ Οʹϱιςῷ μεταλλάττεσϑαι, ὥςε τὸν Οʹϱισμὸν ἀντὶ τȣ̃ Οʹϱιςȣ̃ σωζομένης πάσης ἀλλαγῆς τεϑῆναι δύναϑαι, δῆλον, ὅτι ὁ Οʹϱισμὸς καὶ τὸ Οʹϱιςὸν ἐςὶν τωόντι ταὐτά· ταὐτὰ γὰϱ λέγονται εἶναι τὰ δυνάμενα ἀντὶ ἀλλήλων τεϑῆναι (κατὰ τὰς ἀϱχὰς τῆς Μεταφυσικῆς.)

## ΡΝΖʹ.

## Ωʹπεϱ ȣ̓̃ν ὁ Οʹϱισμὸς, τῷ αὐτῷ ἀνήκει πάντως γε καὶ τὸ Οʹϱιςόν.

Δείκν. Εʹπεὶ γὰϱ ὁ Οʹϱισμὸς ὁ αὐτός ἐςι τῷ Οʹϱιςῷ (ΡΝϛʹ.)· δῆλον ὅτι ᾧπεϱ ὁ Οʹϱισμὸς, τῷ αὐτῷ καὶ τὸ Οʹϱιςὸν ἀνήκειν ὀφείλει, κατὰ τὴν ταὐτολογȣ̃σαν ἀϱχήν.

„ Εʹκ τῆς πϱοτάσεως ταύτης ϗ τȣ̀ς λοιπȣ̀ς τȣ̀ς ἐνταῦϑα ἀνήκοντας τῶν Φιλοσόφων κα- „ νόνας κατανοεῖς· ὁτῳδήποτε ἀνήκει τὸ Οʹϱιςὸν, ἀνήκει τῷ αὐτῷ ϗ ὁ Οʹϱισμὸς. „ ὁτῳδήποτε ȣ̓κ ἀνήκει ὁ Οʹϱισμὸς, ȣ̓δὲ τὸ ὁϱιςόν· ὁτῳδήποτε ȣ̓κ ἀνήκει τὸ Οʹϱιςὸν, „ ȣ̓δ᾽ ὁ Οʹϱισμός.

ΡΝΗʹ.

## ΡΝΗ'.

### Τῶ Ὁρισμῶ ἐκ ὀφείλεσιν εἰσέρχεσθαι τρόποι ἤτοι συμβεβηκότα.

Δείκν. Οἱ τρόποι ἤτοι τὰ συμβεβηκότα εἰσὶ πάθη, ἤτοι κατηγορέμενα ἐκ ἀεὶ, καὶ ὡσαύτως τοῖς πράγμασιν ἐνυπάρχοντα (κατὰ τὰς ἀρχὰς τῆς Ὀντολογίας), καὶ ἑπομένως οἱ τρόποι, ἤτοι τὰ συμβεβηκότα ἐκ ἐξαρκῆσιν εἰς τὴν τῆ πράγματος ἀπὸ τῶν ἄλλων ἐν παντὶ χρόνῳ διάγνωσιν. Ἐπεὶ δὲ ἐν τοῖς Ὁρισμοῖς γνωρίσματα καταλέγεσθαι ὀφείλει, δι' ὧν τὸ Ὁριςὸν ἐν παντὶ χρόνῳ ἀπὸ τῶν ἄλλων διαγινώσκεται (ΡΝ'.)· κατανοεῖται ὅτι τῷ Ὁρισμῷ ἐκ ὀφείλεσιν εἰσέρχεσθαι τρόποι ἤτοι συμβεβηκότα.

„ Οὕτω παρ. χάρ. ψευδὴς ἂν εἴη ὁ Ὁρισμὸς, δι' ἒ ὁ ἄνθρωπος ζῶον πεπαιδευμένον „ ὁρίζοιτο. Τὸ γὰρ εἶναι πεπαιδευμένον τῷ ἀνθρώπῳ συμβέβηκεν, ἐδ' ἀεὶ ὡσαύτως „ αὐτῷ ἡ παιδεία πρόσεσι, ϗ ἑπομένως διὰ τῆς παιδείας ὁ ἄνθρωπος ἀπὸ τῶν ἄλλων „ ἁπάντων ἐν παντὶ χρόνῳ ἐ δύναται διακρίνεσθαι.

## ΡΝΘ'.

### Ἐξ ἒ ἕπεται, ὅτι ἐν τῷ Ὁρισμῷ τὰ ἐσιώδη, καὶ τὰ προσδιδόμενα πράγματός τινος χρεὼν ἀπαριθμεῖν.

Δείκν. Ἐπεὶ γὰρ ἐν τῷ Ὁρισμῷ τὰ ἀποχρῶντα εἰς διάγνωσιν τῆ Ὁριςῆ ἀπὸ τῶν ἄλλων ἐν παντὶ χρόνῳ χρεὼν ἀπαριθμεῖσθαι γνωρίσματα (ΡΝ'.) Ἕπεται ἐν, ὅτι ἐν τῷ Ὁρισμῷ γνωρίσματα χρεὼν ἐπαριθμεῖσθαι τὰ τῷ Ὁριςῷ ἀεὶ ὡσαύτως ἐνόντα· τὰ δὲ ἀεὶ ὡσαύτως τῷ πράγματι ἐνυπάρχοντα, καὶ τὰ τὸν ἀποχρῶντα λόγον ἐν τῇ τῆ πράγματος ἐσίᾳ ἔχοντα, προσδιδόμενα καὶ ἐσιώδη καλῆμεν (κατὰ τὰς Ἀρχὰς τῆς Μεταφ.)· Δῆλον ἄρ' ὅτι ἐν τοῖς ὁρισμοῖς προσδιδόμενα ἢ ἐσιώδη ὀφείλει ἀπαριθμεῖσθαι, ὡς ἂν δι' αὐτῶν ἔχῃ τὸ Ὁριςὸν ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν παντὶ χρόνῳ διαγινώσκεσθαι.

ΡΞ'.

## ΡΞ'.

**Ἐν τοῖς ὁρισμοῖς ὀφείλομεν ὅροις χρῆσθαι σαφέσι.**

Δεικν. Ὁ ὁρισμὸς ἐςὶν Ἰδέα διακεκριμένη τῷ λόγῳ ἐκφαινομένη. (ΡΜΖ'.) Ἐπεὶ δὲ ἡ Ἰδέα διακεκριμένη ἐςὶν, ὅτε τὰ χαρακτηριςικὰ γνωρίσματα σαφῶς ἑαυτοῖς παριςῶμεν (ΟΗ'.)· Ὀφείλεται ἤδη ἐν τοῖς ὁρισμοῖς τὰ χαρακτηριςικὰ γνωρίσματα σαφῶς ἡμῖν παριςᾶν, ἤτοι δύνασθαι ταῦτα ἀλλήλων διαγινώσκειν (ΞΔ'.)· κἀντεῦθεν ἕπεται ἐν τῇ τῶν χαρακτηριςικῶν γνωρισμάτων ἀπαριθμήσει ὅροις χρηςέον εἶναι, οἷςτισι σαφὴς ἀποκρίνεται Ἔννοια· ᾧ δὲ ὅρῳ σαφὴς προσφύεται Ἔννοια, σαφὴς ἐκεῖνος καλεῖται· ἄρα ἐν τοῖς ὁρισμοῖς σαφέσιν ὅροις χρῆσθαι ὀφείλομεν.

## ΡΞΑ'.

**Ἐξ αὐτῦ τύτυ κατανοεῖς τὺς ὁρισμὺς ὐκ ὀφείλειν εἶναι ἀσαφεῖς.**

## ΡΞΒ'.

**Εἰς τὴν τῶν Ὁρισμῶν σαφήνειαν ὅτι πλεῖςον συμβάλλει τὸ πρότερον ὁρίζεσθαι καὶ ὀρθῶς ἀσφαλίζεσθαι τὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένυς τῶν ὅρων.**

Δείκν. Εἰ γὰρ δὴ τὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένυς ὅρυς ὁρίσαιο πρότερον, διακεκριμένην περὶ αὐτῶν πάντως Ἰδέαν ἕξεις (ΡΜΖ'.)· καὶ ἑπομένως ὐκ ἂν δύναιντο μὴ καὶ σαφεῖς εἶναι τῶν ὅρων οἱ ὁρισμοί· ὥσθ' ὕτω κατανοεῖσθαι εἰς τὴν τῶν ὁρισμῶν σαφήνειαν ὅτι πλεῖςον συμβάλλειν, εἰ τὸ πρότερον ὁρίζεσθαι καὶ ὀρθῶς ἀσφαλίζεσθαι τὺς ἐν τῷ ὁρισμῷ παραλαμβανομένυς τῶν ὅρων.

„ Τυτὶ δὲ, ὥσπερ τισὶν ἄλλοις, τῇ Συςηματικῇ γὖν τάξει ὀφείλεται δικαιάζεσθαι. Ὃ
„ δὴ μάλιςα πάντων ἐπιτηρήσας ὤφθη ὁ περίπυςος Βόλφιος, ἐν παντὶ τῷ αὐτῦ

,, συςήματι διαθεὶς οὕτω τοὺς ὁρισμοὺς, ὥσθ' ἕκαςα τὰ ἐν τοῖς ἑπομένοις ὁρισμοῖς γνωρίσματα ἀκριβῶς ὁρίζεσθαι ἐν τοῖς πρότερον. Οὕτω παρ. Χαρ. Ὁ Βόλφιος ὁρίσας τὸν Κόσμον (ἐν τῇ Λατιν. Κοσμολ. §. 48.) εἱρμὸν εἶναι ὄντων πεπερασμένων, τῶν τε ἅμα ὄντων, καὶ τῶν κατὰ διαδοχὴν ἀλλήλοις συνημμένων. Ὁρισμὸν πρὸ τούτου ἤρθη ἀποδεδωκὼς ἐν τῇ Ὀντολογ. §. 837. τοῦ πεπερασμένου, καὶ πρὸ τούτου ἐν τῇ αὐτῇ §. 569. τί τὸ ἅμα ὑπάρχον, καὶ τί τὸ κατὰ διαδοχὴν ἀνεπτύξατο· καὶ τὰ Συνημμένα δὲ ὡρίσατο Κοσμολογ. §. 10. Ὥςε μοι θαυμάζειν ἐν τοῖς μάλιςα ἔπεισιν, ὅτι καὶ ἀσαφείας αἰτιῶνταί τινες τοὺς κατὰ Βόλφιον ὁρισμοὺς, καίτοιγε ἀκριβῶς οὕτως ἐν τοῖς πρότερον ἀναπτυσσομένους. Μέχρι δὲ τίνος προχωρητέον ἐν τῷ ὁρίζειν τοὺς ὅρους, καταμαθεῖν ἔξεςιν ἐκ τῶν διαληφθέντων περὶ ἀναλύσεως Ἐννοιῶν (ΥΖ.)

# ΡΞΓ'.

## Ὁ ὁρισμὸς οὐκ ὀφείλει τὸ αὐτὸ ἀναπτύσσειν δι' ἑαυτοῦ.

Δείκν. Ἐπεὶ γὰρ ὁ ὁρισμὸς διακεκριμμένη Ἰδέα ἐςὶ (ΡΜΖ'.)· ἕπεται τὸν τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ ἀναπτύσσοντα ὁρισμὸν οὐδ' ὅλως εἶν' ὁρισμόν· τοῦ γὰρ αὐτοῦ ἀναπτυσσομένου δι' ἑαυτοῦ, τὰ χαρακτηριςικὰ τοῦ ὁριζομένου γνωρίσματα οὐ καθ' ἕκαςα ἀριθμοῦνται, τὰ γὰρ χαρακτηριςικὰ γνωρίσματα πράγματός τινος τοῦ αὐτοῦ πράγματος διενήνοχε.

,, Παρ. Χαρ. Τῶν Σχολαςικῶν τινὲς ὁρίζοντες τὴν ποσότητα, συμβεβηκὸς, δι' ὃ λέγεταί τι ποσόν· τῷ ὅρῳ ποσοῦ τὴν αὐτὴν συνάπτουσιν Ἔννοιαν, ἣν καὶ τῇ ποσότητι ἀπονέμουσιν, οὐδ' ὅ, τιοῦν δὲ τῶν χαρακτηριςικῶν γνωρισμάτων, δι' ὧν ἡ ποσότης γινώσκεται, καταλέγονται. τὸ αὐτὸ γὰρ ἐςὶν ὡσανεὶ ἔλεγον, ποσότης ἐςὶν, ὅτε τὸ πρᾶγμα εἴη ποσὸν, τουτέςιν ἡ ποσότης ἐςὶ ποσότης. Σημειώσαιο δ' ἂν ἐνταῦθα εἰκότως, τὸν ταυτολογοῦντα ὁρισμὸν ὀρθῶς ἐνίοτε προσλαμβάνεσθαι. Ὅτε γὰρ ὁ συγκεκριμένος ὅρος ἐν τοῖς πρότερον ὡρισμένος ᾖ, καὶ ἐν τοῖς ἑπομένοις τὸν ἀφῃρημένον ὅρον ὁρίσειας, ὥςε τὸν συγκεκριμένον ὅρον ἀπὸ τοῦ ἀφῃρημένου καταβαίνοντα, ἐν τῷ τοῦ ἀφῃρημένου προσλαμβάνεσθαι ὁρισμῷ, τότε δὴ οὐδ' ἂν ὅλως ἁμάρτοις, οἷον ὁριζόμενος σοφὸν εἶναι τὸν αἱρούμενον πάντως τὸ βέλτιςον, καὶ τῷ ὁρισμῷ τούτῳ ὑποσυνάπτων τονδὶ, σοφία ἐςὶ τελειότης νοὸς, καθ' ἥν τις ὑπάρχει σοφὸς· τὸν ὁρισμὸν δὲ τοῦτον, καίτοι ταυτολογοῦντα, ἐν Συςηματικῇ τάξει δύνασαι προσλαβεῖν. Τὸ γὰρ αὐτὸ ἐςὶ ὡσανεὶ ἔλεγες, Σοφία ἐςὶ τελειότης νοὸς, καθ' ἥν τις αἱρεῖται τὸ βέλτιςον. Ὁ Βόλφιος ἐν τῇ Λατιν. Ὀντολογ. §. 496. τὸ ἀληθὲς ὂν

,, ὡρί-

„ ὡρίσατο, τοιȣ͂τον ὑπάρχειν ὃν, ἐν ᾧ ἀλήθεια δίδοται. Τὸν ὁρισμὸν δὲ τȣ͂τον, „ πᾶς τις ἂν ἔχειν ἀποῤῥαπίζεσθαι, ἀμὴ ἐν τῷ προηγημένῳ παραγρ. ὥρισο ἡ ἀ-„ λήθεια (ἡ Μεταφ. δηλ.) Τάξις ȣ͂σα τῶν ἀνηκόντων τῷ ὄντι.

## ΡΞΔ'.

### Οὐκ ἀγνοεῖς ἐντεῦθεν τȣ̀ς διὰ συνωνύμων ὁρισμȣ̀ς τοῖς ἀδοκίμοις ἐγκαταλέγεσθαι.

Δεῖκν. Ο' γὰρ διὰ συνωνύμων ὁρισμȣ̀ς ἐξυφαίνων, ὅρȣς πάντως γε προσλαμβάνει τὴν αὐτὴν τῷ ὁριςῷ σημασίαν ἔχοντας (ΡΛΖ'.)· καὶ ἑπομένως οἱ συνωνυμικοὶ ὁρισμοὶ τὸ αὐτὸ διὰ τȣ͂ αὐτȣ͂ ἀναπτύσσȣσιν. Ε'πεὶ δ' ἐν τῷ ὁρισμῷ τὸ αὐτὸ δι' ἑαυτȣ͂ ἀναπτύσσεσθαι ȣ̓κ ὀφείλεται (ΡΞΓ'.)· καταvoεῖται ἄρα τȣ̀ς διὰ συνωνύμων ὁρισμȣ̀ς ȣ̓κ ἐγκρίνεσθαι.

[ „ Παρ. χάρ. ὁ ὁρισμὸς τȣ͂ ἀπείρȣ ὁ λέγων, ὅτι ἐςὶ τὸ μὴ ἔχον πέρας, συνωνυμικός „ ἐςί· τὸ γὰρ ἄπειρον εἶναι, ϗ τὸ περάτων ἀμοιρεῖν συνώνυμα ὑπάρχει γραμματικά.

## ΡΞΕ'.

### Ε'ξ ȣ͂ ἔτι καταφανὲς τὸ ὁριςὸν ἐν τῷ ὁρισμῷ ȣ̓κ ἔσθ' ὅπως παραλαμβάνεσθαι

Δεῖκν. Εἰ γὰρ τὸ Ο'ριςὸν προσληφθῇ ἐν τῷ ὁρισμῷ, τὸ Ο'ριςὸν ἀναπτυχθήσηται διὰ τȣ͂ Ο'ριςȣ͂, καὶ ἑπομένως τὸ αὐτὸ δι' ἑαυτȣ͂ ὁρισθήσεται. Ε'πειδὴ δὲ ὁ τὸ αὐτὸ δι' ἑαυτȣ͂ ἀναπτύσσων ὁρισμὸς, ȣ̓δ' ὅλως ἐςὶν ὁρισμὸς, ȣ̓τ' ἐγκρίνεται (ΡΞΓ'.)· Κατάδηλον, ὅτι τὸ Ο'ριςὸν ἐν τῷ ὁρισμῷ ȣ̓κ ὀφείλει προσλαμβάνεσθαι.

## ΡΞϚ'.

### Παραφυλακτέον δὲ μήποτε οἱ ἐν τῷ ὁρισμῷ προσλαμβανόμενοι ὅροι ὁρίζοιντο αὖθις διὰ τοῦ Ὁριστοῦ.

Δεικν. Διὰ τῶν ἐν τῷ Ὁρισμῷ προσλαμβανομένων ὅρων, τὰ χαρακτηριστικὰ γνωρίσματα ὀφείλουσι καταλέγεσθαι τὰ ἀποχρῶντα εἰς τὴν τοῦ Ὁριστοῦ ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιστάσει διάγνωσιν (ΡΝ'.) καὶ ἑπομένως οἱ ἐν τῷ Ὁρισμῷ ὅροι πληρέστερον καὶ σαφέστερον τὸ Ὁριστὸν ἀναπτύσσειν ὀφείλουσιν. Ἐὰν οὖν τοὺς ἐν τῷ Ὁρισμῷ λαμβανομένους, καὶ τὸ Ὁριστὸν διακεκριμένως ἀναπτύσσειν ὀφείλοντας ὅρους διὰ τοῦ Ὁριστοῦ ἀναπτύξειας, αὖθις τὸ Ὁριστὸν πάντως ἀναπτύξεις διὰ τοῦ Ὁριστοῦ, καὶ ἑπομένως Ὁρισμὸν ἀποδώσεις ταυτολογοῦντα. Ἐπεὶ δὲ ὁ τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ ἀναπτύσσων Ὁρισμὸς ἀπατηλός ἐστι, μᾶλλον δὲ οὐδεὶς καὶ ἀδόκιμος (ΡΞΓ'.)· δῆλος ἐντεῦθεν ὁ λόγος, δι' ὃν προφυλακτέον, μήποτε οἱ ἐν τῷ Ὁρισμῷ προσλαμβανόμενοι ὅροι ὁρίζοιντο αὖθις διὰ τοῦ Ὁριστοῦ.

„ Παρ. χάρ. ὁ ὁρίζων τὴν Σοφίαν ἕξιν εἶναι τοῦ αἱρεῖσθαι τὸ βέλτιστον, καὶ τὸ αἱρεῖσθαι „ τὸ βέλτιστον ἀναπτύσσειν ἤτοι, οὐδὲν ἄλλο εἶναι, εἰμὴ τὸ διακεῖσθαι σοφῶς, οὗτος ἤδη „ τὸν κανόνα παραβαίνων τουτονὶ ἁμαρτήσει· ὁ γὰρ τῆς Σοφίας ἀποδοθεὶς Ὁρισμὸς „ τῷ ὄντι γε οὕτως ἕξει. Σοφία ἐστὶν ἕξις τοῦ σοφῶς διακεῖσθαι. Ἴδε ὁ ταυτολογῶν „ Ὁρισμός.

## ΡΞΖ'.

Ὅτε ὁ ὅρος ὁ ἐν τῷ Ὁρισμῷ λαμβανόμενος διὰ τοῦ Ὁριστοῦ ἀναπτύσσεται, ἁμαρτάνειν λεγόμεθα κύκλον ἐν τῷ ὁρίζειν· ἐντεῦθεν ὁ Βόλφιος κύκλον ἐν τῷ ὁρίζειν εἶναι φησί, κακίαν ἢ πλημμέλημα ἐν τῷ ὁρισμῷ προσλαμβάνον ὅρον, οὗτινος ἐν τῷ Ὁρισμῷ τὸ Ὁριστὸν προσλαμβάνεται.

„ Παράδειγμα τοῦ πλημμελῶδους κύκλου ἐν τῇ ἀνωτέρω ὑποσημειώσει ἐστὶν ἰδεῖν. Τοῦ- „ δε χάριν τὸ πλημμέλημα τοῦτο κύκλος ἀκούει, λόγος ἐστὶ προφανής, καὶ ἐν τῇ ἀ- „ ναπτύξει ἀποδειχθήσεταί μοι πλατύτερον.

## ΡΞΗ'.

### Ο ἐν τῷ ὁρίζειν κύκλος φευκτέος ὡς οἷόν τε.

Δείκν. Ἐπεὶ γὰρ φυλακτέον τὲς ἐν τῷ Ὁρισμῷ ὅρες διὰ τῆ Ὁρισμῦ ἀναπτύσσειν (ΡΞϚ'.)· Ὅτε δὲ τὲς ἐν τῷ Ὁρισμῷ ὅρες διὰ τῦ Ὁρισμῦ ἀναπτύσσομεν, Κύκλον ἁμαρτάνομεν (ΡΞΖ'.)· δῆλον, ὅτι τὸν ἐν τῷ ὁρίζειν κύκλον φυλακτέον ὡς οἷόν τε.

## ΡΞΘ'.

### Ἐν τοῖς Ὁρισμοῖς ἐκ ὀφείλομεν χρῆσθαι ὅροις πλανωμένοις, ἀορίστοις ἢ καταχρηστικοῖς, εἴτ' ἒν μεταφορικοῖς, ἀλλὰ μόνον τοῖς κυρίοις ἢ ὡρισμένοις.

Δείκν. Ἐπείπερ ὁ Φιλόσοφος ἐν παντὶ ὅλως λόγῳ ὅροις Κυρίοις χρῆσθαι ὀφείλει (ΡΜΑ'.), καὶ Ὡρισμένοις (ΡΛΕ'.), καὶ τὲς μεταφορικὲς καὶ πλανωμένες ἀποδιοπομπεῖσθαι (ἐγγύτ.)· Πολλῷ μᾶλλον ἐν τῷ ὁρίζειν χρηστέον ὅροις ἀπλανέσι τε καὶ κυρίοις, τῶν καταχρηστικῶν καὶ πλανωμένων ἐκκλειομένων. Ἐν γὰρ τῇ τῶν Ὁρισμῶν κατασκευῇ ἀφορῶμεν εἰς τὸ καὶ ἄλλοις σημῆναι ὅπως τὸ Ὁριστὸν ἀπὸ τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιστάσει ἔχῃ διαγινώσκεσθαι (ΡΝ'.)· Ἀπαιτεῖται ἒν ὁριζομένες ἡμᾶς, καὶ τοῖς ἄλλοις εἶναι μὴ δυσξυνέτες. Ἐπεὶ δὲ μόλις, ἢ ἐδ' ὅλως τοῖς ἄλλοις ἐσμὲν εὐξύνετοι, καταχρηστικοῖς ἢ πλανωμένοις τοῖς ὅροις χρώμενοι (ΡΜΑ'.), κατανοεῖται, ὅτι ἐν τοῖς Ὁρισμοῖς χρῆσθαι δεῖ κυρίοις καὶ ὡρισμένοις ὅροις, πλανωμένες δὲ καὶ ἀορίστες ἀποβάλλειν.

„ *Ἐὰν Μεταφορικὸς*, ἤτοι καταχρηστικὸς ὅρος ἐν ὁρισμῷ τινὶ προσλαμβάνηται, ὀφείλει
„ *Α'*. ὁρισμῷ ἀναπτυχθῆναι, ἢ τῆς ὁμωνυμίας ἀπαλλαχθῆναι. Παρ. χάρ. ὡρίσατο
„ τὸν νόμον ὁ *Βόλφιος*, κανόνα εἶναι, καθ' ὃν αἱ ἡμέτεραι ἐνέργειαι διαμορφῦσθαι
„ ὀφείλεσιν. Ἐνταῦθα δὴ μεταφορικῇ φωνῇ τῇ τῦ *Κανόνος* ἐχρήσατο *Βόλφιος*, καί
„ γε εἰκότως· ἐν γὰρ τῷ αὐτῦ συστήματι προώριστο ὁ κανὼν, πρότασις διορίζεσα τὰς ἡ-
„ μετέρας *Ἐνεργείας*, τετέστι τί ποιητέον ἀγορεύεσα, ἢ τί φευκτέον.

## ΡΟ΄.

**Ἐν τῇ εἰδοποιήσει τῶν Ὁρισμῶν, ὅρυς προσλαμβάνειν κατὰ τὴν ἀναληφθεῖσαν σημασίαν ὀφείλομεν.**

Δείκν. Ἐπείπερ ὁ Φιλόσοφοι ἐκτὸς ἀνάγκης τῆς τῦ λέγειν χρήσεως, καὶ τῆς ἀναληφθείσης τῶν λόγων σημασίας ἐκ ὀφείλειν ἀποχωρεῖν (ΡΜΕ΄.)· καὶ τὺς ὁρισμὺς ἄρα ἀποδιδότω, ὅρυς προσλαμβάνων τῇ τῦ λέγειν χρήσει συνᾴδοντας.

## ΡΟΑ΄.

**Ἀφεκτέον ἐν τοῖς Ὁρισμοῖς τῶν ἀποφατικῶν ὅρων, ταὐτὸν δ᾽ εἰπεῖν, ὁ ἀποφατικὸς Ὁρισμὸς ἐκ ἀνεκτός.**

Δείκν. Ἐπεὶ γὰρ ἐν τοῖς ὁρισμοῖς σαφέςερον ἐκφαίνειν τὺς χαρακτῆρας ὀφείλομεν, δι᾽ ὧν περ τὸ Ὁριςὸν τῶν ἄλλων ἁπάντων ἐν ἁπάσῃ περιςάσει διαγινώσκεται (ΡΝ΄.)· διὰ τῦ Ὁρισμῦ ἄρα ὀφείλομεν ἐξαγγέλειν, ὅ, τι τὸ πρᾶγμα ἐςίν. Ἀποφατικοῖς δὲ χρώμενοι, ὐχ ὅ, τι ἐςὶν, ἀλλ᾽ ὅ, τι ὐκ ἔςι διατυφῦμεν· δῆλον ἄρ᾽, ὅτι τὸ τῦ Ὁρισμῦ τέλος ἄπεςιν ἐν τοῖς Ἀποφατικοῖς Ὁρισμοῖς, καὶ ἑπομένως τὺς Ἀποφατικὺς Ὁρισμὺς, Ὁρισμὺς ὐχ ὑποληπτέον.

„ *Συμβαίνει δ᾽ ὡς τὰ πολλὰ διὰ τὴν τῦ ἡμετέρυ νοὸς ἀσθένειαν τὰ Θετικὰ τῦ πράγματος προσδιδόμενα ὐ δύνασθαι διορᾶν· ἐνθεντοι οἱ Ἀποφατικοὶ Ὁρισμοὶ ἐνίοτε εἰσὶν ἀνεκτοί. Προσεκτέον ὅμως ὐχ ὡς ἔτυχε χρῆσθαι τοῖς Ἀποφατικοῖς Ὁρισμοῖς, ἀλλ᾽ ὅτε τὰ ἀναπτυσσόμενα χαρακτηριςικὰ γνωρίσματα Ἐννοιῶν εἰσὶν ἀντιφατικῶς ἢ ἀμέσως ἀντικειμένων, ὧν μεταξὺ τρίτον προληφθῆναι ὐκ ἔξεςιν. Ἐν τύτοις γὰρ θατέρυ τῶν ἀντιφατικῶς ἀντικειμένων ἐξηγυμένυ, τῷ ἑτέρῳ οἱ ἀντιφατικῶς ἀντικείμενοι ἀπονέμονται χαρακτῆρες.*

„ *Οὕτω παρ. χάρ. Τὸ σύνθετον. ἢ τὸ Ἁπλῦν ὃν ἀλλήλοις εἰσὶν ἀντικείμενα, ὥςε μεταξὺ τύτων τρίτον ὐ δίδοσθαι. Ἐὰν ὖν τὸ σύνθετον ὂν ἀναπτύξειας λέγων, συγκεῖσθαι μέρεσιν ἀλλήλων διακεκριμένοις, ἢ πρὸς ἄλληλα συνημμένοις, δυνήσῃ ὁρίσασθαι, τὸ Ἁπλῦν διὰ τῦ μὴ ἔχοντος μέρη. Τῦτο δὲ ἐν ὅροις ὐκ Ἀντιφατικοῖς*

„ γε-

„ γενέσθαι ἐκ οἷόν τε τῶν ἀπεμφαινόντων· ἢ γὰρ ἐςὶν ὁρίζειν τὸν ἄνθρωπον κὰ Ἄγ-
„ γελον λέγοντες, μεταξὺ τότε κἀκείνου πλεῖςων ὅσων ἔτι εὑρισκομένων.

## ΡΟΒ΄.

### Ἐν τῷ ἀκριβεῖ Ὁρισμῷ γένος καὶ εἰδοποιὸς διαφορὰ ἀπαιτεῖται.

Δεικν. Ἐν παντὶ Ὁρισμῷ χαρακτῆρες ἀριθμοῦνται οἱ ὡρισμένοι μόνοι τοῖς εἴδεσι τῶν πραγμάτων ἀνήκοντες, καὶ ἐπομένως σημαίνειν ὀφείλοντες, ὅπως ἂν ἕτερον εἶδος ἑτέρου εἴη διάφορον. Ἐπεὶ δὲ μεταξὺ τούτων τῶν χαρακτήρων ἀεί τινες εὑρίσκονται κοινοὶ ὄντες τῷ Ὁρισμῷ σὺν τοῖς ἄλλοις εἴδεσι, καὶ ἐπομένως τὴν τῶν εἰδῶν ἐμφαίνουσιν ὁμοιότητα· Εὔδηλον ὅτι προσδιδόμενά τινα ἐν τῷ Ὁρισμῷ καταλεγόμενα τὸ γένος ἐμφαίνουσιν· (ΡΖ΄.) Ἐπεὶ δὲ καὶ ἕτεροι χαρακτῆρες ὀφείλουσι προσλαμβάνεσθαι, οἷς τισι τὸ ὁριζόμενον πρᾶγμα, ὥσπερ εἶδος πάντων τῶν ἄλλων εἰδῶν διακρίνεται· (ΡΝ΄.) Πρόδηλον, ὅτι τὸν Ὁρισμὸν τὸ γένος, καὶ ἡ εἰδοποιὸς διαφορὰ ὀφείλει συνιςᾷν (ΡΙΖ΄.).

## ΡΟΓ΄.

Ὁ Ὁρισμὸς τοῖς τε πάλαι καὶ τοῖς νεωτέροις τῶν Φιλοσόφων εἰς τὸν ὀνοματώδη καὶ τὸν τοῦ πράγματος διαιρεῖται. Τῇ αὐτῇ μὲν οὖν κλήσει οἵτε πάλαι κα οἱ νεώτεροι κέχρηνται. Τὸ δὲ νοούμενον διὰ τῆς τοῦ ὀνοματώδους καὶ τῆς τοῦ πραγματιώδους κλήσεως τοῖς ἀρχαίοις πρὸς τοὺς νεωτέρους διάφορον.

## ΡΟΔ΄.

Διὰ τοῦ Ὀνοματώδους Ὁρισμοῦ ἐκεῖνον τὸν Ὁρισμὸν ἐννοοῦμεν, δι᾽ οὗ τὰ γνωρίσματα, εἴτουν προσδιδόμενα ἀριθμοῦνται τὰ ἀποχρῶντα εἰς τὴν τοῦ Ὁριςοῦ ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιςάσει διάγνωσιν.

„ Οἱ

„ Οἱ Α'ριςοτελικοὶ διὰ τῶν ὀνοματωδῶν ὁρισμῶν τὰς γραμματικὰς ἐννοῦσι τῶν φωνῶν „ ἀναπτύξεις. Εἰς τύτες ἀνέφερον Α'. τὴν Ε'τυμολογίαν, δι' ἧς ἡ ἀρχὴ καὶ „ αἰτία τῆς ὁριϑησομένης ἐπιζητῦται φωνῆς. Β'. τὴν Συνωνυμίαν, δι' ἧς περ ἕτεραι „ ταυτοσήμαντοι λέξεις προσάγονται. Γ'. τὴν Ο'μωνυμίαν τὴν πολλαπλασίαν τῆς φω- „ νῆς σημασίαν ἐπιφέρυσαν. Ο' τῶν Α'ρχαίων Ο'νοματώδης Ο'ρισμὸς, ὁ κ̀ Ο'νοματολογία „ καλύμενος, ἐσαεὶ ἀπεκρίνετο τῇ ἐρωτήσει, τί ἡ λέξις σημαίνει; ὁ δὲ τῦ πράγματος „ κατ' ἐκείνυς ὁρισμὸς αὐτὸ τὸ πρᾶγμα παρίςη, κ̀ ἑπομένως ἀπεκρίνετο τῇ ἐρωτή- „ σει, τί τὸ πρᾶγμα ἐςίν. Η'μεῖς δὲ τὸν τοιῦτον τῦ ὀνόματος Ο'ρισμὸν, ἤτοι τὴν „ τῶν φωνῶν ἀνάπτυξιν τοῖς γραμματικοῖς παραλείπομεν, ἐν τῇ τῶν ὀνοματωδῶν Ο'ρισ- „ μῶν ἀποδόσει γνωρίσματα ἀπαριϑμεῖν τὴν τῦ Ο'ριςῦ ὅρυ σημασίαν διατρανῦντα, „ τῦ Φιλοσόφυ ὀφείλοντος. Οὕτω παρ. χάρ. Τῦ Πνεύματος ὀνοματώδης Ο'ρισ- „ μός ἐςιν ὁ τὴν τῦ Πνεύματος λέξιν ὑτωσὶ διορίζων, ὥςε ὐδὲν ἄλλο δι' αὐτῆς „ ἐννοεῖσϑαι, ἀλλ' ὐσίαν νοερὰν κ̀ Θελητικήν.

## ΡΟΕ'.

Ο'ρισμὸς τῦ πράγματος παρὰ τοῖς νεωτέροις ἐςὶν Ε'ννοια διακεκριμένη τὴν τῦ Ο'ριςῦ ἐκφαίνυσα γένεσιν, ἤτοι τὸν τρόπον καϑ' ὃν ἔχει τὸ πρᾶγμα εἰδοποιεῖσϑαι, ἢ γίνεσϑαι. Ο' Βόλφιος ὡρίσατο αὐτὸν ὕτως: ὁ ὁρισμὸς τῦ πράγματος ἐςὶν ὁ διαφαίνων τὸν τρόπον, καϑ' ὃν δύναταί τι γενέσϑαι. Ο'ρα Λογικ. Λατιν. §. 194.

„ Οὕτω παρ. χάρ. ὁ Βόλφιος Ο'ρισμὸν πραγματιώδη τῆς λύπης ἀποδίδωσιν ἐν τῇ Λατιν. Ε'μ- „ πειρικῇ Ψυχολογίᾳ §. 470. ὁριζόμενος αὐτὴν πάϑος ἡμῖν ἐγειρόμενον ἐκ τῆς τῦ παρόντος „ πράγματος δόξης συγκεχυμένως ἡμῖν ὡς κακῦ τινὸς ὐ μικρῦ παριςανομένυ. Ε'ν τυτῳὶ „ γὰρ τῷ Ο'ρισμῷ ἐκτίϑεται, ὅπως ἡμῖν ἡ λύπη γεννᾶται, κ̀ ἑπομένως τὸν τρόπον ανα- „ πτύσσει, καϑ' ὃν ἐν ἡμῖν ἡ λύπη δύναται γίνεσϑαι. Ο' τῦ πράγματος Ο'ρισμὸς Γε- „ νητικὸς ἀκύει παρά τισιν, ὡς τὴν τῦ πράγματος γένεσιν, κ̀ τὰς αἰτίας ἐμφαίνων.

## ΡΟϚ'.

### Οἱ ὀνοματώδεις Ο'ρισμοὶ εἰσὶ κατ' ἀρέσκειαν.

Δείκν. Ε'ν τῷ ὀνοματώδει Ο'ρισμῷ τὰ προσδιδόμενα ἀριϑμῦνται τὰ τὸ Ο'ριςὸν ἀπὸ πάντων τῶν ἄλλων ἐν ἁπάσῃ περιςάσει διαζευγνῦντα (ΡΝ'.)· Ε'πεὶ δὲ ἐν ἑνὶ πράγματι πλείω δίδονται προσδιδόμενα (κατὰ τὰς Μεταφυσικὰς ἀρχὰς)· εὔδηλον, ὅτι τὺς ὀνοματώδεις Ο'ρισμὺς δυνατὸν ἀλ-

ἄλλως ἄλλοις διαμορφοῦσθαι, καὶ ἑπομένως κατ' ἀρέσκειαν γίνεσθαι, τ' αὐτὸν δ' εἰπεῖν, ἐφ' ἡμῖν εἶναι τὸ προλαμβάνειν τῶν πολλῶν προσδιδομένων ὁποιονοῦν.

„ *Δύναταί τις ἄλλο καὶ ἄλλο τοῦ Ὁρισοῦ προσδιδόμενον ἀπαριθμεῖν ἐν τῷ Ὁρισμῷ, οὐ μόνον*
„ *τὸ καταλεγόμενον προσδιδόμενον Α'. Ἀπόχρη εἰς τὴν τοῦ ὁριζομένου ἀπὸ τῶν ἄλλων*
„ *διακρίσιν· Β'. Ἐὰν ᾖ προσδιδόμενον τὸ ἐξ οὗ τὰ λοιπὰ τὰ τῷ Ὁριζῷ ἀνήκοντα ὀρθῇ*
„ *καὶ κατὰ κανόνας ἐπιφορᾷ παράγεσθαι δύναται. Οὐκ ἄρα πλημμελοῦντα καὶ ὀλισθαί-*
„ *νοντα ὑπολημπτέον σοι παραυτίκα τὸν ἕτερον, μὴ τὸν αὐτόν σοι Ὁρισμὸν ἀπο-*
„ *διδόντα τὸν τοῦ ὀνόματος.*

## ΡΟΖ'.

Ἐκ τῆς τοῦ ὀνοματώδους Ὁρισμοῦ φύσεως πρόδηλον, ὅτι οὐ πάντα τὰ προσδιδόμενα καὶ τοὺς χαρακτῆρας τοὺς τῷ Ὁριζομένῳ ἀνήκοντας ἀπαριθμεῖσθαι χρεών, μόνον ἀριθμουμένων τῶν κατηγορημένων, ὅσα γε ἀπόχρη εἰς τὴν τοῦ Ὁρισοῦ ἀπὸ τῶν ἄλλων διάγνωσιν, καὶ ἐξ ὧν τὰ λοιπὰ παράγεσθαι δύναται.

„ *Φυλακτέον δὲ μήποτε ὑπολάβωμέν τινα πάντα τὰ τοῦ πράγματος προσδιδόμενα ἀρνεῖ-*
„ *σθαι, ἢ ἐν ἀμφιβόλῳ ἔχειν, ἐν τῷ Ὁρισμῷ ταῦτα μὴ ἀριθμοῦντα. Τὰς κατὰ τοῦ Βολφίου*
„ *ἀμφισβητήσεις ἀναγινώσκων, συνεχῶς ὁρῶ γινόμενον τοιοῦτον ἁμάρτημα· οὕτω, παρ-*
„ *χὰρ τοῦ Βολφίου ὁρίζοντος τὴν Ψυχὴν οὐσίαν εἶναι δύναμιν ἔχουσαν παραστατικὴν τοῦ*
„ *παντὸς κατὰ τὴν θέσιν τοῦ ὀργανικοῦ σώματος· πολεμεῖσθαι τὸν Ὁρισμὸν τοῦτον ἐξ*
„ *αἰτίας τοιαύτης μέμνημαι, ὅτι οὐδεμία μνήμη τῆς ἐλευθερίας ἐγένετο, τὸ τῆς Ψυ-*
„ *χῆς ἐλεύθερον μὴ προσδέχεσθαι ὑπολαμβανόντων τινῶν τὸν Βόλφιον· πλείω περὶ*
„ *τούτων ἐν τῇ ἀναπτύξει.*

## ΡΟΗ'.

Ἐκ τούτων ἔχεις κατανοεῖν Α'. Τὰ πεπερασμένα πάντα πραγματικῶς ἐξεῖναι ὁρίζεσθαι ὡς ὑποκείμενα γενέσει, ἣν ἀνιχνεύειν οὐκ ἔστιν ἀδύνατον. Β'. Πραγματικὸν Ὁρισμὸν τοῦ Θεοῦ δοθῆναι μὴ δύνασθαι. Γ'. Εἰς τὴν ἀπόδοσιν τοῦ πραγματικοῦ Ὁρισμοῦ ἀπαιτεῖσθαι τὸ τὰς αἰτίας ἐρευνᾶν τοῦ ἀντικειμένου

μένε, καὶ ὅ, τι ποτὲ συμβάλλεται τέτων ἑκάςη εἰς παραγωγὴν τινὸς διορᾶν. Δ΄. Ἐντεῦθεν δῆλον, τί δήποτε τῶν πλειόνων πραγματικὲς Ὁρισμὲς ἐκ ἔχομεν· ἀγνοῦντες γὰρ τέτων τὰς αἰτίας καὶ τὴν γένεσιν, ἐδὲν θαυμαςὸν Ὁρισμῶν τῶν τῦ πράγματος ἀπορεῖν.

## ΡΟΘ΄.

Τῦ Ὁρισμῦ ἡ διαγραφὴ διενήνοχεν· ὥσπερ γὰρ ἐν τῷ Ὁρισμῷ ὀφείλει ἀριθμεῖσθαι τὰ εἰς τὴν τῦ πράγματος ἀπὸ τῶν ἄλλων ἐν ἁπάσῃ περιςάσει διάκρισιν ἀποχρῶντα γνωρίσματα (ΡΝ΄.)· ὅτως ἐκ τῦ ἐναντίε, ἐν τῇ διαγραφῇ γνωρίσματα προσλαμβάνεσθαι τῷ διαγραφομένῳ ἐκ ἀεὶ ὡσαύτως, ἀλλ᾽ ἐπὶ χρόνον ἀνήκοντα, ὥσθ᾽ ὅτω τὴν διαγραφὴν εἶναι Ἔννοιαν τῦ πράγματος διακεκριμένην ἐλλιπῆ λόγῳ ἐκφαινομένην.

„ Ἐὰν εἴπω παρ. χάρ. τὸ μελανοδοχεῖον ἐςὶ σκευάριόν ἐκ ξύλε κείμενον ἐπὶ τραπέζης,
„ μέλαν ὑγρὸν περιέχον, εἰς γραμμῶν καὶ γραμμάτων ἀγωγὴν ἐπιτήδειον, διαγρά-
„ φω ὅτω τὸ μελανοδοχεῖον. Οὐ γὰρ ἀεὶ ὡσαύτως αὐτῷ ἀνήκει ταυτὶ τὰ γνωρίσ-
„ ματα· ἡ μὲν ἐν διαγραφὴ τῶν ἀτόμων ἐςί, τὰ δὲ ὁριζόμενα ἀφῃρημένα ἐςί, καὶ τὰ
„ μάλιςα ἐν εἰδῶν κλάσει συνίςανται.

# ΚΕΦΑ'ΛΑΙΟΝ Δ.

## ΠΕΡΙ' ΔΙΑΙΡΕ'ΣΕΩΣ

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΠ'.

Ὥσπερ τὸ Ὂν τὸ ἐκ πλειόνων μερῶν συγκείμενον γενικῶς φαμὲν διαιρεῖν εἰς τὰ οἰκεῖα μέρη αὐτὸ ἀναλύοντες, οὕτω καὶ λογικῶς Ἰδέαν τινὰ ὁλικήν, καὶ πλείους διορισμοὺς περιέχουσαν διαιρεῖν εἰώθαμεν εἰς τὰς ἐν αὐτῇ μερικὰς Ἰδέας τὴν αὐτὴν ἀναλύοντες· καθόλου τοιγαροῦν, καὶ γενικῶς ὁρίζομεν τὴν διαίρεσιν εἶναι ἀνάλυσιν τοῦ ὅλου εἰς τὰ οἰκεῖα μέρη, τὸ δὲ διαιρούμενον, καὶ εἰς τὰ ἑαυτοῦ μέρη διανεμόμενον, διαιρετὸν λέγεται, καὶ τὰ μέρη εἰς ἃ ἀναλύεται, διαιρετικὰ μέρη καλεῖται.

*„ Τῇ περὶ τοῦ Ὁρισμοῦ διδασκαλίᾳ οἵ τε Ἀρχαῖοι, ϗ τῶν νεωτέρων τινὲς ὑποσυνάπτουσι*
*„ τὸ περὶ διαιρέσεως κεφάλαιον, καί γε εἰκότως· αἱ γὰρ διαιρέσεις καινοί τινές εἰσιν*
*„ Ὁρισμοὶ καθ' ὡρισμένας τῶν μερῶν τοῦ ὅρου εἰδοποιήσεις διαμορφούμεναι· Σύνθετόν τι*
*„ ὂν ϗ ἐκτεταμένον εἰς τὰ ἑαυτοῦ ἀναλύοντες μέρη, Φυσικὴν λεγόμεθα διαίρεσιν ἐκ-*
*„ τελεῖν. Ἰδέαν δέ τινα καθόλου εἰς τὰς ἑαυτῆς μερικὰς Ἰδέας, ἢ γένος εἰς τὰ οἰκεῖα*
*„ ἀναλύοντες εἴδη, Λογικήν, περὶ ἧς ἐν τῷ παρόντι. Μεταξὺ δὲ διαιρέσεως, δια-*
*„ κρίσεως, ϗ μερισμοῦ, ἥτις ϗ ὁποία εὑρίσκοιτο ἡ διαφορὰ πλατύτερον ἐν τῇ ἑρμηνείᾳ*
*„ διορισθήσεται.*

### ΡΠΑ'.

Ἡ διαίρεσις ἀπὸ τοῦ ἀριθμοῦ τῶν διαιρετικῶν μερῶν διαφόρους εἴληχε παρωνυμίας· ἡ μὲν γὰρ δυσὶ συνισταμένη μέρεσι, Διμερὴς λέγεται,

εἴτ' ὖν Διχοτομία, ἡ δὲ τρισὶ μέρεσι, Τριμερὴς, ἢ Τριχοτομία, ἡ δὲ τέσσαρσι, Τετραμερὴς, ἢ Τετραχοτομία, καὶ ἐφεξῆς ὅτω.

„ Παραδείγματα τῆς Διχοτομίας, Τριχοτομίας, ϗ Τετραχοτομίας ἐποίσω ἐν τῇ πα-
„ ραδόσει τῦ μαθήματος.

## ΡΠΒ'.

Τὰ διαιρετικὰ μέρη διαιρῦντες εἰς μέρη ἕτερα, λεγόμεθα ὑποδιαιρεῖν.

„ Παρ. χάρ. τὴν συνείδησιν διαιρῦντες εἰς ὀρθὴν ϗ πλάνον, ϗ τὴν ὀρθὴν αὖθις εἰς βε-
„ βαίαν ϗ πιθανὴν, λεγόμεθα ὑποδιαιρεῖν. Τί δ' ἂν εἴη ἐπιδιαίρεσις ἐκ τῶν ἐν τῇ
„ ἀναπτύξει ῥηθησομένων μοι δηλωθήσεται.

## ΡΠΓ'.

Τῆς διαιρέσεως ἀναλύσεως τῦ ὅλυ, ἤτοι τῦ συνθέτυ εἰς τὰ ἑαυτῦ μέρη ῥηθείσης (ΡΠ'.)· δῆλον ὅτι ὥσπερ ἐςὶ τὸ σύνθετον, ἤτοι τὸ ὅλον, ὅτω καὶ ἡ διαίρεσις. Ἐπεὶ δὲ τὸ ὅλον ὑπὸ ποικίλαις σχέσεσι δύναται ἐννοηθῆναι, διάφορα ἐντεῦθεν τῆς διαιρέσεως ἀναφαίνονται εἴδη.

„ Α'. Τὸ καθολικὸν ὅλον, ἤτοι τὸ γένος εἰς τὰ οἰκεῖα διανέμεται εἴδη, οἷον τὸ ζῶον
„ ἤτοι ἄνθρωπος ἐςὶν, ἢ ἄλογον. Β'. Τὸ Ὀντοτικὸν ὅλον εἰς μέρη διαιρεῖται Ὀντο-
„ τικὰ Φυσικά· οἷον ὁ ἄνθρωπος, εἰς ψυχὴν ϗ σῶμα. Γ'. Τὸ Ὁλομερὲς ἢ σωματι-
„ κὸν ὅλον, εἰς μέρη ποσωτικὰ, οἷον τὸ ἀνθρώπινον σῶμα εἰς κεφαλὴν, σέλεχος,
„ ϗ λοιπὰ ἄρθρα. Δ'. Τὸ Ὅλον τὸ ποικίλαις δυνάμεσι συνιςάμενον, εἰς τὰ οἰκεῖα
„ διαιρεῖται πραγματικὰ μέρη, οἷον ἡ ψυχὴ εἰς ποικίλας δυνάμεις, οἷον αἴσθησις,
„ φαντασίαν, μνήμην, προσοχὴν, ἀφαίρεσιν κτλ. προςιθέασιν ἐνταῦθα οἱ Φιλοσο-
„ φῦντες τὴν διαίρεσιν τῦ ὑποκειμένυ εἰς τὰ συμβεβηκότα, ἢ τρόπυς· οἷον, πᾶς ἄν-
„ θρωπος ἢ εὐσεβής ἐςιν, ἢ ἀσεβής· ὡσαύτως ϗ τῦ συμβεβηκότος εἰς τὰ αὐτῦ ὑποκείμενα·
„ οἷον ἡ αἰώνιος Κόλασις, ἢ τῶν διαβόλων, ἢ τῶν καταδεδικασμένων ἀνθρώπων ἐςίν.
„ Ἔτι τῦ ἀποτελέσματος εἰς τὰς οἰκείας αἰτίας, οἷον τῆς χριςιανικῆς εὐσεβείας ἡ προσ-
„ βολὴ, ἡ μὲν ἐξ ἀγνοίας, ἡ δὲ ἐκ κακίας ἐςὶν· τελευταῖον τὰς αἰτίας εἰς τὰ ἀπο-
„ τελέσματα, οἷον ἄλλος μὲν λόγος τῦ Θεῦ τὰς τῶν ἀνθρώπων φρένας ἐκφοβεῖ ϗ τα-
ράττει,

„ ῥάττει, ἄλλος δὲ ταύτας παραμυθεῖται, ὥσπερ τὸ Εὐαγγέλιον. Πρᾶγμά τι ἔτι
„ εἰς τὰ ἑαυτῷ ἀντικείμενα διαιρεῖται· παρ. χάρ. ἄλλη μὲν χαρά ἐστιν ἕνεκα τῶν κτισ-
„ μάτων, ἄλλη δὲ ἕνεκεν τοῦ Θεοῦ.

## ΡΠΔʹ.

### Τὰ διαιρετικὰ μέρη ὁμοῦ εἰλημμένα ὀφείλει ἐξισοῦσθαι τῷ διαιρετῷ· τουτέστι τὸ διαιρετικὸν, οὔτε πλέον οὔτ᾽ ἔλαττον περιέχει πάντων ὁμοῦ τῶν διαιρετικῶν μερῶν.

Τὸ διαιρετὸν θεωρεῖται ὡς ὅλον· τὰ δὲ διαιρετικὰ μέρη, ὡς μέρη ὁμοῦ εἰλημμένα (ΡΠΓʹ.)· ἐπεὶ δὲ τὰ μέρη πάντα ὀφείλει ἐξισοῦσθαι τῷ ὅλῳ, (κατὰ τὰς ἀρχὰς τῆς ὀντολ:) καὶ τὰ διαιρετικὰ μέρη ὀφείλει ἐξισοῦσθαι τῷ διαιρετῷ, ἤτοι τὸ διαιρετὸν οὔτε πλέον, οὔτ᾽ ἔλαττον περιέχει τῶν διαιρετικῶν μερῶν ὁμοῦ εἰλημμένων.

„ *Παρ᾽ ἄλλοις ἡ πρότασις αὕτη οὕτω προφέρεται, τὰ μέρη τῆς διαιρέσεως ἐξαντλεῖν*
„ *ὀφείλει πᾶν τὸ διαιρετόν· οὕτω παρ᾽ ἄλλοις· Τὸ διαιρετὸν καὶ τὰ διαιροῦντα μέλη ὑπὸ*
„ *τῇ διαζεύξει ὁμοῦ εἰλημμένα ὀφείλει εἶναι ἀντίστροφα. Ἔνθεν τοι ψευδὴς ἂν εἴη σοι*
„ *ἡ διαίρεσις λέγοντι, πᾶν ζῶον εἰς ἄνθρωπον, ἄλογον, καὶ φυτὸν διαιρεῖται. Τὸ γὰρ*
„ *διαιρετὸν ἔλαττον ἂν περιεῖχεν, ἢ πάντα τὰ διαιρετικὰ μέλη εἰλημμένα· οὐ γὰρ ὑπὸ*
„ *τῇ Ἐννοίᾳ τοῦ ζώου περιέχεται τὰ φυτά.*
„ *Οἱ λοιποὶ κανόνες τῆς ὀρθῆς διαιρέσεως ταύταις ταῖς θέσεσι περιέχονται. Τὰ διαιρετικὰ*
„ *μέλη ἀλλήλοις μάχεσθαι, μὴ δὲ θάτερον ὀφείλει περιέχεσθαι ὑπὸ θάτερον. Οὗτος δὲ*
„ *ὁ Κανὼν παρὰ τινῶν λογικευομένων οὕτω προφέρεται. Τὰ διαιρετικὰ μέρη οὐδέποτε*
„ *συμπίπτειν ὀφείλουσι. Τὸν κανόνα τουτονὶ παραβαίη ἄν τις, πᾶν ἀγαθὸν εἰς τίμιον,*
„ *χρήσιμον καὶ ἡδὺ διανέμων. Τὰ γὰρ διαιρετικὰ μέρη οὐκ ἀλλήλοις ἀντίκειται, ἀλλὰ*
„ *συμπίπτει, καὶ κατ᾽ ἀλλήλων ἀγορεύεσθαι δύναται· πᾶν γὰρ τίμιον χρήσιμόν τε ἐστὶ*
„ *καὶ ἡδύ. Β. „ Ἡ διαίρεσις οὐδ᾽ ὁτιοῦν ἀσαφείας περιεχέτω, καὶ ἑπομένως οἱ ἄσημοι*
„ *ὅροι ἀποκλειέσθωσαν. Γʹ. Τοσαῦτα διαιρετικὰ μέρη γινέσθω, ὁπόσα ἡ τοῦ διαιρε-*
„ *μένου χορηγεῖ φύσις. Δ. Ἔνθεν τοι οὔτε δεισιδαιμόνως ἄγαν ἐμφύεσθαι χρὴ ταῖς*
„ *διχοτομίαις, ὥσπερ οἱ Ῥαμισταὶ, οὐδ᾽ ὁ τῶν διαιρετικῶν μερῶν ἀριθμὸς ἄγαν πολυ-*
„ *πλασιαστέος· ἡ αὐτὴ γὰρ, φησὶν ὁ Σένεκας, τῇ τε ὑπὲρ ἄγαν, καὶ τῇ οὐδεμίᾳ διαιρέ-*
„ *σει κακία ἐστίν. Ε. Ἡ διαίρεσις μὴ πηδάτω, ὅθεν φυλακτέον τὰ μάλιστα, μήποτε*
„ *τῶν ἀντιφατικῶς ἀντικειμένων τοῦ Θετικοῦ προβαλλομένου, ἐφεξῆς ἀντὶ τοῦ ἀποφατικοῦ*
„ *θετικὸς αὖθις ὅρος τεθῇ, οὐκ ἐντελῶς τῷ ἀποφατικῷ ἰσοδυναμῶν· τὸν κανόνα δὲ*

„ τούτου

,, *τοῦτον παραβαίνουσιν οἱ πᾶν ὂν ὡς ὑλικὸν διαιροῦντες καὶ πνεῦμα· ὤφελον γὰρ τῷ ὑλικῷ*
,, *ἀντιτιθέναι τὸ ἄϋλον, ἀλλ' ἀντὶ τοῦ Ἀποφατικοῦ ὅρου τὸν καταφατικὸν τοῦ πνεύ-*
,, *ματος ἀντικαθιστᾶσι, τῷ Ἀποφατικῷ τοῦ ἀΰλου ὅρῳ οὐκ ἐντελῶς ἰσοδυναμοῦντα.*
,, *Οὐ γὰρ ἐστὶ πνεῦμα πᾶν ἄϋλον, ὡς ἐν τῇ Μεταφυσικῇ πλατυτέρον ἀποδείκνυται.*
,, *Τῶν δὲ Κανόνων τούτων τοὺς λόγους ἀδικῶς ἐν τῇ ἀναπτύξει ἀριθμήσομεν.*

# ΚΕΦΑ'ΛΑΙΟΝ Ε'.

## ΠΕΡΙ'

## ΚΡΙ'ΣΕΩΝ ΚΑΙ' ΠΡΟΤΑ'ΣΕ

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΡΠΕ'.

Συντιθεὶς, ἢ διαιρῶν δύω τινὰς Ι'δέας ὁ ἡμέτερος νοῦς, κρίνειν
ἡ κρίσις ἦν ἀντὶ τῆς Β'. τοῦ νοὸς ἐνεργείας λαμβανομένη ἦδεν ἄλλο
σύνθεσις Ι'δεῶν, ἢ διαίρεσις, τὰς δὲ Ι'δέας ἀλλήλαις συζεύγνυμε
θατέρᾳ λογιζόμενοι τὴν ἑτέραν, ἀπ' ἀλλήλων δὲ χωρίζομεν, θ
ἑτέρᾳ μὴ ἀνήκειν, ἤτοι μάχεσθαι διανοοῦντες.

„ Διείληπται μέχρι τοῦ δε περὶ τῆς Α'. τοῦ νοὸς ἐνεργείας, τῆς ἁπλῆς δηλον
„ ψεως, ἤτοι τῆς γυμνῆς τῶν Ι'δεῶν διαμορφώσεως. Ε'πεὶ δ' οὐ μόνον
„ τοῖς τὰ πράγματα παριςῶμεν, ἀλλὰ καὶ τὰς διαμορφωθείσας Ι'δέας
„ μεν πρὸς ἀλλήλας, ὡς ἂν ἡμῖν δῆλον γένηται, εἴπερ δύω Ι'δέαι ἀνή
„ λαις, ἢ μή, καὶ ἐπὶ τούτοις τῆς ἀμφοῖν τῶν Ι'δεῶν ἀληθοῦς συναφείας
„ σης ἀλλήλαις ταύτας συζεύγνυμεν· ὁ τῆς τάξεως ἀπαιτεῖ λογος,
„ ταύτην τὴν σύζευξιν τῶν Ι'δεῶν, ἢ διάζευξιν.

### ΡΠϛ'.

Ι'να δ' ὁ τῆς κρίσεως Ο'ρισμὸς σαφέςερος γένηται, ἐκδηλώ
σομεν τουτὶ τὸ παράδειγμα, ὁ νοῦς παρ. χάρ. κρίνων, τὸν θεὸν
Α'. τὴν Ι'δέαν τοῦ Θεοῦ τῇ τοῦ ἀϊδίου συμπαραβάλλει, ὡς ἂν διο
αἱ δύω αὗται Ι'δέαι ἀνήκουσιν ἀλλήλαις, ἢ μή. Β'. τὴν οἰκειότητ

τῶν Ι'δεῶν διανοῶν, ἄμφω ταύτας ἀλλήλαις συζεύγνυσιν, ὅπως ἂν γνῷ τὸν Θεὸν εἶναι αΐδιον.

## ΡΠΖ'.

Η' κρίσις λόγοις ἐκφαινομένη, πρότασις ἢ ἀπόφανσις λέγεται, παρὰ δὲ τῷ Κικέρωνος, καὶ Ρ'άμυ καλεῖται ἀξίωμα.

## ΡΠΗ'.

Καταφάσκειν λεγόμεθα, θατέραν τῶν Ι'δεῶν ἀνήκειν τῇ ἑτέρᾳ σημαίνοντες, ἤτοι ἑτέραν τῇ θατέρᾳ ἀπιδιδόντες. Α'ποφάσκομεν δὲ θατέραν τῶν Ε'ννοιῶν τῇ ἑτέρᾳ μαχομένη δεικνῦντες, ἤτοι θατέραν τῆς ἑτέρας διαζευγνῦντες.

„ Παρ. χάρ. Σημαίνων τις, ὅτι ἡ τῦ ἀϊδίυ Ι'δέα ἀνήκει τῇ τῦ Θεῦ, τὸν Θεὸν καταφάσκει εἶναι αΐδιον, τὴν δὲ τῦ ἀϊδίυ ἰδέαν τῇ τῦ κόσμυ μαχομένην δεικνύων, ἀποφάσκει εἶναι τὸν κόσμον αΐδιον.

## ΡΠΘ'.

### Ε'ξ ὃ κατάδηλον γίνεται, πᾶσαν κρίσιν, ἢ Καταφατικὴν εἶναι ἢ Α'ποφατικήν.

Ε'πεὶ γὰρ πᾶσα κρίσις ἐν τῇ τῶν Ι'δεῶν συνθέσει, ἢ διαιρέσει συνίςαται (ΡΠΕ'.) διαιρῦμεν δὲ καὶ συντιθέαμεν τὰς Ι'δέας θατέραν τῇ ἑτέρᾳ ἀνήκειν, ἢ μή, λογιζόμενοι (ΡΠΗ'.)· ἑπόμενόν ἐςιν ἐν ἁπάσῃ κρίσει θατέραν Ε"ννοιαν τῇ ἑτέρᾳ ἀνήκειν, ἢ μή, λογίζεσθαι, καὶ ἐν τῷ πρώτῳ μὲν καταφάσκειν, ἐν δὲ τῷ Β'. ἀποφάσκειν (ΡΠΗ'.)· ἄρα πᾶσα κρίσις, ἢ καταφατική ἐςιν, ἢ ἀποφατική.

(ΡΥ'.)

## ΡΥ.

Ἐν ἁπάσῃ κρίσει ὀφείλει παρεῖναι τὸ καθ' ὃ καταφάσκεται, ἢ ἀποφάσκεταί τι, καὶ τὸ ὃ καταφάσκεται τούτου, ἢ ἀποφάσκεται.

*Δείκν.* Ἐπεὶ γὰρ ἐν πάσῃ κρίσει συζεύγνυμεν, ἢ διαζεύγνυμεν τὰς Ἰδέας (ΡΠΕ΄.)· συζευγνύειν δὲ τὰς Ἐννοίας λεγόμεθα, θατέραν τῇ ἑτέρᾳ ἀνήκειν διανοοῦντες (ΡΠΕ΄.), ταὐτὸν δ' εἰπεῖν, θατέραν τῇ ἑτέρᾳ παρέχοντες. Διαζεύγνυμεν δὲ τὰς Ἰδέας θατέραν τῇ ἑτέρᾳ μάχεσθαι διανοοῦντες, ἤτοι ὅπερ ἐστὶ ταὐτόν, θατέραν τῆς ἑτέρας ἀποκινοῦντες. Ἑπόμενόν ἐστιν ἐν ἁπάσῃ κρίσει ὀφείλειν τι παρεῖναι, ᾧπερ ἢ παρέχεταί τις Ἰδέα, ἢ τοῦ αὐτοῦ ἡ αὐτὴ ἀποκινεῖται. Ἄρα ἐν ἁπάσῃ κρίσει ὀφείλει τι παρεῖναι, καθ' ὅτι καταφάσκεται, ἢ ἀποφάσκεται. Ἔτι ἐπεὶ θάτερον ἑτέρῳ παρέχειν οὐ δύνασαι, ἢ τοῦ αὐτοῦ ἀποκινεῖν, εἰμή τι παρῇ, ὅπερ ἀποκινεῖς, ἢ παρέχεις, δῆλον καὶ ἐν ἁπάσῃ κρίσει ὀφείλειν τι παρεῖναι, ὃ καταφάσκοιτο, ἢ ἀποφάσκοιτο.

## ΡΥΑ΄.

Τὸ καθ' ὅτι καταφάσκεται, ἢ ἀποφάσκεται, ὑποκείμενον ἤκουσε, τὸ δὲ ὃ καταφάσκεται, ἢ ἀποφάσκεται κατηγορούμενον.

## ΡΥΒ΄.

Ὥστε σε ἤδη κατανοεῖν, ἐν ἁπάσῃ κρίσει ὀφείλειν παρεῖναι ὑποκείμενον καὶ κατηγορούμενον (ΡΥ΄.) (ΡΥΑ΄.), καὶ ὅτι πᾶσα πρότασις, ἤτοι ἀπόφανσις ἐστὶ κρίσις ῥήμασιν ἐκφερομένη (ΡΠΖ΄.), δῆλον καὶ ἐν ἁπάσῃ προτάσει ὑποκείμενον ζητεῖσθαι, καὶ κατηγορούμενον, ἤτοι ὅρον, δι' οὗ τὸ περὶ οὗ ἡ κρίσις ἐκφέροιτο, καὶ ὅρον δι' οὗ τι ἀνήκειν, ἢ μή, τῷ πράγματι διορίζοιτο.

„ Τὰ ὑποκέιμενα ϗ κατηγορέμενα τῶν προτάσεων, ϗ ἄκρα τῶν αὐτῶν λέγονται, ὅτι ἐν „ ἀρχῇ ϗ τέλει τιθέμενα τὰς προτάσεις ὁρίζεσιν.

## ΡΥΓ΄.

### Παρὰ τὸ ὑποκέιμενον καὶ κατηγορέμενον ἐν ἁπάσῃ προτάσει ὀφείλει παρεῖναι καὶ σύνδεσμος.

Δείκν. Ε᾽πεὶ γὰρ ἐν ἁπάσῃ ἀποφάνσει τὴν ἐμὴν κρίσιν σημαίνω (ΡΠΖ΄.) ἐν ἁπάσῃ δὲ κρίσει ἢ συζεύγνυνται Ε᾽´ννοιαι, ἢ διαζεύγνυνται (ΡΠΕ΄.) ἑπόμενόν ἐςιν ἐν ἁπάσῃ προτάσει φωνῆς τινὸς δεῖν, δι᾽ ἧς ἡ τῶν Ε᾽ννοιῶν συνάφεια, ἢ ἀλλοτρίωσις δείκνυται. Η῾ δὲ φωνὴ ἡ τὸ ὑποκείμενον τῷ κατηγορεμένῳ συζευγνῦσα, ἤτοι ἡ τὴν συνάφειαν τε ὑποκειμένε, καὶ κατηγορεμένε δεικνῦσα, σύνδεσμος λέγεται. Α᾽´ρα ἐπὶ πάσης προτάσεως παρὰ τὸ ὑποκείμενον καὶ κατηγορέμενον, ἀπαιτεῖται καὶ Σύνδεσμος.

„ Ο῾ δὲ Σύνδεσμος, ἤτοι ὁ ὅρος ὁ τὴν τε ὑποκειμένε, ϗ κατηγορεμένε δεικνὺς συνάφειαν ὑπάρχει ἡ φωνὴ, ἐςὶν· ἢ τινι, τὸ, ᾗ, προσκείμενον μόριον τὴν τῶν Ε᾽ννοιῶν διάζευξιν δεικνυσιν. Ο῾ δὲ ὅρος ἔτος, ἐςὶν, ἢ διαῤῥήδην ἐφ᾽ ὅτε τίθεται, „ ἢ γῆν ἐννοεῖται λανθάνων, κάκείνως μὲν ἀνεπτυγμένως, ἔτω δὲ συνεπτυγμένως τίθεσθαι λέγεται, οἷον, ὁ Θεός ἐςιν ἀΐδιος, ὁ σύνδεσμος ἀνεπτυγμένως ἐςίν. „ Εἰδ᾽ ἔτοις ὁ Θεὸς συντηρεῖ τὰ πάντα, λεληθότως ἐννοέμενον ἴσχεις τὸν σύνδεσμον· δύναται γὰρ ἡ πρότασις ἀναλύεσθαι, ὁ Θεὸς ἐςὶ συντηρῶν τὰ πάντα. „ Διαιρεῖται παρὰ τοῖς ἀρχαίοις ὁ Σύνδεσμος εἰς Σύνδεσμον δευτέρε προσκειμένε, ϗ „ εἰς Σύνδεσμον τρίτε προσκειμένε. Ο῾ μὲν ἐςὶν, ὅτε ὁ μεθ᾽ ἑαυτὸν ὅρος ἐδὲν κατηγορέμενον ἔσχηκε, μόνην δὲ σημαίνει τὴν τε πράγματος ὕπαρξιν, οἷον ὁ Θεός „ ἐςιν. Εἰδὲ μετὰ τὴν ἐςὶν φωνὴν ὑπάρχει κατηγορεμένον τὸ τῷ ὑποκειμένῳ συζευγνύμενον, τρίτε προσκειμένε ὁ Σύνδεσμος λέγεται. Παρ. Χάρ. ὁ Θεὸς ἐςὶν ἀΐδιος.

## ΡΥΔ΄.

Αἱ ἀναφανδὸν ἔχεσαι προτάσεις τὸ ὑποκείμενον, τὸ κατηγορέμενον, καὶ τὸν Σύνδεσμον, Λογικαὶ καὶ Τέλειαι λέγονται, Α᾽τελεῖς δὲ καὶ Κρυπτικαὶ, ἐν αἷς τὸ ὑποκείμενον, ἢ τὸ κατηγορέμενον, ἢ ὁ Σύνδεσμος λέληθεν.

„ Ε᾽ν-

„ *Ἐνταῦθα ἀνάγονται αἱ προτάσεις, ἐν αἷς ἓν καθ' ἑτέρου κατηγορεῖται, ἢ ἀποφάσκεται*
„ *καίτοι σωζομένης τῆς γραμματικῆς σημασίας τῶν λέξεων· καλοῦνται δὲ αὗται*
„ *μὴ Λογικαὶ· τοιαῦται εἰσὶ προτάσεις, αἱ Εὐκτικαί, αἱ Προςακτικαί, αἱ Δεικτικαί,*
„ *Ἐρωτηματικαί, Ἐκφωνητικαὶ κτλ.*

## ΡΥΕ'.

Τὰ ποικίλα τῶν προτάσεων εἴδη τῇ τριπλῇ ἐκείνῃ, καὶ γνωριμωτάτῃ ἐρωτήσει, τίς, ποία, πόση, ἀναπτύσσουσιν οἱ Φιλόσοφοι· τῇ ἐρωτήσει, τίς ἐςιν ἡ πρότασις; ἀποκριτέον εἶναι ἐντέλλονται, ὅτι ἐςὶν ἁπλῆ, ἢ σύνθετος· τῇ δὲ, ὁποία ἐςιν, ὅτι Καταφατικὴ ἢ Ἀποφατική· καὶ τέλος, τῇ πόση; ὅτι Καθόλου ἢ Μερική· περὶ ἑκάςης τούτων ἐν μέρει καὶ διακεκριμένως ἡμῖν ἔςαι ὁ λόγος.

## ΡΥς'.

Πρότασις Ἁπλῆ καὶ Κατηγορικὴ λεγομένη ἐςὶν, ἐν ᾗ τὸ κατηγορούμενον ἄνευ τινὸς ὑποθέσεως προσκειμένης κατὰ τοῦ ὑποκειμένου κατηγορεῖται.

„ *Παρ. χάρ.* Ἡ *πρότασις αὕτη, ὁ Θεὸς ἐςὶν ἀΐδιος. Πρότασις ἐςὶ Κατηγορική·*
„ *ἄνευ γὰρ ὑποθέσεως τινὸς τὸ ἀΐδιον κατὰ τοῦ Θεοῦ ἀγορεύεται. Ἁπλῆν ἔτι πρότα-*
„ *σιν καλοῦσι τὴν μόνῳ ὑποκειμένῳ καὶ κατηγορουμένῳ συνιςαμένην.*

## ΡΥΖ'.

Πρότασις Σύνθετος ἐςὶν, ἐν ᾗ πλείω ἅμα ὑποκείμενα, ἢ κατηγορούμενα χώραν ἔχουσι.

„ *Παρ. χάρ.* Ὁ *Θεὸς ἐςὶν ἀΐδιος καὶ παντοδύναμος· ἡ ἐλευθεριότης καὶ ἡ μετριότης εἰσὶν*
„ *ἀρεταί. Αἱ προτάσεις αὗται σύνθετοι εἰσὶν, ὅτι ἐν τῇ Α'. πλείω εἰσὶ κατηγορού-*
„ *μενα, ὥσπερ ἐν τῇ Β'. πλείω τὰ ὑποκείμενα. Ἐπὶ τὰς συνθέτους Προτάσεις ἀνάγου-*
„ *σι Α'. τὴν Ὑποθετικὴν, Β'. τὴν Διαζευκτικὴν, καὶ Γ'. τὴν Συνδυαςικήν· περὶ δ' ἑκά-*
„ *ςης τούτων κατὰ μέρος.*

## ΡΥΗ.

Πρότασις Ὑποθετικὴ ἐστίν, ἐν ᾗ τὸ κατηγορούμενον ἀπονέμεται τῷ ὑποκειμένῳ μετά τινος ὑποθέσεως.

„ Παρ. χάρ. εἰ ἐστὶν ὁ Θεὸς ὂν σοφώτατον, αἱρεῖται τὸ βέλτιστον. Πρότασις ἐστὶν Ὑποθετική. Περὶ δὲ τῆς Ὑποθετικῆς ταύτης προτάσεως δύω τούτους σημειωτέον κανόνας. Α΄. ἡ ὑπόθεσις οὐδὲν τίθησιν εἶναι, τουτέστι τὸ ὑποθετικῶς λεγόμενον, οὐκ ἄνευ χωρὶς τινὸς προσκειμένης ὑποθέσεως εἶναι ὑποληπτέον· παρ. χάρ. ὁ Κωνσταντῖνος ἐπιμελὴς ὤν, ἔσται σοφός. Ἐάν τις ἐκεῖθεν παραλειπομένης τῆς ὑποθέσεως ἐπιστέρη ὁ Κωνσταντῖνος ἔσται σοφός, κατὰ τοῦ κανόνος τουτουὶ ἁμαρτήσει. Β΄. Ἡ ἀδύνατος ὑπόθεσις δύναται τὴν ἀπόφασιν. παρ. χάρ. εἰ ποιήσειας τὸ χθὲς γενέσθαι σήμερον, τοῦ ἐμοῦ πλούτου κληρονόμον σε καταστήσω, τουτέστιν οὐ κληρονόμον σε καταστήσω.

„ Εὖ μάλα ὁ περίπυστος Βόλφιος οἴεται Λογικ. Λατιν. §. 228. Πάσας τὰς Κατηγορικὰς Προτάσεις σιωπῶσαν ὑπόθεσιν περιέχειν· ἐπεὶ γὰρ οὐδέν ἐστιν ἄνευ λόγου τοῦ ἀποχρῶντος (Γ΄.) ἀεὶ ὀφείλει, ἤτοι ἐν τῇ τοῦ ὑποκειμένου φύσει, ἢ ἐκτὸς τῆς αὐτῆς φύσεως, περιέχεσθαι λόγον, δι᾽ ὃν τὸ κατηγορούμενον ἐκείνῳ ἀνήκει, ἢ μή. Ὁ δὴ λόγος οὗτος δι᾽ ὃν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκει, ὑπόθεσις λέγεται, τὸ δὲ διὰ τὸν λόγον τοῦτον τῷ ὑποκειμένῳ ἀποδιδόμενον, θέσις ἀκούει. Ὅθεν ἁπάσῃ προτάσει τὴν ὑπόθεσιν καὶ θέσιν ἐνεῖναι ἀξιοῦσι τῶν Φιλοσόφων οἱ ἀκριβέστεροι. Ὅρα Ἐϊνεκίου Στοιχεῖα Λογικ. σελ. 39. παρ. χάρ. Ἐὰν εἴποις ὁ Θεὸς ἐστὶν ἀΐδιος, ἕξεις Πρότασιν κατηγορικὴν (ΡΥϚ΄.), ὁ δὲ λόγος ὀφείλει παρεῖναι, δι᾽ ὃν μᾶλλον ἂν λέγοις, ὁ Θεὸς ἐστὶν ἀΐδιος, ἤπερ ὁ Θεὸς οὐκ ἐστὶν ἀΐδιος.

## ΡΥΘ΄.

Πρότασις Διαζευκτική ἐστιν ἡ ἐκ πλειόνων κατηγορουμένων ἓν ἀποδοτέον εἶναι τῷ ὑποκειμένῳ καταφάσκουσα, οὐδ᾽ ὁτιοῦν δὲ τουτωνὶ διορίζουσα.

„ Ὁ Ὁρισμὸς οὗτος τοῦ περιπύστου Βολφίου ἐστὶν ἐν τῇ Λογικ. Λατιν. (§. 281.) σαφηνίσομεν δὲ τοῦτον τῷ ἐφεξῆς παραδείγματι. οἷον, ἐκείνου ἄντις, ἡ ψυχὴ ἐστὶν ἢ ἁπλοῦν Ὄν, ἢ σύνθετον· Θάτερον τούτων ἀποδοτέον εἶναι τῇ ψυχῇ καταφάσκει, ὁπότερον δὲ τούτων οὐ διορίζεται. Τὰ ἐν τῇ διαζευκτικῇ προτάσει ἀλλήλοις μαχόμενα, μέρη Διαιρετικὰ λέγεται· περὶ δὲ τουτωνὶ τῶν προτάσεων τὰς ἑπομένας κανόνας σημειωτέον. Α΄. Πλήρης εἶναι ὀφείλει ἡ τῶν διεζευγμένων μερῶν ἀπαρίθμησις· ὅθεν ψευδής ἐστιν ἡ ἑπομένη πρότασις. ἡ ἁμαρτία, ἢ κτιστόν ἐστιν, ἢ ἄκτιστον· δίδοται γὰρ ἔτι ὂν παρείσακτον. Β΄. Τὰ διεζευγμένα μέρη ἀντικεῖσθαι ἀλλήλοις ὀφείλει, ὥστε

„ συ-

„ συνυπάρχειν μὴ δύνασθαι. Ὅθεν δηλονὸς ἐςιν ἤδη ἡ πρότασις ἡ ἐνέργεια ἤτοι ἐςὶν
„ ἀσεβὴς, ἡ πρέπουσα.

## Σ΄.

Συνδυαςικὴ πρότασις ἐςὶν, ὅτε τὸ ὑποκείμενον καὶ κατηγορούμενον, ἤτω συμπλέκονται, ὥςε ἢ ἑκατέρῳ τῷ ὑποκειμένῳ ἐν μέρει ἐξεῖναι τὸ αὐτὸ κατηγορήμενον ἀποδίδοσθαι, ἢ τῷ αὐτῷ ὑποκειμένῳ ἕκαςα τὰ κατηγορήμενα.

„ Παρ. χάρ. ὁ Θεὸς ἐςὶν παντοδύναμος ϗ πάνσοφος.

## ΣΑ΄.

Τὰς προτάσεις διαμορφῶντες πολλάκις τὸν τρόπον διορίζομεν, καθ' ὃν τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκει, ἢ μή· ἐν αἷς δὲ τοῦτο προτάσεσι γίνεται τροπικαὶ καλοῦνται.

„ Οἱ δὲ τοιοῦτοι τρόποι τέσσαρες εἰσίν. Α΄. Ἀναγκαῖον. Β΄. Ἐνδεχόμενον. Γ΄. Δυνα-
„ τὸν, ϗ Δ΄. Ἀδύνατον. παρ. χάρ. ἀναγκαῖον ἐςὶ τὸν κόσμον, ἡλίου σελαγίζοντος
„ καταλάμπεσθαι· ἐνδέχεται τινὰς τῶν περὶ Φιλοσοφίαν ἐπτοημένων ἀθεισμῷ περι-
„ πίπτειν. Δυνατὸν ἐςὶ τὸν Ξάνθον ἀσθενεῖν· ἀδύνατόν ἐςι τὴν Θείαν Γραφὴν πλάνας
„ ἡμῖν παραδιδόναι.

## ΣΒ΄.

Αἱ προτάσεις ἔτι θεωρήμεναι σαφηνείας δέονται. Εἰσὶ δὲ προτάσεις σαφηνείας δεόμεναι, αἱ διὰ μόριά τινα δυσχέρειαν καὶ ποικιλότητα περιέχουσαι, ὥςε δι' ἄλλων τινῶν ἀναπτύξεως δεῖσθαι, εἴγε σαφεῖς ἔσεσθαι μέλλοιεν.

„ Ἐπὶ τὰς σαφηνείας δεομένας ἀνάγονται, Α΄. αἱ Ἀποκλειςικαὶ προτάσεις, Β΄. αἱ
„ ἐξαιρετικαὶ, Γ΄. αἱ συςαλτικαὶ, ϗ Δ΄. αἱ Συγκριτικαί.

ΣΓ΄.

## ΣΓ΄.

Πρότασις Ἀποκλειστική ἐστιν, ἐν ᾗ δυσχέρειαν καὶ πολλαπλασίαν ἔκληψιν τὰ ἀποκλειστικὰ ἐπιφέρουσι μόρια. Εἰσὶ δὲ μόρια ἀποκλειστικὰ μόνος, μοναδικὸς, μόνον, καὶ τὰ παραπλήσια.

„ Παρ. χάρ. *Μόνη ἡ πίστις δικαιοῖ.* Πρότασις ἐστὶν *Ἀποκλειστική*· *Ἀποκλειστικὴ* ἐστὶν ἢ „ ἐκκλειομένου τοῦ ὑποκειμένου, ἢ ἐκκλειομένου τοῦ κατηγορουμένου. *Ἡ* μὲν ἐστιν ὅτε τὸ „ *Ἀποκλειστικὸν* μόριον ἐπὶ τὸ ὑποκείμενον ἀναφέρεται. παρ. χάρ. μόνη ἡ πίστις δικαι- „ οῖ· ἡ δὲ ὅτε τὸ ἀποκλειστικὸν μόριον ἐπὶ τὸ κατηγορούμενον ἀναφέρεται. παρ. χάρ. „ ὁ *Λουκιανὸς* μόνον οἶδε τὸ διαβάλλειν, τουτέστιν οὐδὲν ἄλλο ἔμαθεν, εἰμὴ τὴν τέχνην „ τοῦ διαβάλλειν. *Περὶ τῶν Ἀποκλειστικῶν* τὸν κανόνα τοῦτον σημειοῦμεν, ἡ ἀποκλειστι- „ κὴ οὐκ ἐκκλείει πᾶν, ἀλλὰ μόνον τὰ ἀντικείμενα παρ. χάρ. ἐὰν εἴπωμεν μόνη ἡ πίστις „ δικαιοῖ, οὐκ ἐκλείομεν διὰ τοῦτο τὸ τοῦ *Χριστοῦ* εὐεργέτημα, ὥσπερ καὶ τὴν τοῦ Θεοῦ χάριν, „ ἀλλὰ μόνον τὰ καλὰ ἔργα, ταῦτα περὶ τῆς *Ἀποκλειστικῆς*.

## ΣΔ΄.

Πρότασις ἐξαιρετική ἐστιν, ἐν ᾗ τὰ ἐξαιρετικὰ μόρια δυσχέρειαν διὰ τὴν ποικίλην ἔκληψιν ἐπιφέρει.

„ *Εἰσὶ δὲ μόρια ἐξαιρετικὰ, παρὰ, πλὴν, χωρὶς*, παρ. χάρ. πᾶν ὂν παρὰ τὸν Θεὸν, ἐστὶν ἐνδε- „ χόμενον, πρότασις ἐστὶν ἐξαιρετική. *Ὅπως δὲ σαφηνίζονται, αἵτε ἀποκλειστικαὶ καὶ* „ *ἐξαιρετικαὶ ἐν τῇ ἀναπτύξει δηλωθήσεται.*

## ΣΕ΄.

Πρότασις Συσταλτική ἐστιν, ἐν ᾗ τὰ Συσταλτικὰ μόρια πολλαπλασίαν ἔκληψιν διὰ δυσχέρειαν ἐπιφέρει.

„ Εἰσὶ δὲ μόρια συσταλτικὰ, ἢ διοριστικὰ, καθ' ὅσον, ᾗ, κατὰ, ἐφ' ὅσον, ὅσον ἀνήκει πρὸς, „ μέχρις οὗ· π. χ. ὁ ἄνθρωπος κατὰ τὴν ψυχὴν ἐστὶν ἀδιάφθορος· αἱ Συσταλτικαὶ προτάσεις „ διακρίνονται εἰς προτάσεις εἰδοποιητικὰς, καὶ ἀναδιπλατικάς· περὶ ὧν ἐν τῇ ἀνα- „ πτύξει.

## Σϛ΄.

Πρότασις Συγκριτικὴ ἐστὶν, ἐν ᾗ μόριόν τι συγκριτικὸν τὴν τοῦ ὑποκειμένου καὶ κατηγορημένου πρὸς ἄλληλα σχέσιν ἀπεργάζεται.

„ *Μόρια δὲ συγκριτικὰ εἰσὶ, μᾶλλον, ἔλαττον, πλέον, μάλιστα· παρ. χάρ. ὁ Ἀθεϊσμὸς ἐστὶ μᾶλ-*
„ *λον ὀλέθριος, ἤτοι ὀλεθριώτερος, ἢ ἡ δεισιδαιμονία. Ἐν ἁπάσῃ δὲ προτάσει Συγ-*
„ *κριτικῇ τρία τινὰ ἀπαντῶσι. Α΄. Τὰ πρὸς ἄλληλα συγκρινόμενα πράγματα. Β΄.*
„ *Τὸ καθ᾽ ὃ συγκρίνονται, (ὃ τρίτον τῆς συγκρίσεως λέγουσι.) Γ΄. Ζητεῖται τὸ τρίτον*
„ *τῆς συγκρίσεως, τῷ μὲν τῶν συγκρινομένων κατ᾽ ἐλάσσονα, τῷ δὲ κατὰ μείζω*
„ *βαθμὸν ἀποδίδοσθαι· τὸ ᾧ περ τὸ τρίτον τῆς συγκρίσεως κατὰ μείζω βαθμὸν ἀπο-*
„ *δίδοται, ὃ μεῖζον συγκρινόμενον, τὸ δ᾽ ᾧ κατ᾽ ἐλάσσω, ἔλασσον συγκρινόμενον λέγε-*
„ *ται. Παρ. χάρ. ἐν τῇ προτάσει ταύτῃ ὁ Βόλφιος ἀκριβέστερον δείκνυσιν, ἢ Λειβ-*
„ *νίτζιος, συγκρινόμενα πράγματα εἰσὶ, Βόλφιος καὶ Λειβνίτιος. Τρίτον τῆς συγκρί-*
„ *σεως ἐστὶν ἡ ἀκριβὴς δεῖξις, ἤτοι ἡ ἐν τῷ δεικνύειν στερρότης, μεῖζον συγκρινόμενον*
„ *ἐστὶν Βόλφιος, ἔλασσον δὲ Λειβνίτζιος. Ὅπως δ᾽ ἂν αἱ συγκριτικαὶ προτάσεις ἐκ-*
„ *τίθεντο καὶ ὡσαύτως τίποτ᾽ ἂν ὦσι προτάσεις κυρίως καὶ μὴ κυρίως συγκριτικαὶ, διδά-*
„ *ξω πλατύτερον ἐν τῇ ἀναπτύξει. Πρὸς δὲ τὰς σαφηνείας δεομένας παρά τινων ἀνα-*
„ *φέρονται καὶ τῶν προτάσεων αἱ Ἀρκτικαί. Παρ. χάρ. ὁ Κωνσταντῖνος Ἄρχεται εἶναι*
„ *εὐσεβής· αἱ ἀποληκτικαί. παρ. χάρ. ὁ Θωμᾶς λήγει τοῦ εἶναι ἐπιμελής· αἱ ἐνδελεχεῖς*
„ *παρ. χάρ. ὁ Κάϊος ἐνδελεχίζει τὸ εἶναι ἐπιμελής· καὶ τέλος ὑποβλητικαί· ὁρίζονται*
„ *δὲ τὴν ὑποβλητικὴν πρότασιν οἱ λογικευόμενοι τοιαύτην εἶναι, ἐν ᾗ ἀντὶ τοῦ ὑποκει-*
„ *μένου Ἀντωνυμία ὑποβάλλεται δεικτικὴ εἰς δήλωσιν τινὸς ἐκ δύω πραγμάτων συνιστα-*
„ *μένου, ὧν περ τὸ Κύριον καὶ οὐκ ἀπαντῶν τῇ αἰσθήσει ἐν τῷ κατηγορημένῳ ἐκτίθεται,*
„ *Θάτερον δὲ τὸ καὶ προφανέστερον οὐκ ἐκφραστικοῖς ῥήμασι τίθεται, καὶ ὄχημα ὀνομάζεται,*
„ *οὕτω δειχθέντος μαρσυππίου χρημάτων ἀναπλήρους, δύναμαι λέγειν, τοῦτο ἐστὶ χρήμα-*
„ *τα, τοῦ κυρίως σημαινομένου, τῶν χρημάτων ὄντων, τοῦ δὲ μαρσυππίου ὀχήματος· τοι-*
„ *αύτη ἐστὶ πρότασις, καὶ ἡ τοῦ Ἰησοῦ, τοῦτο ἐστὶ τὸ σῶμά μου. Ταῦτα μέχρι τοῦδε περὶ*
„ *τῶν σαφηνείας δεομένων προτάσεων, ἃς δὴ οὐκ ἀπεικότως ἐπὶ τὰς συνθέτους ἀνα-*
„ *γάγοις, ἅτε δὴ μὴ μοναδικὰ τότε ὑποκείμενον καὶ κατηγορημένον ἐχούσας, ἀλλὰ*
„ *πλείους προτάσεις περιεχούσας, εἴγε ἀναλύσας ταῦτα ἐκθῇς.*

## ΣΖ΄.

Ἐπὶ τὴν τῶν προτάσεων ἤδη ποσότητα μεταβαίνομεν, καθ᾽ ἣν πᾶσα πρότασις, ἢ καταφατικὴ ἐστὶν, ἢ ἀποφατική.

## ΣΗ΄.

Πρότασις Καταφατική ἐςὶν, ἐν ᾗ τὸ κατηγορούμενον ἀποδίδοται τῷ ὑποκειμένῳ. Ἀποφατικὴ δὲ, ἐν ᾗ τὸ κατηγορούμενον χωρίζεται τοῦ ὑποκειμένου.

„ Τῆς Ἀποφατικῆς Προτάσεως, Ἀποφατικὸν ἐςὶ σημεῖον τὸ, οὐ, ὅπερ ποτὲ ὀφεῖλον ἐπὶ
„ τὸν σύνδεσμον ἀναφέρεσθαι· πολλάκις ἡ ἀπόφασις τῇ τῶν προτάσεων συνθέσει,
„ δύναται εἰσελθεῖν μὴ διατιθεῖσα τὸν σύνδεσμον. Ἔςι γὰρ εὑρεῖν ἐν οὐκ ὀλίγαις προ-
„ τάσεσιν, ὅσον μόνον τινὰ, ἢ τοῦ ὅρου μέρος, οὐ ἀμέσως τὸ, οὐ, προτίθεται, διατιθεῖ-
„ σαν τὴν ἄρνησιν. Ἐν ᾧ δὴ συμβάματι αἱ προτάσεις εἰσὶν ἀόριςοι. Παρ. χάρ.
„ Πρότασις Ἀόριςος ἐςὶν ἥδε, ὁ Ἀδὰμ ἐν τῇ ἐξ ἀρχῆς ςάσει ἐδύνατο μὴ θανεῖν·
„ ἡ δ' ἑπομένη ἐςὶν Ἀποφατικὴ, ὁ Ἀδὰμ ἐν τῇ ἐξ ἀρχῆς ςάσει οὐκ ἠδύνατο θανεῖν,
„ αὕτη μὲν ψευδὴς, ἡ δὲ Α. ἀληθής.

## ΣΘ΄.

Ἡ πρότασις τῷ λόγῳ τῆς ποσότητος, ἢ καθόλου ἐςὶν, ἢ μερική. Καθόλου ἐςὶν, ἐὰν ἡ ὑπόθεσις, καθ' ἣν τὸ κατηγορούμενον λέγεται κατὰ τοῦ ὑποκειμένου ἐν τῇ τοῦ ὑποκειμένου τυγχάνει φύσει. Ὁ δὲ Βόλφιος τὴν καθόλου πρότασιν οὕτως ὡρίσατο, ἐν ᾗ τὸ μὲν ὑποκείμενον ὅρος ἐςὶ κοινὸς, εἶδος ἀμέλει ἢ γένος· Τὸ δὲ κατηγορούμενον πᾶσιν ἀνήκει τοῖς τοῦ εἴδους ἀτόμοις, ἢ πᾶσι τοῖς τοῦ γένους εἴδεσι καὶ τοῖς τούτων Ἀτόμοις.

„ Παρ. χάρ. ὁ Ἄνθρωπός ἐςί Λογικὸς, πρότασις ἐςὶ καθόλου· ὁ γὰρ λόγος ἤτοι ἡ
„ ὑπόθεσις, καθ' ἣν τὸ Λογικὸν κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται ἐν τῇ φύσει, καὶ
„ τῷ ὁρισμῷ τοῦ ἀνθρώπου τυγχάνει. Ἐν τῇ προτάσει ταύτῃ τὸ ὑποκείμενον καθόλου,
„ ὅρος ἐςὶν, εἶδος δηλαδή. Καὶ τὸ κατηγορούμενον τοιοῦτον ἐςὶν, ὥσθ' ἅπασι τοῖς
„ ἀτόμοις τοῖς περιεχομένοις ὑπὸ τὸ εἶδος ἐφαρμόττειν δύνασθαι.

## ΣΙ΄.

Σημεῖον καθολικότητος ἐν τῇ καταφατικῇ προτάσει ἐςὶν ἡ φωνὴ, πᾶς, ἐν δὲ τῇ Ἀποφατικῇ ἡ, οὐδείς.

...ΘΗΚΗ ΤΗΣ ΒΟΥΛΗΣ ΤΩΝ Ε...

ΣΙΑ΄.

## ΣΙΑ΄.

Η' καθόλȣ πρότασις σημεῖον καθολικότητος ἑαυτῇ προσκείμενον ἔχȣσα, πρότασις λέγεται καθόλȣ ὡρισμένη, ἄνευ δὲ τȣ̃ τῆς καθολικότητος σημείȣ τυγχάνȣσα, πρότασις ἀκȣ́ει Καθόλȣ Α'όριςος.

„ Παρ. χάρ. Η', πᾶς ἄνθρωπός ἐςι θνητὸς, πρότασις καθ᾽ ὅλȣ ὡρισμένη ἐςὶν, καταφανȣ̃ς ὄντος τȣ̃ σημείȣ τῆς καθολικότητος. Εἰδ᾽ ȣ̃τοις, ὁ ἄνθρωπός ἐςιν λογικός·
„ Η' πρότασις αὕτη καθόλȣ ἐςὶν, ἀλλ᾽ Α'όριςος.

## ΣΙΒ΄.

Ε'ντεῦθεν καταφανὲς τὴν καθολικότητα τῆς προτάσεως ȣ̓κ ὀρθῶς γινώσκεσθαι ἐκ τȣ̃ προτιθεμένȣ σημείȣ τῆς Καθολικοτητος.

Δείκν. Διδομένης γὰρ καθόλȣ Α'ορίςȣ προτάσεως (ΣΙΑ΄.) κἂν τῇ Α'ορίςῳ ταύτῃ καθόλȣ προτάσει ȣ̓δενὸς σημείȣ καθολικότητος φαινομένȣ (ἐγγύτ:) πρόδηλον, ὅτι ȣ̓ τὸ τῆς καθολικότητος σημεῖον ἀποτελεῖ τὴν καθόλȣ πρότασιν.

„ Λάβωμεν, παρ. χάρ. ταύτην τὴν πρότασιν, πᾶς ἄνθρωπός ἐςι σοφός. Ο'ρᾶς ȣ̃ν
„ ταύτης τῆς καθολικότητος σημεῖον προκείμενον, ȣ̓ μέντοιγε καθόλȣ ἐςὶν· ὥσθ᾽
„ ȣ̃τω παρὰ τοῖς χολαςικοῖς ȣ̓ πάνυ τοι ὀρθῶς εἰρῆσθαι τὴν πρότασιν, ἧς τινος τȣ̃
„ ὑποκειμένȣ τὸ σημεῖον τῆς καθολικότητος πρόκειται. Α'νάγκη κριτήριον ἕτερον ἐπιλέξασθαι, ἐξ ȣ̃ διακρίνοιτο ἡ τῆς προτάσεως καθολικότης, ἢ μερικότης· καὶ τȣ̃το ἐκ
„ τῆς τȣ̃ ὑποκειμένȣ φύσεως ὀφείλει λαμβάνεσθαι.

## ΣΙΓ΄.

Ε'κ τȣ́των ἔτι δηλȣ̃ται ὀρθῶς παρὰ τοῖς Φιλοσόφοις, λέγεσθαι τὰς Α'ορίςȣς προτάσεις ἐν τῷ κοινῷ λόγῳ ἰσοδυναμεῖν ταῖς καθόλȣ.

„ Ἐὰν, παρ. χάρ. ἦσαν τις Ἀορίςας οἱ μυσικοὶ ἀσὶ μέθυσοι· ἢ οἱ Γάλλοι ἀσὶ μοι-
„ χοὶ, ἐθ' οἱ μυσικοὶ, ἐθ' οἱ Γάλλοι τὰς Ἀορίςυς ταύτας προτάσυς ἐνέγκοιεν,
„ ῥᾶον ἀποδεξόμενοι ταύτας ἀντὶ μερικῶν νουμένας· μέχρι τῦδε περὶ τῆς καθόλυ
„ προτάσεως.

## ΣΙΔ΄.

Τῇ καθόλυ προτάσει ἡ Μερικὴ ἀντίκειται. Ἔςι δὲ πρότασις Μερικὴ, ἐν ᾗ ὑποκείμενον ἐςὶ κοινὸς ὅρος, γένος ἀμέλει ἢ εἶδος· τὸ δὲ κατηγορήμενον ὐκ ἀνήκει, εἰμὴ τισὶ τῦ γένυς, ἢ τῦ εἴδυς ἀτόμοις· γνώρισμα τῆς μερικότητος ἐςὶν ἡ φωνὴ, τίς.

„ Παρ. χάρ. Τὶς ἄνθρωπός ἐςιν εὐσεβής. Ἐνταῦθα, ὡς ὁρᾶς, ὑποκείμενόν ἐςιν ὅρος κοι-
„ νὸς δηλ. εἶδος· κατηγορήμενον δὲ τοιῦτον, ὥςε μὴ πᾶσιν ἀνήκει τοῖς ὑπὸ τὸ εἶδος
„ περιοχομένοις ἀτόμοις.

## ΣΙΕ΄.

Τῦ τῆς Μερικῆς προτάσεως ὑποκειμένυ, ὅτε μὲν τὸ σημεῖον τῆς Μερικότητος πρόκειται, ὅτε δὲ παραλείπεται· ἐκείνως μὲν ἡ πρότασις ἐςὶν Μερική τε καὶ Ὡρισμένη, ὕτω δὲ Μερικὴ καὶ Ἀόριςος.

## ΣΙϚ΄.

Ὅθ' ὕτω κατανοεῖσθαι ἐντεῦθεν·

Α΄. Τὸ σημεῖον τῆς μερικότητος ὐκ ἀνήκειν τῇ φύσει καὶ ὀντότητι τῆς μερικῆς προτάσεως γενικῶς νουμένης, ἀλλὰ μόνον τῆς ὡρισμένης (σιέ.)

Β΄. Οὐκ εἶναι πάντως τὴν πρότασιν μερικὴν, καὶ τῦ προκειμένυ τῦ σημείυ τῆς μερικότητος.

„ Τὰ μάλιςα συμβάλλεται, τὰς μερικὰς προτάσεις ἐν ταῖς ἐπιςήμαις ὡς καθόλυ μετα-
„ μορφῦσθαι. Τῦτο δὲ τῷ ἑπομένῳ λόγῳ γενέσθαι δύναται. Προτάσεως μερικῆς προ-
„ κειμένης, ἐπὶ τῇ ὑποθέσει, ἤτοι τῷ διορισμῷ προσέχειν χρεὼν, καθ' ὃν τὸ κα-
„ τηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκει, ἢ τὸν διορισμὸν τῦτον προσιθέναι. Τότε γὰρ

„ τὸ

„ τὸ κατηγορήμενον πᾶσι τοῖς ὑποκειμένοις ἐφαρμοσθήσεται, τοῖς ὑπὸ ταῖς αὐταῖς „ περιςάσεσι ϗ τοῖς αὐτοῖς ὅσι διορισμοῖς. *Παρ. χάρ.* ἡ πρότασις αὕτη, τὶς ἄν-„ θρωπός ἐςι φιλόσοφος, πρότασις ἐςὶ μερική. Τὴν πρότασιν ἣν ταύτην εἰς καθόλε „ μετενεγκεῖν βελομένῳ, ἐπιζητητέον τὸν λόγον, καθ' ὃν τετὶ τὸ Κατηγορέμενον „ ἀνθρώποις τισὶν ἀνήκει. Εὑρήσεις ἂν, ὅτι τῶν ἀνθρώπων τινὲς ἐν ἕξει εἰσὶ τε διο-„ ρᾶν τὰς τῶν πραγμάτων λόγες, ϗ δεικνύειν τὰ αὐτοῖς καθομολογέμενα. Ἐντεῦθεν „ ἤδη καθόλε ἀποτελεσθήσεται πρότασις, προςιθεμένε τε διορισμε ϗ τῆς ὑποθέσεως. „ Πᾶς ἄνθρωπος ὁ ἐν ἕξει ὢν τε ἀνιχνεύειν τὰς τῶν πραγμάτων λόγες, ϗ δεικνύειν „ τὰ αὐτῷ καθομολογέμενα, ἐςὶ Φιλόσοφος. Ἀπὸ τῆς θεωρίας ταύτης ἡ τῶν προ-„ τάσεων ἀνάλυσις ἤρτηται, ἀνάλυσις ὅσα εἰς θέσιν ϗ ὑπόθεσιν. Περὶ ταύτης ϗ „ τῆς αὐτῆς χρήσεως μάλιςα ἐπισήμε ὅσης διὰ πλειόνων ἐν τῇ ἀναπτύξει ἔςαι ὁ „ λόγος.

## ΣΙΖ΄.

*Πρότασις καθ' ἕκαςα ἐςὶν, ἧς τινος τὸ ὑποκείμενόν ἐςιν ἄτομον, ἤτοι ὅρος καθ' ἕκαςα.*

„ *Παρ. χαρ.* Ὁ Καΐος ἐςι πεπαιδευμένος. Ὁ Ἰωσὴφ ἐςὶ σώφρων· προτάσεις εἰσὶ καθ' „ ἕκαςα.

## ΣΙΗ΄.

*Ἐξ ἁπάντων τέτων ὁρᾷς, πάσας προτάσεις εἶναι ἢ καθόλε καταφατικὰς, ἢ καθόλε ἀποφατικὰς, ἢ ἔτι μερικὰς καταφατικὰς, ἢ μερικὰς ἀποφατικάς.*

„ Τὴν διαφορὰν τετωνὶ τῶν προτάσεων οἱ σχολαςικοὶ διὰ τῶν τεσσάρων τετωνὶ φωνηέν-„ των δεικνύεσιν A. E. I. O. ὧν τὸ A. τὴν καθ' ὅλε σημαίνει καταφατικήν. Τὸ E. „ τὴν καθ' ὅλε ἀποφατικὴν, τὸ I. τὴν μερικὴν καταφατικὴν, ϗ τὸ O. τὴν μερικὴν „ ἀποφατικήν.

## ΣΙΘ΄.

*Ἐπὶ τὴν τῶν προτάσεων μεταβαίνομεν ἤδη διαφορὰν, τὴν κατὰ τὸ ὑποκείμενον, καὶ τὴν ἐνάργειαν τέτων.* Κατὰ μὲν τὸ ὑποκείμενον, ἤτοι τὸ

πρᾶγμα τὸ περιεχόμενον τῇ προτάσει, πᾶσα πρότασις εἰς Θεωρητικὴν διαιρεῖται καὶ πρακτικήν. Κατὰ δὲ τὴν ἐνάργειαν, ἤτοι τὴν τῆς Κατηγορίας σαφήνειαν, πᾶσα πρότασίς ἐςιν ἀποδεικτικὴ, ἢ ἀναπόδεικτος· περὶ ὧν ἐκτάσεως ἔςαι λόγος ἐν μέρει.

„ Ἐνταῦθα κάλλιον αἱ προτάσεις ὁμιλοῦσιν ἐν τοῖς μάλιςα ἐκτεθῆναι, ὅσας ἐν τοῖς μαθη-
„ ματικοῖς συγγράμμασιν οἴδαμεν ἁπάσας, ἃς περ ἐκεῖνοι ἰδίοις ὀνόμασιν ἐν τῇ
„ οἰκείᾳ μεθόδῳ ἀλλήλων διέκρινον.

## ΣΚ΄.

Πρότασις Θεωρητικὴ λέγεται, ἐν ᾗ τὸ ἐνὸν τῷ ὑποκειμένῳ κατὰ τὸ αὐτὸ καταφάσκεται, ἢ ἀποφάσκεται. Πρότασις δὲ Πρακτική ἐςὶν, ἐν ᾗ δύνασθαι γενέσθαι τι καταφάσκεται, ἢ γενέσθαι ὀφείλειν ἀπαιτεῖται.

„ *Παρ. χάρ.* Ὁ ἄνθρωπός ἐςι Λογικὸς, ὁ Θεός ἐςιν ἀΐδιος, προτάσεις εἰσὶ Θεωρητικαί.
„ ἡ δὲ πρότασις αὕτη, ὁ ἔξιν ἑαυτῷ βουλόμενος προσπορίσασθαι, συνεχέςερον ὀφείλει
„ τὰς αὐτὰς ἐνεργείας ἀναλαμβάνειν. Πρότασις ἐςὶ Πρακτική.

## ΣΚΑ΄.

Πρότασις ἀναπόδεικτος λέγεται, ἐν ᾗ ἡ συνάφεια τοῦ ὑποκειμένου, καὶ κατηγορουμένου, τῶν ὅρων ἐννοηθέντων, παραυτίκα δηλοῦται· ἐν δὲ τῷ ἐναντίῳ συμβάματι ἡ πρότασις λέγεται ἀποδεικτὴ, εἴτ᾽ οὖν ἀποδεικτική.

„ *Παρ. χάρ.* Ἡ, οὐκ ἐνδέχεται γενέσθαι ἐν τῷ αὐτῷ χρόνῳ εἶναί τι καὶ μὴ εἶναι, πρότα-
„ σις ἐςὶν ἀναπόδεικτος, παραχρῆμα οὖσα διὰ τῶν ὅρων σαφής. Αὕτη δὲ, ἡ Ψυχή ἐςι
„ ἀθάνατος, πρότασίς ἐςιν ἀποδεικτὴ, εἴτ᾽ οὖν ἀποδεικτικὴ οὐκ ἐκ τῶν ὅρων τὴν
„ συνάφειαν ἔχουσα, καὶ ἐν τῇ Λογικῇ Ψυχολογίᾳ ἐκ πολλῶν ἄλλων προτάσεων
„ ἀποδείκνυται.

## ΣΚΒ΄.

Η ἀναπόδεικτος θεωρητικὴ πρότασις καλεῖται ἀξίωμα.

„ Παρ. χάρ. Αὗται αἱ προτάσεις τὸ ὅλον μεῖζον τῦ οἰκεῖυ μέρυς· ϗ ἀδύνατον τὸ αὐτὸ „ ἅμα εἶναι ϗ μὴ εἶναι, εἰσὶν ἀξιώματα. Οἱ πάλαι τὰς θρυλλυμένας τῶν Μεταφυσι- „ κῶν κανόνας ἐκάλυν ϗ ἀξιώματα, ὡς τὰ πολλὰ εἰσὶ προτάσεις ἐννοίας πλανωμένης „ ϗ ἀορίςυ, ϗ πολλαῖς ἔτι ἐξαιρέσεσιν ὑποκείμεναι, ὐκ ὀρθῶς ἐκείνας ἀξιώματα λέ- „ γεσθαι ςερρᾶ ϗ κυρία ἐκλήψει ἐν τῇ ἀναπτύξει ἀποδεῖξω. Τὸ γὰρ ἀξίωμα, ὡς ἡ „ φωνὴ καταγγέλει τοιαύτην δηλυσι πρότασιν, ᾗ τινι κῦρός τι ἐν τῷ κατελέγχειν πα- „ ρομαρτεῖ, ϗ διὰ τὴν ἑαυτῆς ἀξίαν ϗ ἐσωτερικὴν ἐνέργειαν τὴν συγκατάθεσιν ἐκβιά- „ ζεται, ὥςε ἀλλαχόθεν ἐπικυριῶν τὴν συγκατάθεσιν ἐξαρπαζόντων, ὐδ᾽ ὅλως τυτί „ γε δεῖν. Ὅρα τὸν Ἄγεν περὶ Μεθόδυ Μαθηματικῆς σελ. 130. ϗ τὴν τῦ Βυλ „ φιγγέρυ Διάλεξιν περὶ φιλοσοφικῶν ἀξιωμάτων. Ἐπὶ τὰ ἀξιώματα ἀνάγυσιν οἱ „ Νεώτεροι·

„ Α΄. Πᾶσαν πρότασιν ἐξ ὁρισμῦ μοναδικῦ ἀμέσως παράγεσθαι δυναμένην. Οὕτω γὰρ „ ὁ Βόλφιος ἐν τῷ βραχεῖ ὑπομνήματι περὶ Μεθόδυ Μαθηματικῆς §. 30. ὁτιδηπο- „ τῦν ἐκ τῆς διανοήσεως τῶν ἐν ἑνὶ Ὁρισμῷ περιεχομένων ἀμέσως παράγεται, κα- „ λῦμεν ἀξίωμα, ὅπερ ἀνήκειν τι, ἢ μὴ τῷ πράγματι ἀποφαίνεται. Λάβε μοι παρ. „ χάρ. ταύτην τὴν πρότασιν. Τὸ Πνεῦμά ἐςιν ὐσία νοητικὴ ϗ θελητική. Ἐὰν νῦν „ ἐκ τῦ μοναδικῦ τυτυὶ τὰς προτάσεις ταύτας παραγάγῃς ἀμέσως, τὸ Πνεῦμα ἐςὶν „ ὐσία, τὸ Πνεῦμα ἐςὶ νοητικὸν, τὸ Πνεῦμα ἐςὶ θελητικόν· ὁτιδηποτῦν ὐκ ἔςιν „ νοητικὸν ϗ θελητικὸν ἐκεῖνο ὐκ ἔςι Πνεῦμα· καλῦνται δὴ αἱ προτάσεις αὗται ἀξιώ- „ ματα.

„ Β΄. Ἐπὶ τὰ ἀξιώματα ἀνάγονται ϗ αἱ ταυτολογῦσαι προτάσεις, ἐν αἷς τὸ αὐτὸ κατὰ „ τὴν φωνὴν ϗ τὴν Ἔννοιαν κατ᾽ αὐτῦ καταφάσκεται· παρ. χάρ. ὁ ἄνθρωπός ἐςιν ἄν- „ θρωπος· ὡσαύτως τὸ ἔχον μέρη ἔχει πλῆθος μερῶν.

„ Γ΄. Ἐπεὶ δὲ οἱ Ὁρισμοὶ πάντες εἰσὶ προτάσεις ταυτολογῦσαι (ΡΜϛ΄.) δῆλον, ὅτι αἱ „ προτάσεις, ἐν αἷς ὁ Ὁρισμὸς κατὰ τῦ Ὁριςῦ, ἢ ἀνάπαλιν κατηγορεῖται κατὰ τῦ „ Ὁρισμῦ τὸ Ὁριςόν, ὀρθῶς ἀνάγονται εἰς τὰ ἀξιώματα. Παρ. χάρ. ὁ, τιδηποτῦν „ ἐςὶ Πνεῦμα, ὀφείλει εἶναι ὐσία νοητικὴ ϗ θελητική· ϗ ὁ, τιδηποτῦν ἐςὶν ὐσία νοητι- „ κὴ ϗ θελητική, ὀρθῶς ἀνάγεται εἰς τὰ πνεύματα.

## ΣΚΓ΄.

Αἴτημα λέγεται πρότασις πρακτικὴ ἀναπόδεικτος· ἢ πρότασις πρακτικὴ ἀμέσως ἐξ ἑνὸς ὁρισμῦ νοϩμένη καὶ παραγομένη.

„ Παρ.

„ Παρ. χάρ. Ὁριζομένης τῆς εὐδαιμονίας, καταςάσεως μονίμε χαρᾶς, ἐὰν ἐκ τῦ μονα-
„ δικῦ τύτυ ὁρισμῦ τὰς πρακτικὰς ταύτας θέσεις παραγάγης, ὁ θέλων εὐδαιμονίας
„ ἐπιτυχεῖν, ὀφείλει ἐν καταςάσει μονίμε χαρᾶς διάγειν. Ὡσαύτως, ὁ ἄνθρωπος εὐ-
„ δαίμων καθίςαται διὰ τῦ χαρὰν αὐτῷ μόνιμον προμνηςεύοντος, αἱ προτάσεις αὗται αἰτή-
„ ματα ἔσονται.

## ΣΚΔ΄.

Θεώρημα καλεῖται πρότασις θεωρητικὴ ἀποδεικτὴ εἴτ᾽ ὂν ἀποδεικτι-κή· ἢ Θεώρημά ἐςι πρότασις θεωρητικὴ ἐκ πλειόνων ὁρισμῶν συμφερομένων ἀλλήλοις ἐξαγομένη.

„ Παρ. χάρ. Ἡ πρότασις αὕτη, τὸ ἁπλῦν ὂν ἀμοιρεῖ μεγέθυς, Θεώρημα ἐ-
„ ςίν. Ὀφείλει γὰρ ἀποδειχθῆναι ἐκ τῦ ὁρισμῦ τῦ ἁπλῦ ὄντος, ϗ τῦ μεγέθυς·
„ ἐπὶ παντὸς θεωρήματος δυσὶ τύτοις προσεκτέον ἐςὶ τῇ θέσει δηλαδή, ἤτοι τῇ προ-
„ τάσει τῇ ἀνήκειν τι, ἢ μὴ ἀποφαινομένῃ τῷ πράγματι, ϗ τῇ τῆς θέσεως ἐμπεδώσει,
„ ἥτις τὴν συνάφειαν, ἢ μάχην διά τινων μεσολαβυσῶν ἰδεῶν σαφῶς τε ϗ ἐναργῶς ἐκ-
„ φαίνει· ἡ δ᾽ ἐμπέδωσις ὡς τὰ πολλὰ τετοισὶ τοῖς γράμμασι συμπεραίνεται. Ο. Ε.
„ Δ. τυτέςιν, ὅπερ ἔδει δεῖξαι.

## ΣΚΕ΄.

Πρόβλημα λέγεται πρότασις πρακτικὴ ἀποδεικτή, ἢ πρότασις ἐκ πολλῶν ὁρισμῶν παραγομένη.

Παρ. χάρ. Ἡ θέλησις διορθωτέα ἐςὶ διὰ τῆς τῶν προλήψεων ἐξαλεί-ψεως. Ἡ πρότασις αὕτη ἀποδείξεως δεῖται, καὶ πρακτικῦ κανόνος εἶδος ἐςίν.

Ἡ φωνὴ τῦ προβλήματος διπλῇ μάλιςα ἐννοίᾳ λαμβάνεται.

Α΄. Ἀντὶ ἐρωτήσεως, ἐν ᾗ ἐργασία τις περιέχεται πρακτέα. Εἰ δὲ ὁ τῆς προαχθησομένης ἐργασίας τρόπος ἀναδεικνύοιτο, ὁ δεικνύμενος ὗτος τρό-πος λύσις τῦ προβλήματος λέγεται.

„ Παρ. χάρ. Πῶς διορθῦται ἡ τῦ ἀνθρώπυ θέλησις; τῇ ἐννοίᾳ ταύτῃ, Πρόβλημα τῦτο
„ ἐςί. Λύσις δὲ τύτυ ἡ ἑπομένη. Ἐὰν ἐν τῇ διανοίᾳ ζῶσα καὶ διακεκριμένη τῦ καλῦ
„ καὶ τῦ κακῦ παράςασις διεγείρηται, ὐδ᾽ ὅ,τιῦν ἕτερον ἐπιθυμήσει ἡ θέλησις, εἰ μὴ
„ τὸ ἀληθὲς ἀγαθόν, ϗ ὐδὲν ἄλλο φεύξεται, εἰ μὴ τὸ ἀληθὲς κακόν, κἀντεῦθεν πάντως
„ γε διορθῦται.

Β΄.

Β΄. Η῾ τοῦ προβλήματος φωνὴ τήν τε πρότασιν καὶ τὴν ἀμφίβολον σημαίνει ζήτησιν, περὶ ἧς καθ᾽ ἑκάτερα τὰ μέρη διαλέγεσθαι ἔξεσι. Παρ. χάρ. μὴ ἡ ψυχὴ παρὰ τῶν γονέων παράγεται;

## ΣΚϚ΄.

Πορίσματα τὰ καὶ ἐπιφοραὶ δυνάμενα λέγεσθαι, εἰσὶ προτάσεις ἄνευ πολλῆς διανοημάτων περιπλοκῆς ἐξ ὁρισμῶν, ἢ προτάσεων ἑτέρων ἐπιφερόμεναι.

„ *Παρ. χάρ.* Ε᾽ὰν τεθῇ τουτὶ τὸ θεώρημα τὰ πάθη τὴν προσοχὴν ἐκταράττει, κἂν τούτῳ παραγάγοις ταύτην τὴν πρότασιν, ἄρα καὶ ἡ ὀργὴ ταράττει τὴν προσοχήν· ἡ ἐσχάτη αὕτη πρότασις, πόρισμα λέγεται.

## ΣΚΖ΄.

Ε᾽κάςῳ γένει τουτωνὶ τῶν προτάσεων φιλεῖ προςίθεσθαι σχόλια διασαφοῦντα τὰ μηδέπω σαφῆ δυνάμενα φαίνεσθαι.

„ *Α᾽νάγονται* τοίνυν ἐπὶ τὰ σχόλια πᾶσαι αἱ ὑποσημειώσεις, δι᾽ ὧν ἡ τῆς ἀποδειχθείσης „ προτάσεως χρῆσις, ἡ Ι῾ςορία οὐδὲν ἧττον ϗ ὁ λόγος, καθ᾽ ὃν ὁ συγγραφεὺς ταύτην τὴν πρότασιν, ἢ ἐκείνην διέλαβεν ἀναπτύσσονται. Ε᾽ὰν παρ. χάρ. τὴν ἀρχὴν τῶν ἀδιακρίτων ἀναπτύξῃς, ϗ ἀποδείξῃς, ϗ ἐν ὑποσημειώσει τινὶ προσκειμένῃ, ἢ τὸν πρῶτον τῆς ἀρχῆς ταύτης εὑρετήν, ἢ τὴν ταύτης χρῆσιν, ἢ τὰς ἀντιςάσεις τινῶν κατ᾽ αὐτῆς, ἢ ἄλλα τινὰ τὴν ἀρχὴν ταύτην διασαφοῦντα ἐπενέγκῃς, τότε δὴ πᾶσα ἡ ὑποσημείωσις, ἐν ᾗ ἐπάγονται τὰ εἰς διασάφησιν τῆς ἀρχῆς τῶν ἀδιακρίτων ἀνήκοντα, λεχθήσεται σχόλιον.

## ΣΚΗ΄.

Λήμματα λέγονται, προτάσεις ἀφ᾽ ἑτέρας ἐπιςήμης λαμβανόμεναι, καὶ εἰς ἐπικουρίαν προταγόμεναι εἰς ἐκπλήρωσιν δείξεως προτάσεως τινὸς ἐν τῇ ἐπιςήμῃ, ἣν μετερχόμεθα.

„ *Παρ. χάρ* Ε᾽ὰν τῇ ἠθικῇ Φιλοσοφίᾳ πρόσκειταί σοι εἰς δεῖξιν τουτὶ τὸ θεώρημα: πᾶσαι αἱ ἀγαθαὶ, ἢ κακαὶ ἐνέργειαι ἐσωτερικῶς καὶ κατὰ τὴν ἑαυτῶν φύσιν, ἀγαθαί εἰσιν, ἢ κακαί· καὶ τῇ τούτου δείξει ἐπικουρῆσαι λάβῃς τὴν *Μεταφυσικὴν* ταύτην

„ πρό-

„ πρότασιν, αἱ ὀντότητες τῶν πραγμάτων ἐσὶν ἀναγκαῖαι, τότε δὴ ἡ πρότασις αὕτη
„ Λῆμμα, ἐνθήσεται.

## ΣΚΘ΄.

Μέχρι τῦδε διαλαβῦσι περὶ τῆς τῶν προτάσεων διαφορᾶς· ἑπόμενον δ᾽ ἐςὶ προσθεῖναί τινα περὶ τῶν παθῶν, ἢ διαθέσεων τῶν προτάσεων, περὶ ὧν οἱ σχολαςικοὶ πλεῖςα ἐπιπόνως μᾶλλον, ἢ λυσιτελῶς ἐκδιδάσκυσι· ταῖς τῶν προτάσεων διαθέσεσιν ἀνήκυσι. Α΄. ἡ Ἀντίθεσις, Β΄. ἡ Ὑπαλληλία. Γ΄. ἡ Ἀντιςροφὴ, καὶ Δ΄. ἡ Ἰσοδυναμία· περὶ ὧν ἐπάξομεν τὰ λυσιτελῆ ἡμῖν δοκῦντα εἰς τὴν ἀκριβῆ διανόησιν.

## ΣΛ΄.

Ἀντίθεσις ἐςὶ προτάσεων συμβολὴ μαχομένων ἀλλήλαις, ὧν ἡ ἑτέρα καταφάσκει τὸ τῇ ἑτέρᾳ ἀποφασκόμενον,

„ Παρ. χάρ. Ταῖς δυσὶ ταύταις προτάσεσιν ἀντίθεσις δίδοται. Ὁ κόσμος ἐςὶν ὂν ἐνδεχόμενον, ὁ κόσμος ὐκ ἔςιν ὂν ἐνδεχόμενον, διαιρεῖται δὲ ἡ ἀντίθεσις, εἰς ἐναντίαν,
„ ἀντιφατικὴν, καὶ ὑπεναντίαν.

## ΣΛΑ΄.

Αἱ προτάσεις, ὧν ἡ ἑτέρα καθόλυ ἀποφάσκει, τὸ τῇ ἑτέρᾳ καθόλυ καταφασκόμενον, λέγονται ἐναντίαι.

„ Παρ. χάρ. Πᾶς σοφὸς αἱρεῖται τὸ βέλτιςον. Οὐδεὶς σοφὸς αἱρεῖται
„ τὸ βέλτιςον, ἐναντίαι προτάσεις εἰσί. Περὶ τῶν ἐναντίων προτάσεων, σημειῶσαι τυτονὶ τὸν κανόνα· Τῶν ἐναντίων προτάσεων ἑκατέρα δύναται
„ εἶναι ψευδὴς, ὐδέποτε δ᾽ ἑκατέρα ἀληθής. Ἐπὶ τῶν δύω τυτωνὶ προτάσεων, πᾶς σοφὸς ἐςὶν εὐσεβὴς, ὐδεὶς σοφός ἐςιν εὐσεβὴς, προφανῶς ὁρᾶται ἐναντίας ὔσας ἀμφοτέρας εἶναι ψευδεῖς.

## ΣΛΒ'.

Ἀντιφατικὴ πρότασίς ἐςιν, ἡ τὸ αὐτὸ κατηγορήμενον κατὰ τῦ αὐτῦ ὑποκειμένυ καταφάσκυσα καὶ ἀποφάσκυσα. Εἴτ' ὖν ὅτε προτάσεις καθόλυ καταφατικαὶ, καὶ μερικαὶ ἀποφατικαὶ, ἢ καθόλυ ἀποφατικαὶ καὶ μερικαὶ καταφατικαὶ πρὸς ἀλλήλας παραβάλλονται, τότε δὴ τὴν ἀντίθεσιν ταύτην, ἀντιφατικὴν λέγομεν.

„ *Παρ. χάρ.* Πᾶς σοφὸς αἱρεῖται τὸ βέλτιςον, τὶς σοφὸς ὐχ αἱρεῖται „ τὸ βέλτιςον. *Περὶ* τῆς φύσεως ϗ τῶν ἀπαιτημένων τῇ ἀληθεῖ ἀντιφάσει πλέω „ προσετάξω ἐν τῇ ἀναπτύξει· σημειωτέον ἐνταῦθα τυτὶ τῶν ἀντιφατικῶν προτάσεων, „ τὴν μὲν ἑτέραν ἀεὶ ἀληθεύειν, τὴν δ' ἑτέραν ψεύδεσθαι.

## ΣΛΓ'.

Ὑπεναντία δ' ἀντίθεσίς ἐςιν ἐν δυσὶ μερικαῖς προτάσεσι.

„ *Παρ. χάρ.* Τίς ἄνθρωπός ἐςι σοφός; τίς ἄνθρωπος ὐκ ἔςι σοφός. *Περὶ* τῶν ὑπεναν- „ τίων προτάσεων σεσημείωται κανὼν ὅδε. *Αἱ* ὑπεναντίαι προτάσεις ἄμφω μὲν δύναν- „ ται ἶναι ἀληθεῖς, ὑμὴν δὲ ἄμφω ψευδεῖς· αἱ ἄνω ῥηθεῖσαι προτάσεις εἰσὶν ἀληθεῖς, „ ψευδεῖς δὲ ἄμφω ἶναι ὐ δύνανται. *Αὐταῖς* δὲ προςίθεται ἀντίθεσις προεναντία, „ δι' ἧς καταφάσκεται μὲν ἐν τῇ πρώτῃ μερικῇ προτάσει, ὅπερ ἀποφάσκεται ἐν τῇ ἑτέρᾳ „ τῇ μερικῇ. *Τύτυ* κανόνες ἤτοι' α'. ἐὶ ἐν ταύταις ταῖς προτάσεσιν ἡ μὲν ἀληθὴς ὑπάρ- „ χει, ψευδὴς ἄρα ὀφείλει ἶναι ἡ ἑτέρα. β'. *Τύτων* θατέρα ἀληθεύειν ἐξέχειν δεῖ. „ *Ἴδε* *Δανιὴλ Ῥιχτέρου Λογοτρ.* περὶ ἀντιθέσεως τῶν *Προτάσ.* *Γένη.* 1738.

## ΣΛΔ'.

Ὑπαλληλία ἐςὶν ἐκείνη τῶν προτάσεων ἡ διάθεσις, καθ' ἣν ἡ πλατυτέρα πρότασις, ἤτοι ἡ ἐπὶ πλέον ἐκτεινομένη περιέχει τὴν ςενωτέραν, ἤτοι τὴν ἐπ' ἔλαττον πρότασιν· ἢ ἡ Ὑπαλληλία ἐςὶν, ἡ δύω προτάσεων μερικῆς φημὶ καὶ καθόλυ τὸ αὐτὸ ὑποκείμενον καὶ κατηγορήμενον ἐχυσῶν πρὸς ἀλλήλας ἀναφορά. Ὧν ἡ μὲν καθόλυ, ἡ τὴν μερικὴν περιέχυσα

ὑπαλληλῦσα· ἡ δὲ μερικὴ ἡ ὑπὸ τὴν καθόλυ περιεχομένη ὑπαλληλωτὴ λέγεται.

„ Παρ. χάρ. Πᾶν ζῶον ζῇ κ̀ αἰσθάνεται, τὶ ζῶον ζῇ κ̀ αἰσθάνεται· ἡ μὲν προτέρα ὑπαλ-
„ ληλῦσα, ἡ δὲ μετ' αὐτὴν ὑπαλληλωτὴ λέγεται. Ἐ'ντεῦθα σημειωτέον τὰς ἑπο-
„ μένυς κανόνας.
„ Α'. Τῆς ὑπαλληλύσης ἀληθῦς ὔσης, κ̀ ἡ ὑπαλληλωτὴ ἀληθὴς ἐςαι. Παρ. χάρ.
„ Α'ληθῦς ὔσης τῆς, πᾶν ζῶον ζῇ, ἀληθὴς πάντως ἐςαι κ̀ ἡ, τὶ ζῶον ζῇ. Οὐμὴν δὲ
„ κ̀ ἀνάπαλιν τῆς ὑπαλληλωτῆς ἀληθῦς ὔσης, ἀληθὴς ἐςι κ̀ ἡ ὑπαλληλῦσα, ἀληθὲς
„ γάρ ἐςι τινὰ ἄνθρωπον εἶναι σοφὸν, ὐ μὴν δὲ κ̀ πάντα ἄνθρωπον εἶναι σοφόν.
„ Β'. Τῆς ὑπαλληλύσης ψευδῦς ὔσης, ὐ παρὰ τῦτο κ̀ ἡ ὑπαλληλωτὴ ἐςι ψευδής.
„ Παρ. χάρ. Ψευδὲς ἐςὶ πάντα ἄνθρωπον εἶναι σοφὸν, ὐ μὴν δὲ καὶ τινὰ ἄνθρωπον εἶναι
„ σοφόν. τῶν κανόνων τύτων οἱ λόγοι ἐν τῇ ἑρμηνείᾳ δηλωθήσονται.

## ΣΛΕ'.

Ἀντιςροφὴ λέγεται ἡ τοιαύτη τῶν προτάσεων μεταβολὴ, καθ' ἣν τὸ ὑποκείμενον γίνεται κατηγορύμενον, καὶ ἀνάπαλιν, σωζομένης τῆς ποιότητος ἢ ἀληθείας τῶν προτάσεων.

„ Παρ. χάρ, Αἱ προτάσεις αὗται. Πᾶν Πνεῦμα ἐςὶ νοερὸν, κ̀ πᾶν νοερὸν
„ ἐςὶ Πνεῦμα, ἀντιςρέφυσι, λέγονται. Ἡ' πρώτη πρότασις, ἧς τινος τὸ ὑποκεί-
„ μενον κ̀ κατηγορύμενον μετατίθεται, λέγεσθαι ὧδε ἀντιςρεπτέα, ἢ ἀντιςρε-
„ φομένη. Ἡ' δ' ἑτέρα ἡ ἐκ τῆς μεταβολῆς γινομένη ἀντιςρέφυσα λέγεται.
„ Τριπλῆ δὲ γίνεται ἡ ἀντιςροφὴ, α'. Α'πλῆ, δι' ἧς ἡ αὐτὴ ποσότης κ̀ ποιότης τῶν
„ προτάσεων σώζεται. Παρ. χάρ. Οὐδεὶς σπυδαῖος ταῖς διαβολαῖς ἥδε-
„ ται· ἄρα ὐδεὶς ταῖς διαβολαῖς ἡδόμενός ἐςι σπυδαῖος· β'. Κατὰ
„ συμβεβηκὸς ἀντιςροφὴ γίνεται, ὅτε μεταβάλλεται ἡ ποσότης τῶν προτάσεων.
„ Παρ. χάρ. Πᾶς σοφός ἐςιν ἄνθρωπος· ἄρα τὶς ἄνθρωπός ἐςὶ σοφός.
„ Γ'. δι' ἀντιθέσεως, ὅτε ἡ ποιότης τῶν ὅρων μεταβάλλεται, μενύσης τῆς ποιό-
„ τητος, κ̀ ποσότητος τῶν προτάσεων. Παρ. χάρ. Τὶς ἄνθρωπος ὐκ ἔςι σοφός·
„ ἄρα τὶς μὴ σοφὸς ἐςὶ ἄνθρωπος. Τύτοις ἐπίκειται ἀντιςροφὴ διὰ ἀντιδιαθέσε-
„ ως, δι' ἧς ὕτως ἡ πρότασις τρέπεται, ὥςε τῦ ὑποκειμένυ ἀορίςυ λεχθέντος, ταύτην
„ ποιότητα κ̀ ποσότητα μεταβάλλεσθαι· παρ. χάρ. Ἡ'λίας ζῶν εἰς οὐρανὸν ἤρθη, τοι-
„ γαρῦν ὁ μὴ ἐς οὐρανὸς ἀρθεὶς. Ἡ'λίας ὐκ ἔςιν. Ο'ρα Δαν. Ρ'ιχτέρυ διάλεξιν
„ περὶ ἀντιςροφῆς τῶν προτάσεων Α'λη 1740.

ΣΛϚ'.

## ΣΛϛ΄.

Λοιπὴ ἐςὶν ἡ τῶν προτάσεων ἰσοδυναμία· προτάσεις δὲ ἰσοδύναμοι λέγονται, αἱ τοῖς μὲν λόγοις διαφέρουσαι, τὴν δ᾽ Ε'ννοιαν ἔχουσαι τὴν αὐτήν:

„ Παρ. χάρ. *Τὰ πάθη ταράττει τὴν προσοχὴν, ὁ ἡμέτερος νοῦς ἐν τῷ προσέχειν ταράττεται ὑπὸ τῶν παθῶν. Προτάσεις εἰσὶν ἰσοδύναμοι· πολλὰ ἐνταῦθα ἐπιπονώτερον τοῖς Σχολαστικοῖς παραδίδονται, ἅπερ γεμὴν ὀρθῶς σὺν τῷ κλεινῷ Συρβίῳ εἰς τὰ τῶν λογικῶν Σχολαστικῶν δυσχερῆ παίγνια ἀνάγαγε· ὅσα δὲ γνώσεως ἐνταῦθα ἄξια, ἐν τῇ ἀναπτύξει ἐπάξω· περὶ δὲ τῶν λοιπῶν μέτιθι τὸ τῇ Γωάν: Α'λβερτ. Βερκκευκάμπυ ὑπόμνημα λογ. περὶ τῶν σχετικῶν παθῶν τῶν προτάσεων· Λειψίου.* 1743.



# ΚΕΦΑ'ΛΑΙΟΝ ϛ'.

## ΠΕΡΙ'
## ΔΙΑΝΟΗ'ΜΑΤΟΣ
## ΚΑΙ'
## ΣΥΛΛΟΓΙΣΜΟΥ.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΣΛΖ'.

Διείληπται ἡμῖν μέχρι τῦδε περὶ κρίσεως καὶ προτάσεως. Ε'πεὶ δὲ τὴν τῶν Ι'δεῶν οἰκειότητα καὶ ἀλλοτρίωσιν ὐκ ἀμέσως ἀεὶ καθορᾶν δυνάμεθα, ἀνάγκη τῦτο διά τινος τρίτης Ι'δέας γίνεσθαι. Ο'τε ἀμέλει ἐκ τῆς συγκρίσεως δύω Ι'δεῶν πρὸς τρίτην, εἴπερ εἰσὶ συζευκτέαι, ἢ διαζευκτέαι, συνάγομεν· καὶ ὕτως ἐκ δύω κρίσεων κοινὴν Ε'ννοιαν ἐχυσῶν τρίτην ἐξάγομεν.

„ Παρ. χάρ. Παραβάλλων τὸν Θεὸν τῷ ἀφθάρτῳ ϗ ἁπλῷ ὄντι, ἱκανῶς Ε'ννοεῖς τὸν
„ Θεὸν ϗ τὸ ἄφθαρτον ὂν συζώγνυσθαι δύνασθαι, ϗ ὕτως ἤδη ἀποτελέσεις τὸ διανόημα.

Πᾶν ὂν ἁπλῦν ἐςὶν ἄφθαρτον,
Ο' Θεὸς ἐςὶν ὂν ἁπλῦν,
ἄρα ὁ Θεὸς ἐςὶν ἄφθαρτός.

„ Ε'νταῦθα τὴν σὴν κρίσιν, ὁ Θεὸς ἐςὶν ἄφθαρτος, παράξεις ἐκ τύτων τῶν δύω κρί-
„ σεων. Πᾶν ὂν ἁπλῦν ἐςὶν ἄφθαρτον, ϗ ὁ Θεὸς ἐςὶν ὂν ἁπλῦν, αἱ δύω αὗται κρίσεις
„ κοινὴν Ε'ννοιαν ἔχυσιν, ἀμέλει τὴν Ι'δέαν τῦ ἁπλῦ ὄντος.

## ΣΛΗ΄.

**Ἐντεῦθεν κατανοεῖς ἐπὶ παντὸς διανοήματος ὀ πλείους τῶν τριῶν ἀπαιτεῖσθαι Ἰδέας, καὶ τρεῖς μόνον ὀφείλειν παρεῖναι κρίσεις.**

Δείκν. Ἐπεὶ γὰρ τὸ διανόημα ἐκ τῆς παραβολῆς δύω Ἰδεῶν πρὸς τὴν τρίτην ἀποτελεῖται (ΣΛΖ΄.) προφανές ἐςιν ἐν τῷ διανοήματι μὴ πλείους Ἐννοίας ἀπαιτεῖσθαι, εἰμὴ τρεῖς· ἔτι ἐπειδὴ πᾶν διανόημα ἐςὶν ἐνέργεια τῦ νοός, καθ᾽ ἣν ἐκ δύω κρίσεων κοινὴν Ἔννοιαν ἐχεσῶν, τρίτην ἐξάγομεν (ΡΛΖ΄.)· πρόδηλον, ὅτι ἐπὶ παντὸς διανοήματος ὀ πλείους τῶν τριῶν κρίσεων παρεῖναι ὀφείλει.

## ΣΛΘ

**Διὰ τῆς πείρας γινώσκομεν τὴν τάξιν τῦ λογίζεσθαι εἰς τὴν τῶν διανοημάτων εἰδοποίησιν ὕτω προβαίνειν.**

Α΄. Πρᾶγμά τι, ἤτοι Ἔννοιαν εἴς τι γένος, ἢ εἶδος ἀνάγομεν, καὶ τότε δὴ πᾶν ὅ, τι κατὰ τῦ γένους ἢ εἴδους, εἰς ὃ τὸ ἀντικείμενον ἀνάγομεν, καταφάσκεται, ἢ ἀποφάσκεται, καὶ κατὰ τῦ αὐτῦ ἀντικειμένυ τῦ ἐπὶ τὸ γένος, ἢ εἶδος ἀναχθέντος καταφάσκομεν, ἢ ἀποφάσκομεν· ὗτος ἐςὶν ὁ πρῶτος τῦ λογίζεσθαι τρόπος ἐν τῷ ἐπιτελεῖν τὰ διανοήματα.

Β΄. Ἡ δὲ τῶν Λογισμῶν τάξις ὕτω γίνεται· ὁπηνίκα ἐν τῷ ἀντικειμένῳ Α΄. τὰ γνωρίσματα ἢ χαρακτῆρας ἐννοῦμεν τὺς ὁρισμόν τινα συνιςῶντας, τηνικαῦτα τῷ ἀντικειμένῳ ἀνήκειν τὸ ὁριςὸν κρίνομεν (ΡΝΖ΄.)· ὅτε δὲ τὰ γνωρίσματα καὶ χαρακτῆρας τῦ ἀντικειμένυ Α. ἀπεῖναι παρατηρῦμεν, τότε δὴ τῷ ἀντικειμένῳ Α. τὸ ὁριςὸν ὐκ ἀνήκειν ἀποφαινόμεθα.

„ Παρ. χάρ. Τὴν ὀργὴν ἀνάγομεν ἐπὶ γένος, ἀμέλει τὸ πάθος. Πᾶν ὖν ὅ, τι
„ κατὰ τῦ πάθυς χορηγεῖ σοι ἡ μνήμη, ἢ ἡ φαντασία λεγόμενον, παρ. χάρ, ὅτι
„ τὰ πάθη ταράττει τὴν προσοχὴν, τῷ αὐτῷ λόγῳ καὶ τῇ ὀργῇ προ-
„ σαρμόσεις κατὰ τὸν ἑπόμενον τρόπον.

„ Παρ

*Πᾶν πάθος ταράττει τὴν προσοχήν,*

*Πᾶσα ὀργὴ ἐςὶ πάθος,*

*Πᾶσα ὀργὴ ταράττει τὴν προσοχήν.*

„ *Τὸ διανόημα τοῦτο κατὰ τὸν πρῶτον τοῦ λογίζεσθαι ἐσχηματισμ. τρόπον, παράδειγμα*
„ *δὲ τοῦ ὑςέρου ἔςαι τοιόνδε· π. χ. ἐν τῷ Δημοκρίτῳ παρατηρῆς, τὸ εἶναι εὔθυμον ϗ*
„ *χαροπὸν ἐν πράγμασιν ἐναντίοις. Ἐπεὶ δὲ διὰ τῆς φαντασίας ἐπίρχε-*
„ *ταί σοι τοὺς χαρακτῆρας τούτους ἀνήκειν ἀνθρώπῳ τλήμονι, ἐπιφέρεις τὸν Δημό-*
„ *κριτον εἶναι τλήμονα τὸν ἑπόμενον τρόπον.*
„ *Πᾶς ὁ χαροπὸς ϗ εὔθυμος ἐν πράγμασιν ἐναντίοις ἐςὶ τλήμων.*
„ *Ἀλλ' ὁ Δημόκριτός ἐςι χαροπὸς ϗ εὔθυμος ἐν πράγμασιν ἐναντίοις.*
„ *Ἄρα ὁ Δημόκριτος ἐςὶ τλήμων.*

## ΣΜ΄.

*Πάντα τοιγαροῦν τὰ καταφατικὰ διανοήματα ἐρείδονται τῇ θέσει ταύτῃ.*

„ *Πᾶν ὅ, τι κατὰ παντὸς τοῦ γένους, ἢ εἴδους κατηγορεῖσθαι δύναται, τοῦτ' αὐτὸ ϗ κατὰ*
„ *παντὸς τοῦ ὑπὸ τὸ γένος περιεχομένου κατηγορεῖται, ὡσαύτως ὁ ὁποιοσδήποτε ἀνήκει ὁ ὁρισ-*
„ *μὸς, ἀνήκει τῷ αὐτῷ ϗ τὸ ὁριςόν· ταύταις ταῖς προτάσεσιν ἀποτελεῖται τὸ κοινότα-*
„ *τον ἐκεῖνο, τὸ λεγόμενον κατὰ παντὸς, ὅπερ ὀρθῶς ἀντὶ θεμέθλου τῶν καταφατικῶν*
„ *ὑπολαμβάνομεν διανοημάτων.*

## ΣΜΑ΄.

*Ἀποφατικῶς δὲ διανοούμενοι τοὺς λογισμοὺς ἡμῶν κατὰ τὸν κανόνα τοῦτον διαμορφοῦμεν.*

„ *Πᾶν ὅ, τι παντὸς τοῦ γένους ἢ εἴδους ἀλλοτριοῦται ἢ ἀποφάσκεται, τοῦτ' αὐτὸ ϗ κατὰ*
„ *παντὸς τοῦ ὑπὸ τὸ γένος, ἢ εἶδος περιεχομένου ἀποφάσκεται· ὡσαύτως ἔτι ὁτῳδή-*
„ *ποτε οὐκ ἀνήκει ὁ ὁρισμὸς, οὐ δὲ τὸ ὁριςὸν πάντως.*
„ *Ταύταις δὲ περιέχεται, τὸ λεγόμενον κατὰ μηδενὸς, ὀρθῶς ἀντὶ βάσεως τῶν απο-*
„ *φατικῶν λαμβανόμενον διανοημάτων.*

ΣΜΒ΄.

## ΣΜΒ΄.

Τῷ διανοήματι ὡς ἐσωτερικῇ τῆ νοὸς ἐνεργείᾳ ὁ συλλογισμὸς ὡς ἐξωτερικὴ ἐνέργεια ἀποκρίνεται, λόγος ὢν τὰ τῆ νοὸς διανοήματα ἐκδηλῶν, εἴτ᾽ ἂν συλλογισμὸς ἐςὶ διανόημα ῥήμασιν ἐκφαινόμενον.

„ *Αἱ λέξεις συλλογίζειν, ϗ συλλογίζεσθαι ἐκ τῶν σχολῶν τῶν ἀριθμητικευομένων εἰς τὰς*
„ *λογικευομένας μετέβησαν· ὥσπερ γὰρ ὁ ἀριθμητικὸς ἐκ δύο δοθεισῶν ποσοτήτων ἐγ-*
„ *νωσμένων τρίτην ἐξάγει ἄγνωςον, ὅτως ἡ διάνοια ὁσάκις διανοεῖται ἐκ τῆς παραβο-*
„ *λῆς δύο Ἰδεῶν πρὸς τὴν Γ΄. συνάγει τὴν τότων σύζευξιν, ἢ διάζευξιν. Ῥήματα*
„ *ταῦτα ὄντι τῆ Ἐινεκίε ἐν τοῖς Στοιχ: Λογ: §. 77.*

## ΣΜΓ΄.

Ἐξ ἦ δῆλον, Α΄. ὡς διενήνοχεν ἡ Ἰδέα τῆ ὅρου, καὶ ἡ κρίσις τῆς προτάσεως, ὅτω καὶ τὸ διανόημα διάφορον ἐςὶ τῆ συλλογισμῆ. Β. Ἐπείπερ ὅ, τιδήποτε κατὰ τῆ ὁρισμῆ, τότ᾽ αὐτὸ καὶ κατὰ τῆ ὁριςῆ ὀρθῶς ἔχει λέγεσθαι (ΡΝΖ΄)· πρόδηλον ἐςὶ πᾶν ὅ, τι δύναται περὶ τῆ διανοήματος δείκνυσθαι, τὸ αὐτὸ ὀρθῶς ἔχειν δεικνύμενον καὶ κατὰ τῆ συλλογισμῆ.

## ΣΜΔ΄.

### Πᾶς ἂν συλλογισμὸς τοσέτοις ὀφείλει ὅροις συνίςασθαι ϗ προτάσεσιν, ὅσαις τὸ διανόημα συνίςαται Ἐννοίαις ϗ κρίσεσι.

Δείκν. Ἐπεὶ γὰρ ὁ συλλογισμὸς διανόημα ἐςὶ ῥήμασιν ἐκφαινόμενον (ΣΜΒ΄.). ἑπόμενόν ἐςιν ὁπόσαις τὸ διανόημα συνίςαται Ἐννοίαις καὶ κρίσεσι, τοσαύτας ὁ συλλογισμὸς ὀφείλει Ἐννοίας καὶ κρίσεις ἐκφαινομένας ῥήμασι περιέχειν· ἡ δὲ ῥήμασιν ἐκφαινομένη Ἔννοια ὅρος λέγεται (ΡΓ΄.), καὶ ἡ ῥήμασιν ἐκφαινομένη κρίσις, πρότασις (ΡΙΕ΄.)· ὅσαις ἄρα τὸ διανόημα συνίςαται Ἐννοίαις καὶ κρίσεσι, τοσέτοις ὅροις καὶ προτάσεσι καὶ ὁ συλλογισμὸς ὀφείλει συνίςασθαι.

ΣΜΕ΄.

## ΣΜΕ΄.

### Ὁ συλλογισμὸς οὔτε πλείους οὔτ᾽ ἐλάττους τῶν τριῶν περιέχειν ὀφείλει ὅρους.

Δείκν. Ἐπείπερ ὁ συλλογισμὸς τοσούτοις συνίσταται ὅροις, ὁπόσαις Ἰδέαις ἤτοι Ἐννοίαις τὸ διανόημα (ΣΜΔ΄.)· Ἐπεὶ δὲ τὸ διανόημα μόνον ἀπαιτοῦνται Ἰδέαι τρεῖς ἢ Ἔννοιαι (ΡΛΗ΄.)· πρόδηλον, ὅτι ὁ συλλογισμὸς οὔτε πλείους, οὔτ᾽ ἐλάττους τῶν τριῶν περιέχειν ὀφείλει ὅρους.

„ *Ὁ Ῥοιτενβέκκιος ἐν τῇ Λογικῇ οὕτω προφέρει ταύτην τὴν πρότασιν· ἐν παντὶ συλλο-*
„ *γισμῷ ἐστί τι, Α. καθ᾽ οὗ, Β. ὃ, καὶ Γ. ἐξ οὗ, ἡ διαδρομὴ γίνεται. Κἀντεῦθεν τρεῖς*
„ *ἔτι ἀναφαίνονται ὅροι· ὁ δὲ περιφανὴς Ῥουδίγερος τὸ διανόημα διὰ τεσσάρων ὅρων,*
„ *ὥσπερ νέον τι ἑαυτοῦ εὕρημα εἶναι οἴεται, ἐν τῇ νοήσει τοῦ ἀληθοῦς καὶ ψευδοῦς σελ.*
„ 341. *Ἀλλ᾽ ἐναντίον δείξομεν δύο παρόντων τῶν μέσων ὅρων, οὐχ ἕνα, ἀλλὰ πλείους*
„ *τοὺς συλλογισμοὺς γίνεσθαι. Ὅροι δὲ εἰσὶν Α΄. τὸ κατηγορούμενον τοῦ συμπεράσματος. Β΄.*
„ *τὸ ὑποκείμενον τοῦ συμπεράσματος. Γ΄. ὅρος τις κοινὸς ὁ ἐκτιθεὶς τὴν τρίτην Ἰδέ-*
„ *αν, ᾗ τὸ ὑποκείμενον καὶ κατηγορούμενον τοῦ συμπεράσματος παραβάλλεται.*

## ΣΜϚ΄.

Τὸ ὑποκείμενον τοῦ συμπεράσματος λέγεται ὅρος ἐλάττων· καὶ τὸ κατηγορούμενον τοῦ συμπεράσματος ὅρος μείζων· ὁ δὲ τρίτος ὅρος δι᾽ οὗπερ τὸ τοῦ συμπεράσματος κατηγορούμενον τῷ τοῦ συμπεράσματος ὑποκειμένῳ συνάπτεται, μέσος ὅρος ἀκούει.

„ *Τὸ δὲ κατηγορούμενον τοῦ συμπεράσματος, μείζων ὅρος καλεῖται, ὅτι τὸ κατηγορούμενον*
„ *ὡς τὰ πολλὰ μείζονός ἐστιν ἐκτάσεως καὶ πλατύτερον, ἤπερ τὸ ὑποκείμενον·*
„ *τὸ δὲ ὑποκείμενον τοῦ συμπεράσματος, ἐλάσσων ὅρος καλεῖται, ὅτι τὸ ὑποκείμενόν*
„ *ἐστιν ἐλάσσονος ἐκτάσεως καὶ πλατύτητος. Ὁ δὲ μέσος ὅρος ἐκλήθη τοῦτ᾽ αὐτὸ,*
„ *ὅτι τὴν συνάφειαν, ἢ ἀλλοτρίωσιν συνίστησι τοῦ ὑποκειμένου καὶ κατηγορουμένου τοῦ συμ-*
„ *περάσματος, καὶ ἑπομένως τούτου μεσολαβοῦντος, τὸ τοῦ συμπεράσματος ὑποκείμενον*
„ *τῷ κατηγορουμένῳ συζεύγνυται. Τὸ κατηγορούμενον καὶ ὑποκείμενον τοῦ συμπε-*
„ *ράσματος λέγονται καὶ ὅροι ἄκροι· λάβε μοι γὰρ, παρ. χάρ. τὸν συλλογισμὸν τόνδε.*

Πᾶν

„ *Πᾶν πάθος ταράττει τὴν προσοχὴν, πᾶσα ὀργὴ ἐςὶ πάθος, ἄρα πᾶσα ὀργὴ ταράττει*
„ τὴν προσοχήν. Ἐν τούτῳ οὖν ἐλάττων μὲν ὅρος ἐςὶν ἡ ὀργὴ (ἐςὶ γὰρ ὑποκείμενον τοῦ
„ συμπεράσματος) μείζων δ᾽ ὅρος ἐςὶ, ταράττει τὴν προσοχὴν (ὅτι ἐςὶ κατηγορούμενον τοῦ
„ συμπεράσματος,) καὶ μέσος ὅρος ἐςὶ τὸ πάθος, ὅτι μεσολαβούσης τῆς Ἰδέας τοῦ πά-
„ θους, τὸ κατηγορούμενον τουτὶ μᾶλλον, ἤπερ ἕτερον ἀποδίδοται τῇ ὀργῇ, καὶ ἑπομένως
„ ὁ ὅρος οὗτος ἐν ἑαυτῷ περιέχει τὸν λόγον, δι᾽ ὃν κατὰ τῆς ὀργῆς κατηγορεῖται τὸ
„ ταράττειν τὴν προσοχήν. *Τοὺς τρεῖς τούτους ὅρους πόῤῥω ὕλην εἶναι φασὶ τοῦ συλλογισ-*
„ μοῦ, ὅτι πᾶς συλλογισμὸς ὡς ἐξ οἰκείας ὕλης συντίθεται τῶν προτάσεων. *Πᾶσαι*
„ δὲ αἱ προτάσεις ἐξ ὅρων· κἀντεῦθεν τοὺς ὅρους ἀρχὰς ὑλικὰς πόῤῥω λέγομεν τῶν
„ συλλογισμῶν. *Μέχρι τοῦδε περὶ ὅρων.*

## ΣΜΖ′.

### Πᾶς Συλλογισμὸς τρισὶ προτάσεσιν ὀφείλει συνίςασθαι.

*Δεικν.* Τόσαις ὁ Συλλογισμὸς προτάσεσιν ὀφείλει συνίςασθαι, ὅσαις τὸ Διανόημα κρίσεσιν (ΣΜΔ′.)· ἐπεὶ δὲ πᾶν Διανόημα τρισὶν ὀφείλει συνίςασθαι κρίσεσι (ΣΛΗ′.)· προφανέςατον ἄρα καὶ τὸν Συλλογισμὸν τρισὶν προτάσεσιν ὀφείλει συνίςασθαι.

## ΣΜΗ′.

Ἡ πρώτη τουτωνὶ τῶν προτάσεων λέγεται Μείζων, ἡ δευτέρα, Ἐλάττων, καὶ ἡ τρίτη, Συμπέρασμα, περὶ ὧν ἑκάςης χωρίς.

## ΣΜΘ′.

Μείζων πρότασις τοῦ Συλλογισμοῦ λέγεται, ἐν ᾗ ὁ Μείζων ὅρος, ἤτοι τὸ κατηγορούμενον τοῦ συμπεράσματος (ΣΜϚ′.) τῷ μέσῳ ὅρῳ συζεύγνυται.
Λέγεται ἡ πρότασις αὕτη τῷ Κικέρωνι πρότασις κατ᾽ ἐξοχήν.

## ΣΝ΄.

Πρότασις ἐλάττων ἐςὶν, ἐν ᾗ ὁ ἐλάσσων ὅρος, ἤτοι τὸ ὑποκείμενον τῆ συμπεράσματος τῷ μέσῳ ὅρῳ συντίθεται.

Λέγεται ἄλλοτε ἡ ἐλάττων αὕτη πρότασις, πρόσληψις καὶ πρόσλημμα.

## ΣΝΑ΄.

Η Μείζων, καὶ ἡ Ἐλάσσων πρότασις συνημμένως λαμβανόμεναι καλῦνται προκείμεναι.

Λέγονται δὲ ὅτως, ὅτι τῆ συμπεράσματος πρόκεινται.

## ΣΝΒ΄.

Συμπέρασμα λέγεται, ἡ τῆ Συλλογισμῆ πρότασις, ἥτις ἐκ τῆς συζυγίας τῶν ὅρων τῶν ἐν ταῖς προκειμέναις τῆ Συλλογισμῆ διαφόρων, διαμορφῆσαι. Παρ. χάρ. ἐν τῷ Συλλογισμῷ τῷδε.

*Πᾶσα κακία τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει,*
*Η' φιλαργυρία ἐςὶ κακία, ἄρα*
*Η' φιλαργυρία τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει.*

Πρότασις Μείζων ἐςὶ, Πᾶσα κακία, τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει. Πρότασις ἐλάττων ἐςὶν, ἡ Φιλαργυρία ἐςὶ κακία. Συμπέρασμά ἐςιν, ἡ Φιλαργυρία τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει.

## ΣΝΓ΄.

Σχῆμα τῶν Συλλογισμῶν ἐςὶ διάθεσις τῆ μέσȣ ὅρȣ πρὸς τὰς δύο ὅρȣς τῆ συμπεράσματος.

ΣΝΔ΄.

## ΣΝΔ'.

Ὅσοις τοιγαρῦν τρόποις ὁ μέσος ὅρος πρὸς τὸ ὑποκείμενον, καὶ τὸ κατηγορήμενον τῦ συμπεράσματος ἐν ταῖς προκειμέναις δυνατὸν διατίθεσθαι, τοσαῦτα ἕξεις τὰ τῦ Συλλογισμῦ σχήματα.

## ΣΝΕ'.

Ἐκ τῆς περὶ συνδυασμῦ διδασκαλίας δῆλον γίνεται, ὅτι τρεῖς ποσότητες, ὧν ἡ μέση δὶς ὀφείλει λαμβάνεσθαι, τετραπλασίαν συνδυάσεως τάξιν ἐπιτελεῖν δύνανται. Ἐν τῷ Συλλογισμῷ τοιγαρῦν τριῶν ὅρων ἀπαντώντων (ΣΜΕ'.) ὥσπερ ὁ μέσος δὶς ὀφείλει λαμβάνεσθαι ἐν ταῖς προκειμέναις (ΣΜΕ'.), τέσσαρες τῦ μέσῳ ὅρῳ πρὸς τὰς ἄκρας συζυγίαι ἐκτελεσθήσονται.

Σαφέστερον τὸ λεγόμενον ἐκ τῦ ἑπομένῳ σχήματος ἔςαι, ἐν ᾧ τὸ Υ. τὸ τῦ συμπεράσματος δείκνυσιν ὑποκείμενον, ἤτοι τὸν ἐλάττω ὅρον. Τὸ δὲ Κ. σημαίνει τὸ κατηγορήμενον τῦ συμπεράσματος. Καὶ τὸ Μ. τὸν μέσον ὅρον.

| Σχῆμα Α'. | Σχ. Β. | Σχ. Γ'. | Σχ. Δ'. |
|---|---|---|---|
| Μ. Κ. | Κ. Μ. | Μ. Κ. | Κ. Μ. |
| Υ. Μ. | Υ. Μ. | Μ. Υ. | Μ. Υ. |

Πέμπτην μετάθεσιν τῦ γράμματος Μ. καθάπαξ μετὰ τῦ Κ. καὶ καθάπαξ μετὰ τῦ Υ. ὐκ ἂν ἔχοις ἐξαγαγεῖν.

## ΣΝϚ'.

### Τέσσαρα μόνον τῦ συλλογισμῦ εἰσὶ σχήματα δυνατά.

Δείκν. Ὁσαχῶς τὸν μέσον ὅρον, πρὸς τὸ Ὑποκείμενον καὶ Κατηγορήμενον τῦ συμπεράσματος ἐν ταῖς προκειμέναις διατίθεσθαι δυνατὸν, τοσαχῶς ἔχεις τὸν συλλογισμὸν σχηματίζειν, ἤτοι τοσαῦτα σχήματα ἐςὶ δυ-

νατά (ΣΝΔ΄.)· Ἐπεὶ δὲ τετραχῶς τὸν μέσον ὅρον πρὸς τὸ Ὑποκείμενον καὶ Κατηγορέμενον τῦ συμπεράσματος, ἤτοι τὰ ἄκρα διατίθεσθαι δυνατὸν (ΣΝΕ΄.)· ἄρα τέσσαρα μόνον τῦ συλλογισμῦ σχήματα εἰσὶ δυνατά· περὶ ἑκάςυ δὲ τῶν σχημάτων ἰδικῶς ἐνταῦθα διαλεξόμεθα.

## ΣΝΖ΄.

Πρῶτον σχῆμα ἐςὶν, ὅτε ὁ μέσος ὅρος ἐν τῇ μείζονι ὑπόκειται καὶ ἐν τῇ Ἐλάττονι κατηγορεῖται, ὅρα τὸ σχῆμα (ΣΝΕ΄.)

*Παρ. χάρ.* *Πᾶν ὂν διανοητικὸν ἐςὶ πνεῦμα,*
*Ἡ ἀνθρωπίνη ψυχὴ ἐςὶν ὂν διανοητικὸν,*
*Ἄρα ἡ ἀνθρωπίνη ψυχὴ ἐςὶ πνεῦμα.*

Ἐνταῦθα ὁ μέσος ὅρος, ὂν διανοητικὸν, ἐν τῇ μείζονι ὑπόκειται καὶ ἐν τῇ Ἐλάττονι κατηγορεῖται.

## ΣΝΗ΄.

Δεύτερον σχῆμα ἐςὶν, ὅτε ὁ μέσος ὅρος, ἔν τε τῷ Μείζονι, καὶ τῇ Ἐλάττονι κατηγορεῖται. Παρ. χάρ.

*Πᾶν ζῶον ζῇ ϗ αἰσθάνεται*
*Οὐδεὶς λίθος ζῇ ϗ αἰσθάνεται,*
*Ἄρα ὐδεὶς λίθος ἐςὶ ζῶον.*

## ΣΝΘ΄.

Τρίτον σχῆμα ἐςὶν, ἐν ᾧ ὁ κοινὸς, ἤτοι ὁ μέσος ὅρος ἔν τε τῇ Μείζονι καὶ τῇ Ἐλάττονι προτάσει ὑπόκειται. Παρ. χάρ.

*Πᾶν ζῶον ζῇ ϗ αἰσθάνεται,*
*Πᾶν ζῶον ἐςὶν ὐσία, ἄρα*
*Τὶς ὐσία ζῇ ϗ αἰσθάνεται.*

## ΣΞ΄.

Τέταρτον σχῆμα ἐςὶν, ὅτε ὁ μέσος ὅρος ἐν τῇ Μείζονι κατηγορεῖται καὶ ἐν τῇ Ἐλάττονι ὑπόκειται. Παρ. χάρ.

*Πᾶν ζῶον ζῇ ϗ αἰσθάνεται,*
*Πᾶν, ὅ, τι ζῇ ϗ αἰσθάνεται ἐςὶν ἐσία,*
*Ἄρα τὶς ἐσία ἐςὶ ζῶον.*

## ΣΞΑ΄.

Ἀναπτυχθέντων εἰς τόδε τῶν συλλογιςικῶν σχημάτων, μεταβαίνομεν ἤδη ἐπὶ τὴν διασάφησιν τῶν συλλογιςικῶν νόμων, ἤτοι Κανόνων, ὧνπερ οἱ μὲν τοιῦτοι εἰσὶν, ὡς᾽ ἐπὶ πάντας τὲς συλλογισμὲς ὁποιεδηποτεῦν σχήματος ὦσιν, ἀνήκειν. Τὲς δὲ μόνον ἀφορᾶν τὲς συλλογισμὲς τεδε κἀκείνε τῦ σχήματος· οἱ μὲν πρῶτοι εἰσὶ Γενικοὶ, οἱ δὲ δεύτεροι εἰδικοί.

## ΣΞΒ΄.

### Τῶν γενικῶν Κανόνων τὴν πρώτην ἐπέχει χώραν ὁδί· ὁ συλλογισμὸς ὲκ ὀφάλει πλέιες τῶν τριῶν ἔχειν ὅρες.

Τὴν πρότασιν ταύτην ἀπεδείξαμεν ἤδη (ΣΜΕ΄.) Ἐπεὶ δ᾽ ὲκ ἀνεπτυγμένως ἀεὶ τέσσαρες ὅροι πάρεισιν, ἀλλὰ ποικίλοις τρόποις εἰώθασι παρεισδύεσθαι. Τέτες δὴ τὲς τρόπες, καθ᾽ ὲς οἱ τέσσαρες ὅροι τῷ συλλογισμῷ φιλῦσιν εἰσέρχεσθαι, ἐν μέρει ἀπαριθμήσομεν.

Α΄. Ἀμέλει τέτταρες ὅροι πάρεισι τῆς ὁμωνυμίας ἐν τοῖς ὅροις χώραν λαβέσης. Παρ. χάρ.

*Πᾶν Πνεῦμα ἐςὶ διανοητικὸν ϗ θελητικὸν,*
Τὸ *Πνεῦμα τῦ οἴνε ἐςὶ* Πνεῦμα, *ἄρα*
Τὸ Πνεῦμα *τῦ οἴνε ἐςὶ διανοητικὸν ϗ θελητικόν.*

Β'. Τέσσαρες ὅροι εἰώθασι παρεισδύεσθαι κατὰ μεταβολὴν τῆς ὑποθέσεως. Παρ. χάρ.

Πᾶν ὂν ἐςὶ γένους οὐδετέρου
Ἀλλὰ πᾶσα γυνὴ ἐςὶν ὄν, ἄρα
Η' γυνὴ ἐςὶ γένους οὐδετέρου.

Ἐνταῦθα ἐπὶ τῆς πρώτης προτάσεως, ὁ ὅρος, ὄν, ὑλικῶς ὑποτίθεται, ἐπὶ δὲ τῆς ἑτέρας εἰδικῶς (ὅρα ΡΜΕ'. ἐν τῇ ὑποσημ.),

Γ'. Τέσσαρες εἰσέρχονται ὅροι τῷ συλλογισμῷ, συγχεομένου τοῦ ἀφῃρημένου ὅρου τῷ συγκεκριμένῳ. Παρ. χάρ.

Πᾶσα δικαιοσύνη ἕξις.
Ὁ Καῖος ἐςὶ δίκαιος· ἄρα
Ὁ Καῖος ἐςὶν ἕξις.

Πλείω περὶ τούτων ἐπάξομεν ἐν τῇ ἀναπτύξει.

## ΣΞΓ.

## Τῶν γενικῶν Κανόνων ὁ ἕτερος οὗτος ἐςίν· ὁ μέσος ὅρος εἰς τὸ συμπέρασμα οὐδέποτε ὀφείλει εἰσέρχεσθαι.

Δείκν. Μέσος ὅρος ἐςὶν ὁ ἐν ἑαυτῷ περιέχων τὸν λόγον, δι' οὗ τὸ κατηγορούμενον ἐν τῷ συμπεράσματι ἢ συνάπτεται τῷ ὑποκειμένῳ, ἢ οὔ· (ΣΜϚ'.) καὶ ἑπομένως ἐςὶ ποιητικὴ αἰτία τοῦ συμπεράσματος (κατὰ τὸν ὁρισμ. τῆς αἰτίας.) Ἐπεὶ δὲ ἡ ποιητικὴ αἰτία οὐκ εἰσέρχεται εἰς τὴν τοῦ ἀποτελέσματος σύςασιν (κατὰ τὰς ἀρχὰς τῆς Ὀντολογίας), δηλαδὴ ὁ μέσος ὅρος οὐκ ὀφείλει εἰσέρχεσθαι τὸ συμπέρασμα.

Δυνατὸν τὸν Κανόνα τοῦτον δεῖξαι καὶ οὕτω. Μέσος ὅρος ἐςὶν ὁ ἐν ταῖς προκειμέναις κοινὸς (κατὰ τὸν Ὁρισμόν.) Τὸ δὲ συμπέρασμα ἐςὶ σύζευξις ὅρων τῶν ἐν ταῖς προκειμέναις διαφερόντων (ΣΥΒ'.), Ἄρα ὁ μέσος ὅρος κτλ'.

*Παρ. χάρ.* *Πᾶς ἀγαθὸς στρατιώτης ἐστὶν ἄνθρωπος.*
*Ὁ Ἕκτωρ ἐστὶν ἀγαθὸς στρατιώτης*
*Ὁ Ἕκτωρ ἐστὶν ἀγαθὸς ἄνθρωπος.*

Ἐν τῷ Συλλογισμῷ τῷδε ὁ μέσος ὅρος ἐκ μέρους παρεισδύει τῷ συμπεράσματι.

## ΣΞΔ΄.

## Ἐκ μόνον μερικῶν οὐδὲν ἕπεται.

Δεικν. Ἐπεὶ γὰρ οἱ Συλλογισμοὶ πάντες ἐρείδονται τῷ κατὰ παντὸς καὶ κατὰ μηδενὸς (ΣΜ΄.), διὰ δὲ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενὸς περί τινων καταφάσκεται, ἢ ἀποφάσκεται τὸ κατὰ παντὸς τοῦ γένους, ἢ εἴδους καταφασκόμενον, ἢ ἀποφασκόμενον (ΣΜ΄.ΣΜΑ΄.). Ἑπόμενον ἐστὶ τοῦ συμπεράσματος ὄντος μερικοῦ, τὴν ἑτέραν τῶν προκειμένων εἶναι καθόλου, ὥστε ἐκ δύω μερικῶν οὐδὲν ἕπεσθαι.

Οὐχ ὑγιῶς ἔχει ἐν τῷδε τῷ Συλλογισμῷ ἡ συνέπεια.

*Τὶς ἄνθρωπος εὐσεβής,*
*Τὶς ἄνθρωπος ἐστὶν ἀσεβής, ἄρα*
*Τὶς ἀσεβὴς ἐστὶν εὐσεβής.*

## ΣΞΕ΄.

## Ἐκ μόνον ἀποφατικῶν οὐδὲν ἕπεται.

Δεικν. Ὁ γὰρ Συλλογισμός, ἐν ᾧ μόναι ἀποφατικαὶ προσλαμβάνονται, ἁμαρτάνει εἰς τὸ κατὰ μηδενός. Διὰ γὰρ τοῦ κατὰ μηδενὸς οὕτω χρὴ συμπεραίνειν, οὐκ ἀνήκει παντί, ἄρα οὐδὲ τουτωί (ΣΜΑ΄.), ἵνα δὲ δείξῃς ἀλλοτριοῦσθαι, ἤτοι ἀποφάσκεσθαί τι κατὰ τουτουῒ τοῦ ἀτόμου, ἢ τούτου τοῦ εἴδους, ὅτι τὸ αὐτὸ τοῦ γένους ἀλλοτριοῦται, ἀπαιτεῖται ἔτι δεῖξαι τὸ ἄτομον τοῦτο,

ἢ

ἢ τὸ εἶδος, ὑπὸ τὸ εἶδος ἢ γένος περιέχεσθαι, καὶ ἑπομένως ἡ ἑτέρα τῶν προκειμένων ὀφείλει εἶναι καταφατική. Κἀντεῦθεν κατανοεῖται, ἐκ μόνων ἀποφατικῶν ὐδὲν ἕπεσθαι. Παρ. χάρ. ὐκ ὀρθῶς συμπεραίνεις ὕτως ἐπιχειρῶν.

Οὐδεὶς ἀσεβὴς σώζεται,
Οὐδεὶς εὐσεβὴς ἐςὶν ἀσεβὴς, ἄρα
Οὐδεὶς εὐσεβὴς σώζεται.

## ΣΞϚ.

### Οὐκ ἂν εἴη πλέον, ἢ ἔλαττον ἐν τῷ συμπεράσματι, ἤπερ ἦν ἐν ταῖς προκειμέναις.

Δεικν. Θῶμεν πλεῖον εἶναι ἐν τῷ συμπεράσματι ἤπερ ἦν ἐν ταῖς προκειμέναις, τότε δὴ ἕτερός τις διορισμὸς, ἢ τῷ ὑποκειμένῳ ἢ τῷ κατηγορυμένῳ ἐπιγενήσεται, μὴ ἤδη προσὼν ταῖς προκειμέναις, καὶ ἑπομένως τὸ ὑποκείμενον ἢ κατηγορύμενον τῦ συμπεράσματος ἑτέραν ἐπικτήσεται σημασίαν, τῆς ἣν ἐν ταῖς προκειμέναις ἔσχε, διάφορον· καὶ ὕτω τῆς ἀλλοιωθείσης τῶν ὅρων νοήσεως τέσσαρες ὅροι ἀναφανῦνται. Ἐπεὶ δ' ἐν τῷ Συλλογισμῷ πλείυς εἶναι τῶν τριῶν ὐκ ὀφείλυσιν ὅροι (ΣΜΕ'.), ἑπόμενόν ἐςι μὴ δεῖν ἐν τῷ συμπεράσματι πλεῖον εἶναι, ἤπερ ἦν ἐν ταῖς προκειμέναις.

Ἐὰν δὲ ἔλαττον ᾖ ἐν τῷ συμπεράσματι, ἤπερ ἦν ἐν ταῖς προκειμέναις, διορισμός τις τῦ ὑποκειμένυ, ἢ τῦ κατηγορυμένυ, ὃς ἦν προσὼν ἐν ταῖς προκειμέναις, ἐν τῷ συμπεράσματι παραλειφθήσεται. Ἐξ ὗπερ ὡσαύτως ἑτέρα ἀνακύπτει τῶν ὅρων Ἔννοια, κἀντεῦθεν ἑπομένως τέσσαρες γίνονται ὅροι. Ἐπεὶ δὲ τῦτο ὐκ ἔξεςι (ΣΜΕ'.)· ἕπεται, μὴ εἶναι πλέον κτλ'.

Παρ. χάρ. Ὁ τῦ κόσμυ ὀλιγωρῶν ἀδικίας ὑπομένει,
Ὁ ἀκολυθῶν τῷ Χριςῷ ἀδικίας ὑπομένει, ἄρα
Ὁ ἀκολυθῶν τῷ Χριςῷ αἰωνίας ἀδικίας ὑπομένει.

ΣΞΖ.

## ΣΞΖ΄.

Χεῖρον μέρος τῶν προκειμένων λέγεται ἡ μερικὴ καὶ ἀποφατικὴ προκειμένη.

## ΣΞΗ΄.

Τὸ συμπέρασμα ὀφείλει ἕπεσθαι τῷ χείρονι μέρει, τουτέστιν ἐὰν ἡ ἑτέρα τῶν προτάσεων μερικὴ εἴη, ἢ ἀποφατικὴ, καὶ τὸ συμπέρασμα ὀφείλει εἶναι μερικὸν, ἢ ἀποφατικόν.

Δεικν. Θῶμεν γὰρ τὸ συμπέρασμα εἶναι καθόλου, μιᾶς τῶν προτάσεων οὔσης μερικῆς, τότε δὴ πλεῖον ἔσται ἐν τῷ συμπεράσματι, ἤπερ ἐν ταῖς προκειμέναις. Ἡ γὰρ καθόλου πρότασις πλεῖον ἀεὶ περιέχει, ἤπερ ἡ μερική. Ἐπεὶ δὲ οὐκ ὀφείλει πλεῖον εἶναι ἐν τῷ συμπεράσματι, ἤπερ ἦν ἐν ταῖς προκειμέναις, (ΣΞϚ΄.) καταφανές ἐστι τὸ συμπέρασμα οὐκ ὀφείλειν εἶναι καθόλου, ἀλλὰ μερικὸν, τῆς ἑτέρας οὔσης τῶν προκειμένων μερικῆς. Ἡ δὲ μερικὴ πρότασις λέγεται χεῖρον μέρος τῶν προτάσεων (ΣΞΖ΄.) Ἄρα τὸ συμπέρασμα ὀφείλει ἕπεσθαι τῷ χείρονι μέρει. Θῶμεν τὸ συμπέρασμα εἶναι καταφατικὸν, θατέρας τῶν προκειμένων ἀποφατικῆς οὔσης, τότε δὴ ὁ τοῦ οὕτως ἐπιχειρεῖν λόγος ἔσται κατὰ μηδενός. Διὰ γὰρ τοῦ κατὰ μηδενὸς ἀποφατέον ἐστὶ κατά τινων τὸ ἀποφασκόμενον κατὰ παντός. (ΣΜΑ΄.) Ἀπαιτεῖται οὖν τὸ κατὰ μηδενὸς Α΄. Πρότασις, ἐν ᾗ τὸ Β. ἀποφάσκεται κατὰ τοῦ Α. ἥτις ἐστὶν ἡ μείζων πρότασις, καὶ ἑπομένως ἀποφατική· Β΄, ἀπαιτεῖται πρότασις, ἐν ᾗ δείκνυται, ἤτοι καταφάσκεται τὸ Γ΄ περιέχεσθαι, ἤτοι περιλαμβάνεσθαι ὑπὸ τὸ Α. ἥτις ἐστὶν ἐλάττων πρότασις, καὶ ἑπομένως Καταφατική· Γ. ἀπαιτεῖται πρότασις, ἐν ᾗ ἀποφάσκεται τὸ Β. κατὰ τοῦ Α. ἥτις ἐστὶ τὸ συμπέρασμα, καὶ ἑπομένως ἀποφατικόν· ὥστε ἤδη σε καθορᾶν τὸ συμπέρασμα, ὀφείλειν εἶναι ἀποφατικὸν, τῆς ἑτέρας τῶν προτάσεων οὔσης ἀποφατικῆς, καὶ ἑπομένως τὸ συμπέρασμα τῷ χείρονι ἕπεσθαι μέρει, πρόδηλον.

„ Οἱ γενικώτεροι ἆτοι εἰσὶ τῶν συλλογισμῶν κανόνες, οἱ πᾶσι τοῖς συλλογισμοῖς ὁποιο-
„ δηποτῶν ἄδεις ὄντες κοινοί. Νῦν ἤδη ἐπὶ τὴν τῶν ἰδικωτέρων, ἢ τῶν ἐπὶ τὴν τῶ
„ α. χήματος ἀνάπτυξιν ἢ δεῖξιν γιγνόμεθα.

## ΣΞΘ΄.

### Ἐν τῷ πρώτῳ σχήματι ἡ μείζων πρότασις ἀεὶ ὀφείλει εἶναι καθόλε.

Δεῖξι. Διὰ τῆ κατὰ παντὸς ἔτως ἀεὶ ἐπιχειρητέον. Ὅ, τιδήποτῶν ὀρθῶς ἔχει λεγόμενον κατὰ παντὸς, ὑγιῶς λέγεται ἢ κατὰ τῶν ὑπὸ τὸ γένος, καὶ ἑπομένως ἀπὸ τῆ γένες ἐπὶ τὸ εἶδος συμπεραίνειν ὀφείλομεν (ΣΜ΄.) Τῆς δὲ μείζονος προτάσεως ἐκ ἔσης καθόλε, ἐκ ἀπὸ τῆ γένες ἐπὶ τὸ εἶδος, ἤτοι ἀπὸ τῆς ὑπαλληλέσης προτάσεως ἐπὶ τὴν ὑπαλληλωτὴν συμπεραίνομεν, καὶ ἑπομένως ὁ τοιῦτος συλλογισμὸς ἐκ ἐφαρμόττεται τῷ κατὰ παντός.

Θῶμεν τὴν μείζω πρότασιν εἶναι μερικὴν, τότε δὴ καὶ τὸ συμπέρασμα ἔςαι μερικὸν, ὅτι τῷ χείρονι μέρει ὀφείλει ἕπεσθαι (ΣΞΗ΄.), τῆ δὲ συμπεράσματος μερικῆ ὄντος, καὶ ἡ ἐλάττων ὀφείλει μερικὴ εἶναι· τὸ γὰρ συμπέρασμα, καὶ ἡ ἐλάττων πρότασις, τὸ αὐτὸ ἔχεσιν ὑποκείμενον· τῷ αὐτῷ δὴ τρόπῳ, καθ᾽ ὃν τὸ ὑποκείμενον ἐν τῷ συμπεράσματι τῷ ἑαυτῆ κατηγορεμένῳ συνάπτεται, καὶ ἐν τῇ ἐλάττονι ὀφείλει συνάπτεσθαι, ἄλλως γὰρ ἡ τῶν ὅρων λῆψις καὶ σημασία μεταβληθείη, καὶ ἑπομένως τέτταρες ἐντεῦθεν ἀναφανῆνται ὅροι, ὅπερ ἐςὶ κατὰ τῆ (ΣΜΕ΄.), ἔτω ἂν σχοίης ἄμφω μερικάς. Ἐπεὶ πρῶτον, ἐκ μερικῶν ἐδὲν ἕπεται (ΣΞΔ΄.) ἡ Ἐλάττων πρότασις τῆς μερικῆς μείζονος ἔσης, ἐ δύναται εἶναι μερικὴ, ἀλλὰ καθόλε. Ἄρα ἐὰν ἡ μείζων εἴη μερικὴ ἐν τῷ πρώτῳ σχήματι, ἡ ἐλάττων μερικὴ ἔςαι ἅμα καὶ καθόλε· μερικὴ μὲν, ὅτι τὸ ὑποκείμενον ἐν τῇ ἐλάττονι ἐκτάσει τὸν αὐτὸν τρόπον ἐν τῷ κατηγορεμένῳ ὀφείλει συνάπτεσθαι, καθ᾽ ὃν τὸ ὑποκείμενον ἐν τῷ συμπεράσματι τῷ κατηγορεμένῳ συζεύγνυται. Καθόλε δὲ, ὅτι ἐκ μερικῶν ἐδὲν ἕπεται· ἐπεὶ δὲ ἄτοπον ἐςὶ καὶ ἀδύνατον, πρότασιν τινὰ ἅμα εἶναι καθόλε καὶ μερικὴν, ἄτοπον ἔτι καὶ τὴν μείζω πρότασιν εἶναι μερικήν.

Παρ.

*Παρ. χάρ.* Οὐχ ὑγιῶς ἔχει ἡ συνέπεια τῷ ἔτως ἐπιχειρῦντι.

Τὶ ὂν ἐςὶ σῶμα,
Πᾶν πνεῦμα ἐςὶν ὄν,
Πᾶν πνεῦμα ἐςὶ σῶμα.

## ΣΟ'.

### Η' ἐλάττων πρότασις ἐν τῷ ά. σχήματι ἐκ ὀφείλει εἶναι ἀποφατικὴ, ἀλλὰ καταφατική.

Δεικν. Τῷ κατὰ μηδενὸς ἀπαιτεῖται, ὅ, τιδηποτῦν ἀποφάσκεται κατὰ τῦ γένες Α. τὸ αὐτὸ ἀποφάσκεσθαι καὶ κατὰ τῦ εἴδυς Γ. ἐν τῷ συμπεράσματι. (ΣΜΑ'.) Ε'πεὶ δ' ἐν τῷ συμπεράσματι ἐδ' ἂν δύναιο κατὰ τῦ εἴδυς Γ. ἀποφάσκειν τι, ὅπερ ἐν τῇ μείζονι προτάσει κατὰ τῦ γένες Α. ἀπέφησας, εἰμὴ δείξῃς καταφατικῶς ἐν τῇ ἐλάττονι προτάσει τὸ εἶδος Γ. περιέχεσθαι, ἤτοι περιλαμβάνεσθαι ὑπὸ τὸ γένος Α. Πρόδηλον, ὅτι ἡ ἐλάσσων πρότασις διὰ τῦ κατὰ μηδενὸς ὀφείλει εἶναι καταφατική.

Ε'νθεν τοι ἐκ ἂν εἴη σοι ὀρθὴ ἡ συνέπεια ἔτως ἐπιχειρεῖν ἐθέλοντι.

Ο', τιδηποτῦν σύνοιδεν ἑαυτῷ, ἐκεῖνο ὑπάρχει.
Α'λλ' ἔτος ὁ κόσμος ἐ σύνοιδεν ἑαυτῷ.
Α'ρα ἔτος ὁ κόσμος ἐχ ὑπάρχει.

## ΣΟΑ'.

### Ο'τε τὸ συμπέρασμα ἐν τῷ πρώτῳ σχήματι καθόλε καταφάσκει, τότε ἑκατέρα τῶν προκειμένων ὀφείλει εἶναι καθόλε Καταφατική.

Δεικν. Τεθήτω γὰρ τὸ συμπέρασμα εἶναι καθόλε καταφατικὸν, μηδετέρας τῶν προκειμένων ἔσης καθόλε καταφατικῆς, τότε δὴ ἡ μείζων

ἐκ ἔςαι καθόλε καταφατικὴ, ἢ ἡ ἐλάττων, ἢ ἑκατέρα ἅμα. Ἡ μείζων πρότασις μὴ καθόλε ἔσα καταφατικὴ, ὀφείλει εἶναι μερικὴ καταφατική· ἐπεὶ δ' ἀποδέδεικται τὴν μείζω μὴ δύνασθαι εἶναι μερικὴν (ΣΞΘ΄.) ἐναπολείπεται εἶναι καθόλε, ἐδ' ἡ ἐλάττων πρότασις δύναται εἶναι μερική· Ταύτης γὰρ ἔσης μερικῆς, καὶ τὸ συμπέρασμα ἔςαι μερικὸν (ἕπεται γὰρ τῷ χείρονι μέρει (ΣΞΗ.) ὅπερ ἐςὶ κατὰ τῆς ὑποθέσεως. Οὐδ' ἑκατέρα τῶν προκειμένων δύναται ἅμα εἶναι μερική. Οὕτω γὰρ καὶ τὸ συμπέρασμα ὀφείλει εἶναι Μερικὸν, ὅπερ ἐςὶν αὖθις κατὰ τῆς ὑποθέσεως. Ε᾿ῶ λέγειν, ὅτι ἐκ τῶν Μερικῶν ἐδὲν ἕπεται. (ΣΞΔ΄.) Λείπεται ἦν, ὅτι καθόλε ὄντος τε συμπεράσματος, ἑκατέρα τῶν προτάσεων ὀφείλει εἶναι καθόλε.

## ΣΟΒ΄.

### Ὁσάκις ἐν τῷ πρώτῳ σχήματι τὸ συμπέρασμα εἴη καθόλε ἀποφατικὸν, ἡ μείζων ὀφείλει εἶναι καθόλε ἀποφατικὴ, ἡ δ' ἐλάττων καθόλε καταφατική.

Δεικν. Ε᾿πείπερ ἡ μείζων πρότασις ἐν τῷ πρώτῳ σχήματι ἐ δύναται εἶναι μερικὴ (ΣΞΘ΄.), ὀφείλει εἶναι καθόλε, εἰδὲ ἡ μείζων ὀφείλει εἶναι καθόλε, τότε δὴ ἔςαι ἢ καταφατικὴ, ἢ ἀποφατική. Τεθήτω εἶναι ἡ αὐτὴ καταφατικὴ, τότε δὴ ἐπείπερ ἐν τῷ πρώτῳ σχήματι ἡ ἐλάττων ὀφείλει εἶναι καταφατική. (ΣΟ΄.) τὸ συμπέρασμα ἐ δύναται εἶναι ἀποφατικὸν, ἀλλὰ καταφατικόν. Τἔτο δὲ τῇ ὑποθέσει ἀντίκειται. Α῎ρα τε συμπεράσματος καθόλε ἀποφατικε ὄντος, καὶ ἡ μείζων ὀφείλει εἶναι καθόλε ἀποφατική.

Ο῞τι δὲ ἡ ἐλάττων πρότασις ὀφείλει εἶναι καθόλε καταφατικὴ, τε συμπεράσματος καθόλε ὄντος ἀποφατικε, ἕτως ἐμπεδεμεν· τὴν ἐλάττω ὀφείλειν εἶναι ἐν τῷ πρώτῳ σχήματι καταφατικὴν ἀπεδείξαμεν (ΣΟ΄.)· Καταφατικὴ δὲ ἔσα, ἢ καθόλε ἔςαι, ἢ μερική. Ε῎ςω πρῶτον, Μερικὴ Καταφατικὴ, τότε δὴ καὶ τὸ συμπέρασμα ὀφείλει εἶναι μερικὸν, ὅτι τὸ συμπέρασμα καὶ ἡ ἐλάττων πρότασις ἓν καὶ τὸ αὐτὸ ὑποκείμενον ἔχεσιν, ὅπερ τὸν

αὐτὸν

αὐτὸν τρόπον ἐν τῇ ἐλάττονι ὀφείλει συζεύγνυσθαι τῷ οἰκείῳ κατηγορημένῳ, καθ' ὃν ἐν τῷ συμπεράσματι συνῆπται τῷ κατηγορημένῳ, ἐπεὶ δὲ τὸ συμπέρασμα ἐνταῦθα καθόλε ἀποφατικῶς προσλαμβάνομεν, ἢ δύναται εἶναι μερικόν, καὶ ἑπομένως ἡ ἐλάττων πρότασις τῦ συμπεράσματος καθόλε ἀποφατικῦ ὄντος, ὀφείλει εἶναι καθόλε Καταφατική.

## ΣΟΓ'.

### Τῦ συμπεράσματος ἐν τῷ ά. σχήματι μερικῦ καὶ καταφατικῦ ὄντος, ἡ μείζων ὀφείλει εἶναι καθόλε καὶ καταφατική. ἡ δὲ ἐλάττων μερικὴ καὶ καταφατική.

Δείκν. Ἐν τῷ ά. σχήματι ἡ ἐλάττων καὶ τὸ συμπέρασμα ἓν καὶ τὸ αὐτὸ ὑποκείμενον ἔχεσι· καὶ ἑπομένως ἡ ἐλάττων καὶ τὸ συμπέρασμα τῆς αὐτῆς εἰσι ποσότητος. Ἄλλως γὰρ ἂν τὸ αὐτὸ ὑποκείμενον ἤτοι ὁ αὐτὸς ὅρος διαφόρως λαμβάνοιτο. Ἐκ ταύτης δὲ τῆς διαφόρε λήψεως τεσσάρων ἀναφαινομένων τῶν ὅρων κατὰ τῦ (ΣΜΕ'.) κατανοεῖται, ὅτι ἐν τῷ πρώτῳ σχήματι κτλ'.

Ἔτι ἐπείπερ ἡ ἐλάττων ἀεὶ καταφατικὴ εἶναι ὀφείλει ἐν τῷ πρώτῳ σχήματι (ΣΟ'.), ἕπεται τῦ συμπεράσματος μερικῦ καταφατικῦ ὄντος καὶ τὴν ἐλάττω εἶναι μερικὴν καταφατικήν· καὶ ἐν ταύτῃ τῇ περιστάσει ἡ μείζων εἶναι ὀφείλει καθόλε. Μερικῆς γὰρ ἔσης μερικὰς προκειμένας ἕξεις, ἐξ ὧν ἐδὲν ἕπεται (ΣΞΔ'.)· Ἀποφατικῆς δ' ἔσης τῆς αὐτῆς καὶ τὸ συμπέρασμα ἔσαι τοιῦτον ὡς ἑπόμενον τῷ χείρονι μέρει (ΣΞΗ'.), Ἄρα τῦ συμπεράσματος μερικῦ καταφατικῦ ὄντος ἡ μείζων ὀφείλει εἶναι καθόλε Καταφατική.

## ΣΟΔ'.

### Ὁσάκις ἐν τῷ πρώτῳ σχήματι τὸ συμπέρασμα ᾖ μερικὸν ἀποφατικόν, τοσάκις ἡ μείζων ὀφείλει εἶναι ἀποφατικὴ καὶ καθόλε· ἡ δ' ἐλάττων Μερικὴ Καταφατική.

Δείκν. Τῦ συμπεράσματος ἀποφατικῦ ὄντος, ἡ ἑτέρα τῶν προτάσεων ὀφείλει εἶναι Ἀποφατικὴ (ΣΟΒ'.)· Ἐπειδὴ ἐν τῷ πρώτῳ σχήματι ὀφείλει εἶ-

ται Καταφατική (ΣΟ΄.)· Καταφανὲς, ὅτι τοῦ συμπεράσματος ὄντος ἀποφατικοῦ, καὶ ἡ μείζων ὀφείλει εἶναι Ἀποφατική· εἰ δὲ τοῦ συμπεράσματος μερικοῦ ὄντος ἀποφατικοῦ, καὶ ἡ ἐλάττων ὀφείλει εἶναι Μερική. ὅτι αὕτη τε καὶ τὸ συμπέρασμα τὸ αὐτὸ ὑποκείμενον ἔχουσι, καὶ ἑπομένως ἔτι τὴν αὐτὴν ὀφείλουσιν ἔχειν ποσότητα. Ἡ δ' ἐλάττων ἐςὶ μερική, ὀφείλει εἶναι μερικὴ Καταφατική. (ΣΟ΄.) Ἄρα τοῦ συμπεράσματος ὄντος Μερικοῦ Ἀποφατικοῦ, ἡ ἐλάττων ὀφείλει εἶναι Μερικὴ Καταφατική. Καὶ ἐπειδήπερ ἡ Μείζων ὀφείλει εἶναι Ἀποφατικὴ (κατὰ τὰ ἀποδειχθέντα·), ἐκ δὲ μερικῶν οὐδὲν ἕπεται (ΣΞΔ΄.), λείπεται ἤδη τὴν μείζονα, τοῦ συμπεράσματος μερικοῦ ἀποφατικοῦ ὄντος, καθόλου εἶναι Ἀποφατικήν.

## ΣΟΕ΄.

Σπεύδομεν ἤδη ἐπὶ τοὺς κανόνας τοῦ δευτέρου σχήματος. Ἐπὶ τοῦ δευτέρου σχήματος ἡ Μείζων ἀεὶ ὀφείλει εἶναι Καθόλου. Ὁ λόγος τουτοῦ τοῦ Κανόνος ὁ αὐτός ἐςι τῷ ἀποδοθέντι (ΣΞΘ΄.) ἔνθα ἀπεδείκνυμεν τὴν μείζω ἐν τῷ πρώτῳ σχήματι ἀεὶ ὀφείλειν εἶναι καθόλου.

Παρ. χάρ. Οὐχ ἕπεται ἀληθὲς τῷ ἐπὶ τοῦ β. σχήματος οὕτως ἐπιχειροῦντι.

> *Τὶς οὐσία ἐςὶ πνεῦμα.*
> *Οὐδὲν σῶμα ἐςὶ πνεῦμα.*
> *Τὶ σῶμα οὐκ ἔςιν οὐσία.*

## ΣΟς΄.

### Ἐν τῷ δευτέρῳ σχήματι τὸ συμπέρασμα ἀεὶ ὀφείλει εἶναι ἀποφατικόν.

Δείκν. Ἐπεὶ γὰρ ἐν τῷ δευτέρῳ σχήματι ἡ ἑτέρα τῶν προκειμένων, ἀείποτ' ἐςὶ Ἀποφατική, τὸ δὲ συμπέρασμα ὀφείλει ἕπεσθαι τῷ χείρονι μέρει (ΣΞΗ΄.)· ἑπόμενόν ἐςι καὶ τὸ συμπέρασμα ἐν τῷ δευτέρῳ σχήματι εἶ-

και Ἀποφατικόν· ἡ γὰρ Ἀποφατικὴ πρότασις ἐπὶ τὸ χεῖρον μέρος τῶν προκειμένων ἀνάγεται.

## ΣΟΖ΄.

Ἐν τῷ τρίτῳ σχήματι ἡ ἐλάττων ἔςω ἀεὶ Καταφατική.

„ Τὸν τοῦδε τοῦ Κανόνος λόγον ἀποδόντες ἐν τῷ (ΣΘ.) ἔνθα ἀπεδεικνύομεν ἐν τῷ πρώ-
„ τῳ σχήματι τὴν ἐλάττω πρότασιν ὀφείλειν εἶναι Καταφατικήν.

## ΣΟΗ΄.

Ἐν τῷ τρίτῳ Σχήματι τὸ Συμπέρασμα ἔςω ἀεὶ μερικόν.

Δεῖκν· Ἐπεὶ γὰρ ἐν τῷ τρίτῳ Σχήματι ἡ ἑτέρα τῶν προτάσεων ἀείποτε ἐςὶ Μερική, ἡ δὲ Μερικὴ ἐπὶ τὸ χεῖρον μέρος τῶν προκειμένων ἀνάγεται (ΣΞΖ΄.) καὶ τὸ συμπέρασμα ὀφείλει τὸ χεῖρον μέρος ζηλοῦν (ΣΞΗ΄.), ἕπεται ἐν τῷ γ. σχήματι τὸ συμπέρασμα εἶναι ἀεὶ μερικόν.

## ΣΟΘ΄.

Διείληπται ἡμῖν μέχρι τοῦδε περὶ τῶν συλλογιςικῶν σχημάτων, καὶ τῶν κανόνων ἑκάςου σχήματος. Ἐπεὶ δὲ αἱ προτάσεις ἐν ἑκάςῳ σχήματι κατά τε ποσότητα καὶ ποιότητα, ἄλλως καὶ ἄλλως διατίθενται, καὶ ἔτι κοινὰ ἐντεῦθεν τῶν συλλογισμῶν γίγνεσθαι εἴδη εὑρίσκομεν, τὰ κοινὰ ταῦτα τῶν συλλογισμῶν εἴδη ἐκ τῆς διαφόρου τῶν τριῶν προτάσεων γενόμενα διαθέσεως διὰ βραχέων ὀψόμεθα.

## ΣΠ΄.

Τὰ δὲ κοινὰ ταῦτα τῶν συλλογισμῶν εἴδη ὑπὸ διωρισμένον τύπον, ὥσπερ ὑπὸ γένος περιεχόμενα τῶν συλλογισμῶν τρόποι λέγονται, ὥςε τὸν τρό-

πον ὁριζόμεθα εἶναι διάθεσιν τῶν τριῶν προτάσεων κατὰ τὰς τέσσαρας ταύτας διαφοράς. Α. Ε. Ι. Ο.

,, *Τὰ τέσσαρα ταῦτα ἐχνήεντα τὴν διαφορὰν τῶν προτάσεων τῷ λόγῳ τῆς ποσότητος*
,, *ϗ ποιότητος ἐνδεικνῦντα δύνανται ἐν ταῖς τρισὶ προτάσεσι πολλαπλασίῳ διατίθε-*
,, *σθαι λόγῳ, ὅπερ δείκνυσιν ὁ Λεϊβνίτζιος περὶ τῆς συνδυαστικῆς τέχνης πρόβλ. Β.*
,, *ἄρθ 15. σελ. 13. Ἑξήκοντα πρὸς τοῖς τέτταρσι τῶν φανέντων τέτων ἐν ταῖς*
,, *τρισὶ προτάσεσι μεταθέσεις εἶναι δυνατὰς δείκνυσιν ὁ Ἄνσχιος ϗ ὁ Κρόσας ὡσαύ-*
,, *τως ἐν τῇ Λογ. σελ. 572. Τοῦτοι ἐν ἔτι τρόποι εἰσὶ δυνατοὶ ἐξ ὧν τινες μόνον εἰσὶν*
,, *οἱ κατὰ Κανόνας συλλογιστικὰς σχηματιζόμενοι, ϗ ἐν συλλογισμοῖς ὀρθοῖς λαμβάνε-*
,, *σθαι δυνάμενοι. Οἱ ὀρθοὶ τοιγαρῦν ϗ συμπεραίνοντες τρόποι τῶν μὴ τοιέτων διαγι-*
,, *νώσκονται κατὰ τὰς ἐν τοῖς ἀνωτέρω ἀποδειχθέντας Κανόνας. Οἱ Ἀριστοτελικοὶ*
,, *λέξεσί τισι τὰς τρόπους τέτους δηλῦντες ἀπέκαλζον, ἐν οἷς τὰ μὲν φωνήεντα τὴν*
,, *ποσότητα ϗ ποιότητα σημαίνεσι τῶν προτάσεων, τὰ δὲ σύμφωνα πρόσκειται, ἵνα*
,, *τῇ μνήμῃ εὐπαράδεκτα ὦσι, λυσιτελῦσι δ' ἡμῖν παρὰ ταῦτα αἱ φωναὶ αὗται ἐπὶ*
,, *τὸ δύνασθαι παραχρῆμα γινώσκειν ποσαχῶς αἱ προκείμεναι τῷ λόγῳ τῆς ποσότη-*
,, *τος ϗ ποιότητος ποικίλεσθαι δύνανται.*

## ΣΠΑ΄.

Τὰ τῶν Σχολαστικῶν ὀνόματα, δι' ὧν τὰς τρόπους τῶν συλλογισμῶν καὶ τὰ ποικίλα εἴδη ἐδήλεν τοῖς ἑπομένοις γράμμασι περιλαμβάνονται.

## ΣΠΒ΄.

Τῶν ἐφ' ἑκάστε Σχήματος Συλλογιστικῶν τρόπων παραδείγματα ὑποζεύγνυμεν, ἵνα μήτι ἀσαφείας ἐναπομείνῃ.

### Τῦ Α΄. Σχήματος.

*Γράμ-* Πᾶν πάθος ταράττει τὴν προσοχήν.
μα Πᾶσα ὀργὴ ἐςὶ πάθος, ἄρα
τα Πᾶσα ὀργὴ ταράττει τὴν προσοχήν.

Οὐδὲν

| | |
|---|---|
| Θί | Οὐδὲν ὂν ἁπλῶν ἐσχημάτισαι. |
| α | Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ὂν ἁπλῶν, ἄρα |
| σι. | Οὐδεμία ἀνθρωπίνη ψυχὴ ἐσχημάτισαι. |
| Ρα | Πᾶς σπυδαῖος ἐςὶν εὐδαίμων |
| υί | Τὶς ἄνθρωπός ἐςι σπυδαῖος, ἄρα |
| δι. | Τὶς ἄνθρωπός ἐςιν εὐδαίμων. |
| Τι | Οὐδεὶς ἀσεβὴς σώζεται |
| χυι | Τὶς ἄνθρωπός ἐςιν ἀσεβὴς, ἄρα |
| κός. | Τὶς ἄνθρωπος ὐ σώζεται. |

## Τῦ Β΄. Σχήματος.

| | |
|---|---|
| Θέ | Οὐδεμία ἀρετὴ τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει, |
| ΝΑ. | Πᾶς φθόνος τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει, ἄρα |
| ζε. | Οὐδεὶς φθόνος ἐςὶν ἀρετή. |
| Θάμ. | Πᾶς φιλόσοφος τὴν τῦ Θεῦ ὕπαρξιν πιςεύει, |
| βε | Οὐδεὶς ἄθεος τὴν τῦ Θεῦ ὕπαρξιν πιςεύει, ἄρα |
| νον. | Οὐδεὶς ἄθεός ἐςι φιλόσοφος. |
| Τί | Οὐδεὶς φιλόσοφος καταπολεμεῖ τὴν ὕπαρξιν τῦ Θεῦ, |
| νι | Τὶς ἄνθρωπος καταπολεμεῖ τὴν ὕπαρξιν τῦ Θεῦ, ἄρα |
| ο. | Τὶς ἄνθρωπος ὐκ ἔςι φιλόσοφος. |
| Γρά | Πᾶς φιλόσοφος τῇ Προνοίᾳ τῦ Θεῦ παραχωρεῖ, |
| ψο | Τὶς ἄνθρωπος τῇ Προνοίᾳ τῦ Θεῦ ὐ παραχωρεῖ· ἄρα |
| δο. | Τὶς ἄνθρωπος ὐκ ἔςι φιλόσοφος. |

## Τῦ Γ΄. Σχήματος.

| | |
|---|---|
| Σά | Πᾶς εὐσεβὴς σώζεται, |
| βα | Πᾶς εὐσεβὴς ἐςὶν ἄνθρωπος, ἄρα |
| σι. | Τὶς ἄνθρωπος σώζεται. |
| Τέ | Οὐδεμία κακία τὴν τῆς ψυχῆς εὐθυμίαν προάγει, |
| τα | Πᾶσα κακία ἔνεςι τῷ ἀνθρώπῳ, ἄρα |
| πο. | Τὶ ἐνὸν τῷ ἀνθρώπῳ τὴν τῆς ψυχῆς εὐθυμίαν ὐ διώκει. |
| Σπιν. | Τὶς κακία τὸ ἡμέτερον σῶμα λυμαίνεται, |
| θα | Πᾶσα κακία τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττει, ἄρα |
| μίν. | Τὶ τὴν τῆς ψυχῆς εὐθυμίαν ταράττον τὸ ἡμέτερον σῶμα λυμαίνεται. |

| | |
|---|---|
| Σά | Πᾶν πάθος ἐςὶν ὄρεξις, ἢ ἀποςροφὴ |
| φι | Τὶ πάθος ἐςὶ καθ᾽ αὐτὸ κακὸν· ἄρα |
| νι. | Τὶ καθ᾽ αὐτὸ κακὸν ἐςὶ ὄρεξις, ἢ ἀποςροφή. |
| Γορ | Τὶ πάθος ὐκ ἔςι καλόν· |
| γά | Πᾶν πάθος ἐςὶν ὄρεξις, ἄρα |
| δο. | Τὶς ὄρεξις ὐκ ἔςι καλόν. |
| Τε | Οὐδεμία κακία τὴν ἡμετέραν εὐδαιμονίαν παράγει. |
| ρω | Τὶς κακία ἐςὶν ἡδύ· ἄρα |
| θο. | Τὶ ἡδὺ ὐ τὴν ἡμετέραν εὐδαιμονίαν παράγει. |

„ Οὐ δεῖ ἐνταῦθα τὺς τρόπυς τῦ Δ΄. Σχήματος ἰδικῶς ἀριθμῆσαι· σπανιώτεροι γὰρ „ ἀπαντῶσιν οἱ Συλλογισμοὶ τῦ Δ΄. Σχήματος, ὐδ᾽ οἱ τρόποι οἱ παρά τισιν ἐν- „ ταῦθα μνημονευόμενοι πλεῖςον ἡμῖν συντελῦσιν, ὐ ϗ τῇ μνήμῃ αὐτὺς ἐντυπῶσαι- „ μεν, ἀμέλει τοι ὡς ὑπεμνήσαμεν ἤδη οἱ ἀριθμηθέντες τρόποι οἰκεῖοι ἡμῖν ἀποδεδό- „ θασαν, ὡς ἂν γινώσκωμεν εὐχερέςερον, ὅπως τῶν ὀρθῶν οἱ μὴ τοιῦτοι Συλλογι- „ σμοὶ διακρίνονται, ἐὰν δηλονότι φανῇ ἐντα παρῇ μηδενὶ τῶν ἀριθμηθέντων τρόπων „ ἀνήκοντα, τὸν Συλλογισμὸν ὐκ ἐφαρμόττειν ἐπί τινα τρόπον.

## ΣΠΓ΄.

### Ἐκ τύτων ἤδη καταφανὲς τὸ πρῶτον Σχῆμα εἰς ἐπιφορὰν πάντων τῶν συμπερασμάτων ὁποιασδηποτῦν ὄντων ποιότητος καὶ ποσότητος ἐξαρκεῖν.

Δείκν. Ἐπεὶ γὰρ τὸ συμπέρασμα πρότασίς ἐςι τῦ συλλογισμῦ ἐκ τῆς συζεύξεως τῶν ἐν ταῖς προκειμέναις τῦ συλλογισμῦ διαφόρων ὅρων λαμβανομένη (ΣΞΒ΄.)· πᾶσα δὲ πρότασις ἢ καθόλυ καταφατική ἐςιν, ἢ καθόλυ ἀποφατική, ἢ μερικὴ καταφατική, ἢ μερικὴ ἀποφατικὴ (ΣΙΗ΄.)· ἑπόμενόν ἐςι, ϗ τὸ συμπέρασμα, ἢ καθόλυ εἶναι καταφατικὸν, ἢ καθόλυ ἀποφατικὸν, ἢ μερικὸν καταφατικὸν, ἢ μερικὸν ἀποφατικόν. Ἐν ὁτῳδήποτε τοιγαρῦν σχήματι συμπεράσματα καθόλυ καταφατικὰ, ϗ καθόλυ ἀποφατικὰ, καὶ ἔτι μερικὰ καταφατικὰ, καὶ μερικὰ ἀποφατικὰ, τὸ σχῆμα ἐκεῖνο εἰς ἐπιφορὰν συμπερασμάτων ὁποιασδηποτῦν ποσότητος καὶ ποιότητος ἐξαρκεῖ. Ἀλλ᾽ ἐν τῷ

πρώ-

πρώτῳ σχήματι ἐπιφέρονται συμπεράσματα καθόλου καταφατικά, ὥσπερ ὁ τρόπος, Γραμματα, καὶ καθόλου ἀποφατικά, ὥπερ ἐκ τοῦ Θέναζε, ὁρᾷς· ἔτι δὲ μερικὰ καταφατικά, ὥσπερ ὁ τρόπος, Σαρινι, δείκνυσι, καὶ τέλος μερικὰ ἀποφατικά, ὥσπερ ὁ τρόπος, Τεχνικὸς, κατατείνει· ἄρα τὸ πρῶτον σχῆμα εἰς ἐπιφορὰν πάντων τῶν συμπερασμάτων ὁποιασδηποτοῦν ὄντων ποιότητος καὶ ποσότητος ἐξαρκεῖ.

## ΣΠΔ΄.

### Ἐκ τούτων κατανοεῖται ὀρθῶς τὸ πρῶτον σχῆμα ὑπολαμβάνεσθαι τελεώτατον, καὶ τῶν λοιπῶν παραπολὺ διαφέρειν.

Δεικν. Ἐπεὶ γὰρ ἐν τῷ πρώτῳ σχήματι συμπεράσματα ὁποιασδηποτοῦν ποσότητος καὶ ποιότητος ἐπιφέρονται (ΣΠΓ΄.) ἐκεῖνο τὸ σχῆμα εἰκότως ἀντὶ πρώτου καὶ τελεωτάτου λαμβάνεται, ἐν ᾧ παντὸς γένους συμπεράσματα δείκνυσθαι δύνανται, ἀμφιβολίας ἐκτὸς τὸ πρῶτον σχῆμα ὀρθῶς ὑπολαμβάνεσθαι τελεώτατον. Ἔτι ἐπείπερ ἐν τοῖς λοιποῖς σχήμασιν οὐ παντὸς γένους συμπεράσματα ἐμπεδοῦσθαι καὶ ἐπιφέρεσθαι δυνατὸν, ἐν γὰρ τῷ δευτέρῳ σχήματι Ἀποφατικὰ μόνον (ΣΟϚ΄.), καὶ ἐν τῷ τρίτῳ μερικὰ συμπεράσματα ἔσχηκας (ΣΟΗ΄.)· πρόδηλον, ὅτι τὸ πρῶτον σχῆμα τῶν ἄλλων ὑπερανέστηκεν.

„ Ὅθεν α΄. τῶν Λογικευομένων τινὲς τῷ πρώτῳ μόνῳ ἠρκέσθησαν σχήματι, ὡς ἁπλουστάτῳ τι καὶ φυσικωτάτῳ, καὶ τοῖς κατὰ παντὸς καὶ κατὰ μηδενὸς κανόσιν ὀρθῶς ἑπομένῳ. β΄. τοὺς τῶν λοιπῶν σχημάτων συλλογισμοὺς λίαν ἐπιτηδείως ἐπὶ τοὺς τῷ πρώτῳ ἀνάγεσθαι λέγουσιν. Ἔστι δὲ ἀναγωγὴ τῶν συλλογισμῶν μέθοδος διαμορφωτικὴ τῶν συλλογισμῶν, καθ᾿ ἣν οἱ τοῦ δευτέρου, καὶ τρίτου, καὶ τετάρτου σχήματος ἐπὶ τοὺς τῷ πρώτῳ μεταποιοῦνται, καὶ κατὰ τὰς συνεπείας τοῦ α. σχήματος τῷ κατὰ παντὸς καὶ μηδενὸς εἰδοποιοῦνται. Παρ. χαρ. Λάβε μοι τὸν συλλογισμὸν τοῦ δευτέρου σχήματος.

Οὐδεὶς φθονερὸς εὐθυμίαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται,
Πᾶς σπουδαῖος εὐθυμίαν τῇ αὐτοῦ ψυχῇ περιποιεῖται.
Ἄρα οὐδεὶς σπουδαῖος ἐστὶ φθονερός.

Ἐν τούτῳ δὲ τῷ συλλογισμῷ, ὡς ὁρᾷς, ὁ μέσος ὅρος ἐν ἑκατέρᾳ τῶν προκειμένων κατηγορεῖται, συλλογισμὸν συνιστῶν τοῦ β΄. σχήματος. Τοῦτον οὖν ἀντιστρέφοντες καὶ ἐπὶ τὸ α΄. σχῆμα ἀνάγοντες τὸν ἑπόμενον ἐπιτελοῦμεν Συλλογισμόν,

Οὐδεὶς τῇ ἑαυτοῦ ψυχῇ εὐθυμίαν περιποιούμενος, ἐστὶ φθονερός·
Πᾶς σπουδαῖος τῇ ἑαυτοῦ ψυχῇ εὐθυμίαν περιποιεῖται.
Ἄρα οὐδεὶς σπουδαῖος ἐστὶ φθονερός·

Πλείω περὶ τῆς ἀναγωγῆς τῶν συλλογισμῶν ἐπάξομεν ἐν τῇ ἀναπτύξει, καὶ τὰ παραδοθέντα δαψιλέστερον τοῖς ἀρχαίοις περὶ ποικίλων τρόπων τῆς Ἀναγωγῆς τῶν Συλλογισμῶν, ἀκριβῶς τε καὶ σαφῶς ἐκδηλώσομεν.

# ΚΕΦΑΛΑΙΟΝ Η.

ΠΕΡΙ

## ΣΥΛΛΟΓΙΣΜΩ͂Ν ΟΥ̓Κ ἘΥΤΆΚΤΩΝ

## ΚΑἸ ΠΕΡἸ ἈΜΈΣΩΝ ΣΥΝΕΠΕΙΩ͂Ν.

## [ΠΑΡΆΓΡΑΦΟΝ ΣΠΕ΄.]

Περὶ συλλογισμῶν τῶν ὅσοις τεταγμένων σχήματος ἐγίνετο λόγος μέχρι τῦδε διείληπται. Ἐπεὶ δ' ἔντισι τῶν συλλογισμῶν τὸ τακτικὸν ἀποκρύπτεσθαι σχῆμα συμβαίνει, καὶ ἀποχωρεῖν τῦ αὐτῦ, περὶ τύτων ἤδη ταυνῦν ἐκθησόμεθα.

### ΣΠϛ΄.

Ὁ Συλλογισμὸς, ἐν ᾧ τὸ τακτικὸν σχῆμα λέληθε, λέγεται Κρυπτικὸς, τὸ δὲ τακτικὸν σχῆμα ἐν Κρυπτικῷ συλλογισμῷ τριχῶς ἀποκρύπτεται Α΄. διὰ μεταθέσεως τῶν προτάσεων. Παρ. χάρ.

*Ἐλάττων.* Τὶς ἄνθρωπος τοῖς ἐχθροῖς τὰς ἀδικίας ἀφίησι.]
*Μείζων.* Πᾶς ὁ τοῖς ἐχθροῖς τὰς ἀδικίας ἀφιὲς ἐςὶ γενναῖος,
*Ἄρα* Τὶς ἄνθρωπός ἐςι γενναῖος.

Οἱ τοιῦτοι συλλογισμοὶ τοῖς ῥήτορσι μάλιςα συνήθεις εἰσὶ τέχνην οἰομένοις τὸ κρύπτειν τέχνην. Ὅρα Βεργέρυ Διάλεξ. περὶ κρύψεως ῥητορικῆς. Β΄. τὸ κρυπτικὸν σχῆμα δι' ἰσοδυναμίας τῶν προτάσεων ἀποκρύπτεται.

Παρ.

Παρ. χάρ. *Πᾶς σπυδαῖος ἐςὶν εὐδαίμων,*
*Πᾶς σώφρων ἀρετῇ κεκόσμηται.*
*Ἄρα ὁςισῦν σωφροσύνης ἐςὶν ἱερᾶς εὐδαιμονίας ἐςι μέτοχος*

Γ'. Τὸ τακτικὸν σχῆμα λανθάνει διὰ παραλείψεως ἑτέρας τῶν προκειμένων.

Παρ. χάρ *Ο' Καῖος ἐςὶν σπυδαῖος,*
*Ἄρα ὁ Καῖος ἐςὶν εὐδαίμων.*

Ἐνταῦθα ἡ μείζων πρότασις παραλείπεται, δηλαδὴ αὐτη. Πᾶς σπυδαῖος ἐςὶν ευδαίμων.

## ΣΠΖ'.

Ο' κρύπτικὸς συλλογισμὸς, ἐν ᾧ ἡ ἑτέρα τῶν προκειμένων ἄπεςιν, Ε'νθύμημα, ἤτοι ἐνθυμηματικὸς συλλογισμὸς λέγεται.

## ΣΠΗ'.

*Ἐὰν ἐν τῷ ἐνθυμήματι ἡ προκειμένη καὶ τὸ σομπέρασμα ἐν καὶ τὸ αὐτὸ ὑποκείμενον ἔχωσιν, ἡ μείζων πρότασις ἄπεςιν· ἐὰν δὲ ἡ προκειμένη καὶ τὸ συμπέρασμα ἐν καὶ τὸ αὐτὸ κατηγορύμενον ἔχωσιν, ἄπεςιν ἡ ἐλάττων.*

Δεικν. Ἐν τῷ ἐνθυμήματι ἀείποτε ἄπεςιν ἡ ἑτέρα τῶν προκειμένων (ΣΠΖ'.)· ἐλλείπει ἂν ἢ ἡ μείζων, ἢ ἡ ἐλάττων (ΣΝΑ'.), ἐλάττων δὲ πρότασίς ἐςιν, ἐν ᾗ τὸ αὐτὸ ὑποκείμενον, ὃ καὶ ἐν τῷ συμπεράσματι φαίνεται, τῷ μέσῳ ὅρῳ συνάπτεται (ΣΝ'.)· Ἐὰν ἄρα ἐπὶ τῦ ἐνθυμήματος ἡ ἑτέρα τῶν προκειμένων ἀπῇ, ἐν ᾗ τὸ αὐτὸ ὑποκείμενον εὑρίσκεται, ὅπερ ἐςὶν ἐν τῷ συμπεράσματι, ἡ ἐλάττων πάρεςιν ἐν τῷ ἐνθυμήματι, καὶ ἑπομένως ἡ μείζων

ζων ἐλλείψει. Ἔτι ἐπείπερ μείζων πρότασίς ἐςιν, ἐν ᾗ τὸ αὐτὸ κατηγορούμενον τῷ μέσῳ ὅρῳ συζεύγνυται, ὅπερ ἐπὶ τοῦ συμπεράσματος καθορᾶται (ΣΜΘ΄.)· ἑπόμενόν ἐςι τηνικαῦτα τῷ ἐνθυμήματι παρεῖναι τὴν πρότασιν, ἡνίκα τὸ κατηγορούμενον τῆς προκειμένης καὶ τοῦ συμπεράσματος ἓν καὶ τὸ αὐτὸ ᾖ, καὶ ἑπομένως ἡ ἐλάττων ἄπεςιν, ὅτε τὸ κατηγορούμενον τῆς προκειμένης, καὶ τοῦ συμπεράσματος ἓν καὶ τὸ αὐτὸ ᾖ.

Πᾶς σπουδαῖος ἐςὶν εὐδαίμων, ἄρα
Πᾶς σώφρων ἐςὶν εὐδαίμων.

Ἐπὶ τοῦδε τοῦ ἐνθυμήματος ἄπεςιν ἡ ἐλάττων, ὅτι κατηγορούμενά ἐςι τὰ αὐτά. Ὁ ὁλόκληρος συλλογισμὸς ἐν τῷ τεταγμένῳ σχήματι ἔςαι ὁ ἑπόμενος.

Πᾶς σπουδαῖος ἐςὶν εὐδαίμων
Πᾶς σώφρων ἐςὶ σπουδαῖος, ἄρα·
Πᾶς σώφρων ἐςὶν εὐδαίμων.)

Εἰ δ' εἴποις.

Πᾶς σώφρων ἐςὶ σπουδαῖος, ἄρα
Πᾶς σώφρων ἐςὶν εὐδαίμων.

Ἡ μείζων ἐλλείψει πρότασις ὧδέ πως ἀναπληρωθησομένη·

Πᾶς σπουδαῖος ἐςὶν εὐδαίμων,
Πᾶς σώφρων ἐςὶ σπουδαῖος· ἄρα
Πᾶς σώφρων ἐςὶν εὐδαίμων.

Ἐνταῦθα ἀνάγουσι καὶ τὸν συνεςαλμένον συλλογισμὸν, ἐν ᾧ τὸ συμπέρασμα μόνον πάρεςι, προσκειμένου τοῦ μέσου ὅρου. Παρ. χάρ. Ἐννοῶ, ἄρα εἰμί· τουτέςιν, ὅτι ἐγὼ ἐννοῶ, διὰ τοῦτο ἐγὼ εἰμί· ἐνταῦθα ἐλάττων ὅρος ἐςιν, ἐγὼ, μείζων, εἰμὶ, καὶ μέσος ἐννοῶ. Ὁλόκληρος ἐν συλλογισμὸς ἐν τεταγμένῳ σχήματι ὁ ἑπόμενος ἔςαι.

Ὅ,τι διανοεῖται ἐννοεῖ, ἐκεῖνο ἐςί,
Ἀλλ' ἐγὼ ἐννοῶ· ἄρα
Ἐγὼ εἰμὶ, ἤτοι ὑπάρχω.

ΣΠΘ΄.

## ΣΠΘ'.

Ε'πὶ τὲς συλλογισμὲς τῦ τεταγμένε ἐκπίπτοντας σχήματος ἀνάγομεν καὶ τὲς συνθέτες συλλογισμές. Συλλογισμὸς δὲ σύνθετος ἐςιν, ἐν ᾧ ἡ ἑτέρα, ἢ ἀμφότεραι αἱ προτάσεις σύνθετοι εἰσί.

## ΣΥ'.

**Τριπλῦς δίδοται σύνθετος συλλογισμός. Υ'ποθετικὸς, Διαζευκτικὸς, ϗ Συνδυαςικός.**

Δεικν. Ε'πείπερ Σύνθετος Συλλογισμὸς ἐςιν ὁ συνθέτῳ προτάσει συνιςάμονος (ΣΠΘ'.), τριπλῆ δ' ἐςιν ἡ σύνθετος πρότασις, ὑποθετικὴ, διαζευκτικὴ, καὶ συνδυαςικὴ (ΡΥΖ'.)· πρόδηλον καὶ τὸν σύνθετον συλλογισμὸν τριπλῦν δίδοσθαι, ὑποθετικὸν ἀμέλει, διαζευκτικὸν, καὶ συνδυαςικόν. Περὶ ἑκάςȣ τέτων διαληψόμεθα εἰδικώτερον.

## ΣΥΑ'.

Συλλογισμὸς ὑποθετικὸς ἐςιν, ἐν ᾧ ἡ Μείζων πρότασίς ἐςιν ὑποθετικὴ Παρ. χάρ. Εἰ ὁ ἄνθρωπός ἐςι Λογικὸς, ἕπεται, ὅτι ἐςὶν καὶ ἐλευθερίας δεκτικὸς, ἀλλ' ἐςι Λογικὸς, ἄρα ἐςὶ καὶ ἐλευθερίας δεκτικός.

## ΣΥΒ'.

Ε'πείπερ ὑποθετικὸς Συλλογισμός ἐςιν, ἐν ᾧ ἡ Μείζων ἐςὶν ὑποθετικὴ (ΣΥΑ'.), ἡ δὲ ὑποθετικὴ πρότασις ἐπὶ τὰς συνθέτες ἀνάγεται· (ΡΥΗ'.) Πᾶσα δὲ πρότασις σύνθετος πλείες ἅμα περιέχει προτάσεις (ΡΥΖ'.)· πρόδηλον, ὅτι ἡ τῦ ὑποθετικῦ συλλογισμῦ πρότασις πλείες ἅμα περιέχει· ἡ δὲ πρότασις ἡ μόριον ὑποθετικὸν ἑαυτῇ προσκείμενον ἔχȣσα, ἤτοι ἡ ὑπόθεσιν περὶ τῦ ὑποκειμένε ἐξαγγέλȣσα, καθ' ἣν αὐτῷ τὸ κατηγορȣμενον ἀνή-

ἀνήκει, ἢ μὴ ἡγύμενον λέγεται. Ἐν ᾗ δὲ τὸ κατηγορήμενον ἀποδίδοται τῷ ὑποκειμένῳ, ἑπόμενον λέγεται· ἡ δὲ μεταξὺ τῦ ἡγυμένυ καὶ τῦ ἑπομένυ συνάφεια, συνέπεια λέγεται.

„ Παρ. χάρ. Εἰ ὁ Κόσμος ἐςὶν ὂν ἐνδεχόμενον, αἰτίαν ἔσχηκεν ἐκτὸς ἑαυτῦ ἐν τῇ „ ὑποθετικῇ προτάσει ἡγύμενόν ἐςιν αὕτη ἡ πρότασις. Ὁ Κόσμος ἐςὶν ὂν ἐνδεχόμε- „ νον, ἑπόμενον δ' ἐςὶν ἡ ἑτέρα, ὁ Κόσμος αἰτίαν ἔσχηκεν ἐκτὸς ἑαυτῦ.

## ΣΥΓ΄.

Ἐὰν ἔν τινι ὑποθετικῷ συλλογισμῷ μέρος τι τῆς προκειμένης ὕτως ἀναλαμβάνηται, ὥσπερ ἐν τῷ αὐτῷ εὑρίσκεται τὸ μέρος ἐκεῖνο τίθεσθαι λέγεται. Ἐὰν δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ προκειμένῃ, τὸ μέρος λέγεται ἀναιρεῖσθαι.

„ Παρ. χάρ. Εἰ ὁ Κόσμος ἐςὶν ὂν ἐνδεχόμενον αἰτίαν ἔσχηκεν ἐκτὸς ἑαυτῦ, ἀλλ' ὁ „ Κόσμος ἐςὶν ὂν ἐνδεχόμενον, ἄρα ἔσχηκεν αἰτίαν ἐκτὸς ἑαυτῦ. Ἐνταῦθα τίθεται „ τὸ ἡγύμενον, τυτέςιν ἡ πρότασις αὕτη· Ὁ Κόσμος ἐςὶν ὂν ἐνδεχόμενον, ὕτως ἀ- „ ναλαμβάνεται, ὥσπερ ἐν τῇ μείζονι προτάσει ἐςίν. Εἰ δ' ἂν ὕτοις, ἡ ὁ Κόσμος „ ἐςὶν ὂν ἀναγκαῖον διὰ τὴν αὐτῦ ὀντότητα ὑπάρχει, ἀλλ' ὁ Κόσμος ὐκ ἔςιν ὂν ἀ- „ ναγκαῖον, ἄρα ὐ διὰ τὴν αὐτῦ ὀντότητα ὑπάρχει. Οὕτω δὴ τὸ ἡγύμενον ἀναι- „ ρεῖται. Τὐναντίον γὰρ τῦ ἐν τῇ μείζονι καταφασκομένυ διαβεβαιῦται.

## ΣΥΔ΄.

Ὁ Ὑποθετικὸς Συλλογισμὸς τὰ οἰκεῖα ἔσχηκε σχήματά τε καὶ τρόπυς, τίθησι τὸ ἡγύμενον ὡς ἂν ἐξ αὐτῦ συμπεράνῃ τὸ ἑπόμενον· δεύτερον ἀναιρεῖ τὸ ἑπόμενον, ἵνα συναναιρέσῃ τὸ ἡγύμενον.

„ Παράδειγμα τῦ προτέρυ τρόπυ ἔςω ὁ Συλλογισμὸς ὅδε. Εἰ ὁ Κόσμος ἐςὶ ὂν ἐνδε- „ χόμενον αἰτίαν ἔσχηκεν ἐκτὸς ἑαυτῦ, ἀλλ' ὁ Κόσμος ἐςὶν ὂν ἐνδεχόμενον, ἄρα „ ἔσχηκεν αἰτίαν ἐκτὸς ἑαυτῦ. Ἐνταῦθα τίθεται τὸ ἡγύμενον, ἵνα τεθῇ τὸ ἑπόμε- „ νον. Οὗτος ὁ τρόπος τῶν ὑποθετικῶν Συλλογισμῶν θετικὸς λέγεται· παράδειγ- „ μα τῦ β΄. τρόπυ ἔςω τυτί. Εἰ ἡ ψυχὴ ἐςὶ φθαρτὴ, ἔςαι ὂν σύνθετον, ἀλλ' ὐκ „ ἔςι ὂν σύνθετον, ἄρα ὐκ ἔςι φθαρτή. Ἀναιρεῖται ἐνταῦθα τὸ ἑπόμενον, ἵνα συ- „ ναναιρεθῇ τὸ ἡγύμενον. Ὁ δὲ τρόπος ὗτος ἀναιρετικὸς λέγεται. Ἵνα δὲ μὴ

„ *Ἡγούμενον ἐν τῷ Θετικῷ τρόπῳ ἐξ ἀνάγκης ἀναλαμβάνομεν, συντομώτερον οἱ φι-*
„ *λόσοφοι λέγουσιν. Ἀλλὰ μὴν τὸ πρῶτον, ἄρα καὶ τὸ δεύτερον· ἐξ ἐναντίας δὲ ἐν τῷ*
„ *ἀναιρετικῷ τρόπῳ οὕτως ὑποσυνάπτουσιν. Ἀλλὰ μὴν τὸ δεύτερον ἐστὶ ψευδές, ἄρα καὶ*
„ *τὸ πρῶτον.*

## ΣΥΕ΄.

## Ἐπὶ τὰ νόθα καὶ μὴ κανονικὰ τοῦ Ὑποθετικοῦ Συλλογισμοῦ σχήματα εἰκότως ἀνάγομεν τοὺς ἀπὸ τῆς ἀναιρέσεως τοῦ ἡγουμένου ἐπὶ τὴν ἀναίρεσιν τοῦ ἑπομένου ἐπιχειροῦντας Συλλογισμούς.

Δεικν. Ἐπεὶ γὰρ τὸ ἑπόμενον πλείονας ὑποθέσεις προσδεχέται καὶ ἐξ ἑτέρου λόγου, ἀληθὲς δύναται εἶναι, οὐκ ἔξεστιν ἐπιχειρεῖν ἀπὸ τῆς ἀναιρέσεως τοῦ Ἡγουμένου ἐπὶ τὴν ἀναίρεσιν τοῦ ἑπομένου, καὶ ἑπομένως ἐπὶ τὰ νόθα τοῦ Ὑποθετικοῦ Συλλογισμοῦ σχήματα εἰκότως ἀνάγομεν τοὺς ἀπὸ τῆς ἀναιρέσεως τοῦ Ἡγουμένου ἐπὶ τὴν ἀναίρεσιν τοῦ ἑπομένου ἐπιχειροῦντας.

„ Παρ. χάρ. *Ψευδῶς συμπεραίνοις οὕτως ἐπιχειρεῖν ἀξιῶν. Εἰ ὁ Κόσμος σύνοιδεν ἑαυ-*
„ *τῷ, ἕπεται καὶ ὑπάρχειν· ἀλλ᾽ ὁ Κόσμος οὐ σύνοιδεν ἑαυτῷ. Ἄρα ὁ Κόσμος οὐχ*
„ *ὑπάρχει· δύναιο δ᾽ ἂν εὐχερῶς τὸν ψευδῆ τοῦ συμπεραίνειν λόγον καὶ οὕτως ἀποκα-*
„ *λύπτειν. Ἀνάγαγε τὸν Συλλογισμὸν τόνδε ἐπὶ τὸν τοῦ α. σχήματος τοῦτον τὸν*
„ *τρόπον.*

> *Πᾶς ὁ συνειδὼς ἑαυτῷ ὑπάρχει.*
> *Ἀλλ᾽ ὁ Κόσμος οὐ σύνοιδεν ἑαυτῷ.*
> *Ἄρα ὁ Κόσμος οὐχ ὑπάρχει.*

„ *Ἔχεις οὖν ἐνταῦθα ἐν τῷ α. σχήματι τὴν ἐλάττω πρότασιν ἀποφατικὴν, ὅπερ ἐστὶ κα-*
„ *τὰ τοῦ (ΣΟ.) καὶ ἑπομένως ὁ τοιοῦτος τοῦ ἐπιχειρεῖν λόγος ἀπὸ τῆς ἀναιρέσεως τοῦ*
„ *Ἡγουμένου ἐπὶ τὴν ἀναίρεσιν τοῦ ἑπομένου, οὐ δύναται μὴ εἶναι ψευδής.*

## ΣΥϚ΄.

**Ἕτερος τρόπος νόθος τῶν Ὑποθετικῶν Συλλογισμῶν Ὑποθετικός ἐστι, καθ᾽ ὃν ἀπὸ τῆς θέσεως τοῦ ἑπομένου ἐπὶ τὴν θέσιν, ἤτοι κατάφασιν τοῦ Ἡγουμένου ἐπιχειροῦς.**

„ Ψευ-

„ Ψευδῶς συμπεραίνεις τὸν τρόπον τῦτον. Εἰ ὁ Κόσμος ἐςὶν ἁπλῶς ἀναγκαῖον ὂν, ἕπεται ὑπάρ-
„ χειν, ἀλλὰ μὴν ὑπάρχει. Ἄρα ἐςὶν ἁπλῶς ἀναγκαῖον. Σαφέςερον ὄψει τὴν κακίαν, τὸν
„ ὑποθετικὸν τετονὶ Συλλογισμὸν ἐπὶ τὸν Κατηγορικὸν ἀνάγων τὸν τρόπον τῦτον,
„ ὅ, τιδήποτῦν ἐςὶν Ὂν ἁπλῶς ἀναγκαῖον, ἐκεῖνο ὑπάρχει, ἀλλὰ μὴν ὁ Κόσμος
„ ὑπάρχει, ἄρα ὁ Κόσμος ἐςὶν ὂν ἀναγκαῖον. Ὁ Συλλογισμὸς ὗτος ἐςὶ τῦ δευτέρυ σχή-
„ ματος. Ἐπεὶ δ᾽ ἐν τῷ δευτέρῳ σχήματι ἐκ καταφατικῶν ὐδὲν ἕπεται, ἀλλ᾽ ἡ ἑτέρα
„ τῶν προκειμένων ὀφείλει εἶναι ἀποφατική (ΣΟς.) ὁρᾷς ἀνθ᾽ ὅτι τὸ ἐπιχείρημα ὐκ ἔ-
„ ςιν ὀρθόν.

## ΣΥΖ´.

Διαζευκτικὸς Συλλογισμός ἐςιν, ἐν ᾧ ἡ μείζων ἐςὶ διαζευκτική. (ΡΥΘ´.)

„ Παρ. χάρ. Ἡ Ψυχὴ, ἢ ἐςὶν ἁπλῦν, ἢ σύνθετον ὄν· ἀλλὰ μὴν ὐκ ἔςιν ὂν σύν-
„ θετον, ἄρα ἔςιν ὂν ἁπλῦν.

Οἱ ἀνωτέρω περὶ διαζευκτικῆς προτάσεως ὑποτεθέντες κανόνες (ΡΥΘ´.) ἐνταῦθα ἀναληφθήτωσαν.

## ΣΥΗ´.

Ἐν τῷ διαζευκτικῷ Συλλογισμῷ δύω δίδονται τῦ ἐπιχειρεῖν τρόποι· ὧν ὁ α. συμπεραίνει ἓν μέρος διαζευγμένον λαμβάνων, τὸ δὲ λοιπὸν ἀναιρῶν.

„ Παρ. χάρ. Ὁ Θεὸς ἢ ἐςὶν ὂν ἄπειρον, ἢ πεπερασμένον, ἀλλὰ μὴν ἐςὶν ἄπειρον· ὐκ
„ ἄρα πεπερασμένον.

## ΣΥΘ´.

Ἕτερος τρόπος τῦ ἐπιχειρεῖν ἐν τῷ διαζευκτικῷ Συλλογισμῷ ἐςὶν ὗτος θάτερον μέρος διαζευκτικὸν ἀναιρεῖται, τὸ δ᾽ ἕτερον τίθεται.

„ Παρ. χάρ. Ἡ Ψυχὴ ἤτοι ἐςὶν ὂν κτιςὸν, ἢ ἄκτιςον, ἀλλὰ μὴν ὐκ ἔςιν ἄκτιςον,
„ ἄρα ἐςὶ κτιςόν.

## Τ΄.

Ὁ Διαζευκτικὸς Συλλογισμὸς ἐπὶ τὸν ἁπλοῦν, ἤτοι κατηγορικὸν ἀνάγεται, ἐὰν τὸ μέρος τὸ τιθέμενον, ἢ ἀναιρούμενον ἐν τῇ ἐλάττονι, ἀντὶ μέσου ὅρου λαμβάνηται, τοῦ συμπεράσματος ἀναλαμβανομένου. Παρ. χάρ.

„ Ἡ ψυχὴ ἢ ἐστιν ὂν κτιστὸν, ἢ ἄκτιστον· ἀλλὰ μὴν ἐστιν ὂν κτιστὸν, ἄρα οὐκ ἐστιν ἄκτιστον.
„ Ἡ Ἀναγωγὴ τοῦ Συλλογισμοῦ τοῦδε ἐπὶ τὸ πρῶτον σχῆμα οὕτω γενήσεται

Ὅ, τιδήποτοῦν ἐστιν ὂν κτιστὸν, ἐκεῖνο οὐκ ἐστι ἄκτιστον,
Ἀλλ' ἡ ψυχή ἐστιν ὂν κτιστόν.
Ἄρα ἡ ψυχὴ οὐκ ἔστιν ἄκτιστον.

## ΤΑ.

Συλλογισμὸς Συνδυαστικὸς ἐστιν, ἐν ᾧ ἡ Μείζων πρότασις ἡ ἀεὶ εἶναι ὀφείλουσα ἀποφατικὴ, δύο προτάσεις διὰ συνδέσμου συνάπτει, ὧν τὴν ἑτέραν ἡ ἐλάττων καταφάσκει, τὴν δ' ἑτέραν τὸ συμπέρασμα ἀποφάσκει.

Παρ. χάρ. Οὐδεὶς ἅμα δύναται καὶ τῷ Θεῷ καὶ τῷ Διαβόλῳ δουλεύειν,
Ὁ Κάϊος δουλεύει τῷ Διαβόλῳ.
Ὁ Κάϊος οὐ δύναται δουλεύειν τῷ Θεῷ.

## ΤΒ΄.

Ὅταν ἐν τῷ ἐπιχειρήματι προτάσεις ὑποθετικὰς διαζευκτικαῖς συνάπτωμεν, καινὸς ἀναφαίνεται ἐντεῦθεν Συλλογισμὸς, καλούμενος Δίλημμα. Δίλημμα δὲ ἐστι Συλλογισμὸς ὑποθετικὸς, οὗτινος τὸ ἑπόμενόν ἐστι πρότασις διαζευκτικὴ, καὶ τὸ ὅλον ἀναιρεῖται.

„ Παρ. χάρ. Εἰ τὸ ἁπλοῦν ὂν φυσικῶς ἐξ ἑτέρου ὄντος γίνεται, ἢ ἐξ ἁπλοῦ ὄντος, ἢ ἐκ
„ συνθέτου ὀφείλει γίνεσθαι· ἀλλ' οὔτ' ἐξ ἁπλοῦ, οὔτ' ἐκ συνθέτου τὸ ἁπλοῦν ὂν γίνεσθαι
„ δύναται. Ἄρα φυσικῶς τὸ ἁπλοῦν ὂν ἐξ ἑτέρου ὄντος οὐ δύναται γίνεσθαι.

Δεῖ

Λέγεται ἄλλοτε τὸ Δίλημμα, Συλλογισμὸς κερατώδης, καὶ ἔτι Συλλογισμὸς κροκοδείλιος. Τῦδε χάριν τὸ Δίλημμα κερατώδης καὶ κροκοδείλιος ἀκύει Συλλογισμὸς ἐν τῇ ἀναπτύξει ἐπάξομεν. Ὅτε δὲ δύω μόνον μέρη διαζευκτικὰ, ὁ τοιῦτος Συλλογισμὸς ἐν τῇ ἐλάττονι προτάσει ἐκλαμβάνει μὲν, ἀλλ' ἔπειτα ἀναιρεῖ, Δίλημμα λέγεται, ὅτε δὲ τρία, Τρίλημμα, καὶ ὅτε τέσσαρα, Τετράλημμα κτλ'.

## ΤΓ.

Ἐπὶ τὴς συλλογισμὴς τὴς ἀποχωρῦντας τῦ τακτικῦ σχήματος ἀνάγεται καὶ ἡ ἐπαγωγὴ, ἥτις ἐςιν ἐμπέδωσις ἀπὸ τῶν καθ' ἕκαςα καὶ κατωτέρω ἐπὶ τὸ ἀνώτερον, ἀπὸ τῶν μερῶν ἐπὶ τὸ ὅλον, ἀπὸ πλειόνων παραδειγμάτων ἐπὶ κανόνα τινὰ γενικόν· ἢ ἔςι τρόπος τῦ ἐπιχειρεῖν, κατὰ τῦ ἀνωτέρω ἐπιφέρων καθόλυ τὸ περὶ ἑκάςυ τῶν κατωτέρων καταφασκόμενον, ἢ ἀποφασκόμενον. Κατώτερα δὲ λέγονται τὰ ἄτομα κατὰ ἀναφορὰν πρὸς τὰ εἴδη, καὶ τὰ εἴδη πρὸς τὰ γένη, καὶ ἀνώτερα λέγεται τὰ γένη κατὰ ἀναφορὰν πρὸς τὰ εἴδη, καὶ τὰ εἴδη πρὸς τὰ ἄτομα.

„ Θεμέλιον ὖν τῆς ἐπαγωγῆς ἐςιν, ὅ, τιδήποτ' ἀνήκει καθ' ἕκαςα τοῖς ἀτόμοις· ἀνήκει τὸ αὐτὸ ϗ τῷ εἴδει, ϗ ὅ, τιῦν ἀνήκει ἑκάςοις τοῖς μέρεσιν, ἢ εἴδεσιν ἀνήκει τῷ αὐτὸ ϗ παντὶ τῷ γένει, ὑφ' ᾧ τὰ εἴδη περιέχονται. Παρ. χάρ. Εἴπερ ὕτως ἐπιχειρήσαιμι. Ὁ Πέτρος ἐςὶ θνητὸς, ὁ Ἀριςοτέλης ἐςὶ θνητὸς, ὁ Θωμᾶς ἐςὶ θνητὸς, ὐδ' ἔςιν εὑρεῖν τινὰ μὴ θνητόν· ἄρα πάντες οἱ ἄνθρωποι θνήσκυσι·

## ΤΔ:

## Ἡ ἐπαγωγὴ ὀρθῶς διαιρεῖται εἰς συμπλήρη ϗ ἐλλιπῆ;

Δεικν. Ἐπείπερ ἐν τῇ ἐπαγωγῇ κατὰ τῦ ἀνωτέρυ καταφάσκεται καθόλυ τὸ κατὰ τῶν καθ' ἕκαςα κατωτέρων ἢ μερῶν καταφασκόμενον (ΤΓ.) Διὰ δὲ τῆς πείρας γινώσκομεν, ἢ πάντα τὰ κατώτερα ἀριθμεῖσθαι, ἢ ὐχ ἅπαντα· δῆλον ὖν, ὅτι ὀρθῶς ἡ ἐπαγωγὴ διαιρεῖται εἰς συμπλήρη καὶ ἐλλιπῆ.

συμ-

συμπλήρης γὰρ λέγεται, ἐν ᾗ τὰ κατώτερα πάντα ἐπαριθμεῖται, ἐλλιπὴς δὲ, ἐν ᾗ τινὰ ἀπολείπεται.

## ΤΕ.

Σωρείτης, ὁ τῷ Κικέρωνι σωρειτικὸν ἐπιχείρημα ῥηθεὶς, οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ σωρὸς πλειόνων προτάσεων, ἐν αἷς τὸ κατηγορούμενον τῆς προτέρας προτάσεως τῆς ὑστέρας συνεχῶς ὑποκείμενον γίγνεται ἕως τ᾽ ἂν ἐν τῷ συμπεράσματι τὸ κατηγορούμενον τῆς ὑστέρας προτάσεως τῷ ὑποκειμένῳ τῆς α. συνάπτοιτο. Παράδειγμα ἔστω τὸ ἑπόμενον.

Πᾶσα ἀνθρωπίνη ψυχή ἐστιν ὂν ἁπλοῦν,
Πᾶν ὂν ἁπλοῦν ἐστὶν ἀδιαίρετον,
Πᾶν ὂν ἀδιαίρετον ἐστὶν ἄφθαρτον,
Πᾶν ὂν ἄφθαρτον ἐσαεὶ διαμένει· ἄρα
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐσαεὶ διαμένει.

## Τϛ.

Σωρείτης μὲν οὖν ὁ ἀρτίως ἡμῖν προσαχθεὶς, κατηγορικὸς λέγεται, ἐν ᾧ ἐκ πολλῶν προτάσεων κατηγορικῶν, ὧν τὸ ὑποκείμενον τῆς ἑπομένης ἐστὶ κατηγορούμενον τῆς ἔγγιστα ἡγουμένης, ἐπιφέρεται τὸ συμπέρασμα. Ὑποθετικὸς δὲ Σωρείτης ἐστὶν, ἐν ᾧ ἐκ πολλῶν προτάσεων ὑποθετικῶν συμπέρασμα ἐπιφέρεται, τοῦ ἡγουμένου ἀπὸ τῆς ὑστέρας προτάσεως ἑπομένου ὄντος ἀεὶ ἐπὶ τῆς προτέρας.

„ Παρ. χάρ. Εἰ ἡ ἀνθρωπίνη ψυχὴ ἐστὶν ὂν ἁπλοῦν, ἔστιν ἀδιαίρετος· εἰ ἔστιν ἀδιαίρετος,
„ ἔστι καὶ ἄφθαρτος, εἰ ἔστιν ἄφθαρτος, ἐσαεὶ διαμένει· ἄρα ἡ ἀνθρωπίνη ψυχὴ εἰ ἐστὶν
„ ὂν ἁπλοῦν, ἐσαεὶ διαμένει.

## ΤΖ΄.

Εἰς Συλλογισμὲς εὐτάκτες τὸν Σωρείτην βελομένῳ σοι ἀναλύειν σημειωτέον τὰ ἐφεξῆς α΄. Ἐπὶ παντὶ Σωρείτῃ τοσέτες τῶόντι εὐτάκτες συλλογισμὲς περιέχεσθαι, ὅσαι προτάσεις μεταξὺ τῆς πρώτης καὶ τῆς ἐσχάτης παρεμπίπτεσι· β΄. Εἴποτ᾽ ἂν τὲς ἐν τῷ Σωρείτῃ περιεχομένες εὐτάκτες συλλογισμὲς ἐξαγαγεῖν ἐθελήσειας, ἡ δευτέρα τῦ Σωρείτε πρότασις μείζων γενέσθω σοι τῦ πρώτε συλλογισμῦ, καὶ ἡ πρώτη τῦ Σωρείτε ἐλάττων, καὶ ὅτω διαμορφωθήσεται τὸ συμπέρασμα, γ΄. τῦτο δὲ τὸ συμπέρασμα τῦ πρώτε συλλογισμῦ, γενέσθω ἐλάττων ἐν τῷ δευτέρῳ, καὶ ἡ τρίτη τῦ Σωρείτε μείζων, καὶ ὅτως αὖθις ἐξάγεται τὸ συμπέρασμα.

„ Λάβωμεν παρ. χάρ. τὸν ἐν τῷ (ΤΕ΄.) ἐπαχθέντα Σωρείτην, καὶ τῦτον εἰς συλλογισ-
„ μὲς εὐτάκτες κατηγορικὲς ἀναλύσωμεν· γενήσεται δὲ ἡ ἀνάλυσις κατὰ τὰς ἐκτε-
„ θείσας ἀποσημειώσεις τοιαύτη.

*Α.*

Πᾶν ὂν ἁπλῦν ἐςὶν ἀδιαίρετον,
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ὂν ἁπλῦν,
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ἀδιαίρετος.

*Β.*

Πᾶν ὂν ἀδιαίρετον ἐςὶν ἄφθαρτον,
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ἀδιαίρετος, ἄρα
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ἄφθαρτος.

*Γ.*

Πᾶν ὅ, τι ἐςὶν ἄφθαρτον, ἀεὶποτε διαμένει,
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶν ἄφθαρτος, ἄρα
Πᾶσα ἀνθρωπίνη ψυχὴ ἀείποτε διαμένει.

„ Συλλογισμῶν ἐνταῦθα τῦ α΄. σχήματος ἐξαχθέντων ἐκ τῦ Σωρείτε, τὲς τῦ Σωρείτε
„ κανόνας εὐχερῶς νῦν ἐντεῦθεν κατανοεῖς.

ΤΗ΄.

## ΤΗ΄.

### Ἐν τῷ Σωρείτῃ πᾶσαι αἱ προτάσεις αἱ μεταξὺ τῆς πρώτης ϗ ἐσχάτης εὑρισκόμεναι καθόλȣ εἰσίν.

*Δεικν.* Ἐκ τῆς ἐν τῷ προλαβόντι παραγράφῳ γενομένης ἀναλύσεως τȣ̃ Σωρείτȣ δηλȣ̃ται, ὅτι πᾶσα πρότασις τȣ̃ Σωρείτȣ μεταξὺ τῆς πρώτης καὶ τῆς ἐσχάτης παρεμπίπτȣσα, μείζων γίνεται τῶν τȣ̃ πρώτȣ σχήματος συλλογισμῶν. Ἐπεὶ δ᾽ ἐπὶ τȣ̃ πρώτȣ σχήματος ἡ μείζων ἀεὶ ὀφείλει εἶναι καθόλȣ (ΣΞΘ΄.), ἑπόμενόν ἐςι, πάσας τὰς προτάσεις τὰς μεταξὺ τῆς πρώτης καὶ τῆς ἐσχάτης ἐν τῷ Σωρείτῃ εὑρισκομένας καθόλȣ εἶναι· εἰς τὸν κανόνα τȣ̃τον ἁμάρτοις ȣ̓̈τως ἐπιχειρῶν.

Πᾶς ὁ πιςεύων εἰς τὸν Χριςὸν δικαιȣ̃ται,
Πᾶς ὁ δικαιȣ́μενος εἰρηνεύει πρὸς τὸν Θεόν.
Πᾶς ὁ εἰρηνεύων πρὸς τὸν Θεὸν σώζεται,
Πᾶς ὁ σωζόμενος ἐςὶν ἄνθρωπος,
Τὶς ἄνθρωπος κολάζεται· ἄρα
Τὶς πιςεύων εἰς τὸν Χριςὸν κολάζεται.

## ΤΘ΄.

### Πᾶσαι αἱ προκείμεναι ἐν τῷ Σωρείτῃ ὀφείλȣσιν εἶναι καταφατικαὶ, ȣ̓δεμία δὲ δύναται εἶναι ἀποφατική.

*Δεικν.* Τεθήτω γὰρ τὴν πρώτην τȣ̃ Σωρείτȣ πρότασιν εἶναι ἀποφατικὴν, τότε δὴ ἡ ἐλάττων τȣ̃ Συλλογισμȣ̃ τȣ̃ πρώτȣ σχήματος ἔςαι ἀποφατική· ἡ γὰρ πρώτη πρότασις τȣ̃ Σωρείτȣ ἀεὶ γίνεται ἐλάττων τȣ̃ πρώτȣ Συλλογισμȣ̃ ἐπὶ τῆς τȣ̃ Σωρείτȣ ἀναλύσεως. Ἐπεὶ δ᾽ ἐν τῷ πρώτῳ σχήματι ἡ ἐλάττων, ȣ̓δέποτ᾽ ἐςὶν ἀποφατικὴ (ΣΟ΄.)· δῆλον, ὅτι ἡ πρώτη πρότασις τȣ̃ Σωρείτȣ ȣ̓κ ὀφείλει εἶναι ἀποφατική.

Θω-

Θῶμεν ἔτι μίαν τῶν λοιπῶν προκειμένων γίνεσθαι ἀποφατικὴν, τότε δὴ καὶ τὸ συμπέρασμα τὸ ἐντεῦθεν γινόμενον ὀφείλει εἶναι ἀποφατικὸν, ὡς ἑπόμενον τῷ χείρονι μέρει (ΣΞΗ'.)· Ἐπεὶ δὲ τὸ συμπέρασμα ἐν τῷ ἐφεξῆς συλλογισμῷ διὰ τῆς ἀναλύσεως μείζων γίνεται πρότασις (ΤΖ. Β'.) ἢ ἐλάττων ἐν τῷ ἐφεξῆς συλλογισμῷ τῷ πρώτῳ σχήματος ὄντι, ὀφείλει εἶναι ἀποφατική· Ὅπερ ἐςὶ, κατὰ τὸ (ΣΟ'.) ἄρα ἐν τῷ Σωρείτῃ πᾶσαι αἱ προκείμεναι ὀφείλουσιν εἶναι Καταφατικαί. Ἁμαρτάνοι τις ἂν εἰς τουτονὶ τὸν Κανόνα, τὸν τρόπον τοῦτον ἐπιχειρῶν.

*Πᾶς ὁ πιςεύων εἰς τὸν Χριςὸν δικαιοῦται.*
*Πᾶς ὁ δικαιούμενος εἰρήνην ἔχει πρὸς τὸν Θεόν.*
*Πᾶς ὁ εἰρήνην ἔχων πρὸς τὸν Θεὸν σώζεται.*
*Οὐδεὶς σωζόμενός ἐςιν ἀσεβής.*
*Οὐδεὶς ἀσεβὴς τῷ Θεῷ ἀρέσκει. Ἄρα*
*Οὐδεὶς πιςεύων εἰς τὸν Χριςὸν τῷ Θεῷ ἀρέσκει.*

## ΤΙ'.

Ἐν τῷ Σωρείτῃ φυλακτέον ἔτι α. ἵνα μήτις πρότασις ψευδὴς παρεισέλθῃ, δι' ἣν τὸ συμπέρασμα ἐκ ἔσθ' ὅπως μὴ εἶναι ψευδές· δεύτερον, ἵνα μὴ ἐν τῷ συμπεράσματι πλεῖον ἐπιφέρωμεν, ἤπερ ἐν ταῖς προκειμέναις ἐσχήκαμεν (ΣΞϛ'.)

## ΤΙΑ'.

Τὸ ἐπιχείρημα ἔτι ἐπὶ τὰς συλλογισμὰς τὰς ἐκ εὐτάκτας ἀνάγεται. Ἔςι δὲ τὸ ἐπιχείρημα συλλογισμὸς, ὅτινος τῇ μείζονι, ἢ τῇ ἐλάττονι, ἢ ἑκατέρᾳ συντομίας χάριν ἡ ἐμπέδωσις πρόσκειται.

„ *Ἐλάττων παρ. χάρ.* πᾶς ὁ τὰς ἄλλας ἀγαπῶν τὴν τῶν ἄλλων εὐδαιμονίαν ἐπιζητεῖ,
„ ταύτης ἐμπέδωσις. Ὁ γὰρ τὰς ἄλλας ἀγαπῶν ἐκ τῆς τῶν ἄλλων εὐδαιμονίας ἡ-
„ δονῆς ἀναπίμπλαται (κατὰ τὸν Ὁρισμ.) *Μείζων. Πᾶς* ὁ τὴν τῶν ἄλλων εὐδαι-
„ μονίαν ἐπιζητῶν, τὰ ἀνήκοντα τῷ Φυσικῷ νόμῳ ἐπιτελεῖ· ταύτης ἐμπέδωσις· ὁ
„ Φυσικὸς καὶ γὰρ νόμος τῇ προτάσει ταύτῃ ἀποτελεῖται· ζήτει τὴν σὴν, καὶ τὴν τῶν
„ ἑτέρων εὐδαιμονίαν· Συμπέρασμα· ἄρα πᾶς ὁ τὰς ἄλλας ἀγαπῶν τὰ ἀνήκοντα τῷ
„ Φυσικῷ νόμῳ ἀποτελεῖ.

## ΤΙΒ'.

Τελευταῖον ἐπὶ τὰς ἀμέσυς μεταβαίνομεν συνεπείας· ἔςι δὲ συνέπεια ἄμεσος τρόπος τῦ διανοεῖσθαι, καθ' ὃν μιᾶς τιθεμένης προτάσεως, ἅμα τίθεσθαι τὴν ἑτέραν κατὰ τὺς λογικὺς λόγυς, πρόδηλον.

„ Παρ. χάρ. Ὁ Λόγος ἐςὶ δῶρον Θεῦ, ἄρα ὁ ὀλιγωρῶν τῦ Λόγυ, ὀλιγωρεῖ τὸ δῶρον „ τῦ Θεῦ.

„ Ὡσαύτως, ὁ Κόσμος ἐςὶν ἀποτέλεσμα τῦ Θεῦ, ἄρα ὁ Θεὸς ἐςὶν αἰτία τῦ Κόσμυ.

## ΤΙΓ'.

Ἐξαίρετοι Κανόνες, καθ' ὓς αἱ ἄμεσοι συνέπειαι διαμορφῦνται, εἰσὶν, οἱ ἑπόμενοι.

Α'. Ἀπὸ τῆς θέσεως τῦ Καθόλυ ἐπὶ τὸ ἄθροισμα τῶν καθ' ἕκαςα δύναται ἡ συνέπεια. Π. Χ. Πᾶσα ἀρετὴ ἐςὶν ἕξις· ἄρα αὕτη, ἐκείνη, ἡ ἀρετὴ ἐν ἀτόμῳ ἐςὶν ἕξις.

Β'. Ἀπὸ τῦ ἐνεργείᾳ ἐπὶ τὸ δυνάμει δύναται ἡ συνέπεια. Π. Χ. Ὁ Καῖος ὀρχεῖται· ἄρα δύναται ὀρχεῖσθαι.

Γ'. Ἀπὸ τῦ μὴ δύνασθαι ἐπὶ τὸ μὴ εἶναι, δύναται ἡ συνέπεια. Π. Χ. Ὁ κύκλος ὐ δύναται εἶναι τετράγωνος, ἄρα ὐκ ἔςι τετράγωνος.

Δ'. Ἀπὸ τῶν συνεζευγμένων ἐπὶ τὰ συνεζευμένα τῇ Ἐννοίᾳ ἰσοδυναμῦντα δύναται ἡ συνέπεια. Π. Χ. Ὁ ἐσθλὸς φίλος ἐςὶ πολύτιμος θησαυρὸς, ἄρα ὁ ἀμοιρῶν ἐσθλῦ φίλυ ἀμοιρεῖ πολυτίμυ θησαυρῦ.

Ε'. Ἀπὸ τῆς μιᾶς τῶν ἀντιφατικῶν προτάσεως ἀληθῦς ἐπὶ τὴν ἑτέραν ψευδῆ δύναται ἡ συνέπεια. Π. Χ. Ἀληθὲς ἐςὶ τὴν ἀνθρωπίνην ψυχὴν εἶναι μὴ ἐκτεταμένην· ἄρα ψευδὲς ἐςὶ τὴν ἀνθρωπίνην ψυχὴν εἶναι ἐκτεταμένην.

ς'. Ἀπὸ τῆς μιᾶς τῶν ἐναντίων ὔσης ἀληθῦς ἐπὶ τὴν ἑτέραν ψευδῆ δύναται ἡ συνέπεια. Π. Χ. Ἀληθές ἐςιν, ὅτι πᾶσα ἀνθρωπίνη ψυχὴ ἐςὶ Λογική· ἄρα ψευδές ἐςιν, ὅτι ὐδεμία ἀνθρωπίνη ψυχὴ ἐςὶ Λογική.

Ἐνταῦθα καὶ οἱ Κανόνες ἐκεῖνοι δύνανται ἀναφέρεσθαι, ὓς περ ἀνωτέρω περὶ τῶν ὑπαλλήλων καὶ ὑπαλληλωτῶν προτάσεων ἐξεθέμεθα· ὅσα δ' ἐνταῦθα περὶ τῶν μετὰ τρόπυ καὶ τῶν συναφείας δεομένων προτάσεων τῶν ἀνωτέρω ἀνεπτυχθεισῶν καταληφθήσονται.

ΜΕ-

# ΜΕ'ΡΟΣ Β.

## ΠΕΡΙ` ΧΡΗ'ΣΕΩΣ

## ΤΗ͂Σ

## ΛΟΓΙΚΗ͂Σ

### ΚΕΦΑ'ΛΑΙΟΝ Α'.

### Περὶ ἀληθείας ἐν γένει.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΤΙΔ'.

Διείληπται ἡμῖν μέχρι τᾶδε περὶ τῶν τριῶν Ε'νεργειῶν τᾶ νοός. Ε'πεὶ δὲ ἐ τῇ σχολῇ μανθάνομεν, ἀλλὰ τῇ ζωῇ, καὶ παρὰ ταῦτα τῆς Λογικῆς ἐςὶν ἔργον ἡμᾶς διδάξαι τὴν τᾶ ἀληθᾶς εὕρεσιν καὶ διάκρισιν, μεταβαίνομεν ἤδη ἐπὶ τὸ διδάξαι, ὅπως εἰς εὕρεσιν καὶ διάκρισιν τῆς ἀληθείας, ταῖς τρισὶ ταύταις τᾶ νοὸς ἐνεργείαις ὀρθῶς χρῆσθαι ὀφείλομεν. Πρὶν ἢ δὲ τᾶτο εὐκαίρως γένηται, ἀναπτύξαι χρεὼν, τί ἐςιν ἀλήθεια;

### ΤΙΕ'.

Η' τῆς ἀληθείας φωνὴ τριχῶς μάλιςα παρὰ τοῖς φιλοσόφοις λαμβάνεται. Α'ληθὲς λέγεται πρῶτον, πᾶν ὂν, καθὸ ἔσχηκε τὴν αὐτῷ ὀφειλομένην ὀντότητα. Οὕτω παρ. χάρ. Ο' χρυσὸς ἐςὶν ἀληθὴς χρυσὸς ὡς

ἔχων πάντα τὰ εἰς σύςασιν ἀπαιτήματα τῦ χρυσῦ. Η' δ' ἀλήθεια αὕτη λέγεται Μεταφυσική. Β'. Τὸ ἀληθὲς ἀπονέμομεν τῷ ἡμετέρῳ λόγῳ, ὅτε ἀμέλει πάρεςιν οἰκειότης, ἤτοι συμφωνία τῶν λόγων ταῖς Ε'ννοίαις ἡμῶν, τ' ἀληθὲς λέγειν λεγόμεθα· ἥτις ἠθικὴ ἀλήθεια λέγεται. Γ'. Τὸ ἀληθὲς ἀπονέμομεν ταῖς ἡμετέραις Ε'ννοίαις, κρίσεσι, καὶ διανοήμασιν, ὅτε ἀμέλει τὸ πρᾶγμα ὕτως ἡμῖν παριςῶμεν, ὥσπερ καθ' αὐτὸ ἐςίν. Καὶ αὕτη ἡ ἀλήθεια λέγεται Λογική, περὶ ἧς ἐν τῷ παρόντι ὁ λόγος.

## ΤΙς'.

Λογικὴ ἀλήθεια, ὐδὲν ἕτερον ἐςὶν, εἰμὴ ἐφαρμογὴ τῶν ἡμετέρων νοημάτων πρὸς τὰ πράγματα, ἅπερ ἐννοῦμεν, ἤτοι ἑαυτοῖς παριςῶμεν.

## ΤΙΖ'.

Α'ληθὴς ὖν ἐςὶν Ι'δέα ἁπλῆ τῦ ἡμετέρυ νοὸς, τῷ παριςανομένῳ συνάδυσα πράγματι, ἤτοι ὅτε τὸ πρᾶγμα ὕτως ἑαυτοῖς παριςῶμεν, ὥσπερ καθ' αὐτὸ ἐςί.

## ΤΙΗ'.

**Α'λήθεια ἐν ταῖς ἡμετέραις εὑρίσκεται κρίσεσιν, ὅτε τὰς Ι'δέας, ἅς περ χρὴ συζευγνύειν, συζεύγνυμεν, καὶ ἃς χρὴ διαζευγνύειν, ἀλλήλων διαζευγνύομεν.**

Δεικν. Ε'πεί περ ἡ Λογικὴ ἀλήθεια γενικῶς περιέχει τὴν ἐφαρμογὴν τῶν ἡμετέρων νοημάτων πρὸς τὰ ἀντικείμενα (ΤΙς'.), ἑπόμενόν ἐςι τὴν ἀλήθειαν ταῖς ἡμετέραις παρεῖναι κρίσεσιν, ὅτε τοῖς ἀντικειμένοις αἱ κρίσεις συνᾴδωσιν. Ε'πεὶ δὲ τὰς ἡμετέρας κρίσεις τότε δὴ τέλος τοῖς ἀντικειμένοις φαμὲν ἐφαρμόττειν, ὅτε τὰς Ι'δέας, ἃς συντιθέναι χρεών, συντίθε-

τίθεμεν, καὶ ἃς διαζευγνύειν χρὴ, διαζεύγνυμεν. Πρόδηλον, ὅτι ἀλήθεια ἐν ταῖς ἡμετέραις εὑρίσκεται κρίσεσιν, ὅτε κτλ'.

## ΤΙΘ'.

Ἐντεῦθεν κατανοεῖται. Α'. Πρότασιν ἀληθῆ εἶναι τὴν παριςῶσαν κρίσιν ἀληθῆ (ΡΠΖ'.), Β'. Τῇ ἀληθεῖ προτάσει ἀπαιτεῖσθαι, τὸ κατηγορήμενον μὴ μάχεσθαι τῷ ὑποκειμένῳ. Γ'. Ἐπειδὴ πᾶσα πρότασις δύναται θεωρεῖσθαι, ἢ τῷ λόγῳ τῆς ποσότητος, ἢ τῷ λόγῳ τῆς ποιότητος (ΡΥΕ'.), τῷ δὲ λόγῳ τῆς ποιότητος ἡ πρότασις ἢ καταφατικὴ ἐςὶν, ἢ ἀποφατική· (ΡΥΕ'.) καὶ τῷ λόγῳ τῆς ποσότητος ἢ καθόλε ἐςὶν, ἢ μερική. (ἐγγ.) πρόδηλον, ὅτι ἀληθεῖς προτάσεις εἰσὶ τῷ λόγῳ τῆς ποιότητος αἱ καταφάσκεσαι, ἃ δεῖ καταφάσκειν, καὶ ἃ χρὴ ἀποφάσκειν ἀποφάσκεσαι. Τῷ λόγῳ δὲ τῆς ποσότητος εἰσὶν ἀληθεῖς αἱ καθόλε ἀποφαινόμεναι τὸ καθόλε ὀφεῖλον ἐκφέρεσθαι, καὶ ἐκ τῆ ἐναντίε μερικῶς καταφάσκεσιν ἢ ἀποφάσκεσι, τὸ μερικῶς καταφάσκεσθαι ὀφεῖλον, ἢ ἀποφάσκεσθαι.

## ΤΚ'.

Τὰ διανοήματα τέλος ἐςὶν ἀληθῆ, ὅτε τῷ τε λόγῳ τῆς ὕλης καὶ τῷ λόγῳ τῆ εἴδες ὀρθῶς συνάδει· ὀρθῶς δὲ τῷ λόγῳ τῆς ὕλης διανοῦμαι, ἐὰν αἱ προτάσεις, ἐξ ὧν τὸ συμπέρασμα ἐπιφέρεται, ὦσιν ἀληθεῖς. Τῷ δὲ λόγῳ τῆ εἴδες διανοήμεθα, τὰς συλλογισμὰς συνᾴδοντας τοῖς ἀνωτέρω (ΣΞΓ'.) παραδοθεῖσι κανόσιν, ἀπαρτίζοντες.

## ΤΚΑ'.

Ἐπειδὴ πρότασις ἀληθής ἐςιν ἡ παριςῶσα κρίσιν ἀληθῆ (ΤΙΘ'.) κρίσις δὲ ἀληθὴς λέγεται, ἐν ᾗ αἱ συνθετέαι Ἰδέαι συντίθενται, καὶ αἱ διαιρετέαι διαιρῦνται, ἤτοι ἐν ᾗ τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκει (ΤΙΗ'.) λυσιτελέςατόν ἐςι γνώρισμά τι καὶ κριτήριον προσλαβεῖν, δι' ὃ περ ἐν ὁποιῳδηποτῦν δοθέντι συμβάματι γινώσκειν δύναιο τὴν τῆ κατηγορημένε

πρὸς

πρὸς τὸ ὑποκείμενον οἰκειότητα ἢ ἀλλοτρίωσιν, καὶ διαγινώσκει τὴν ἀληθῆ πρότασιν τῆς ψευδῆς.

## ΤΚΒ'.

Ἀ'ληθὴς ἂν ἐςὶν ἡ ἀπόφανσις, ὅτε ὁ ἀποχρῶν λόγος πάρεςι, δι' ὃ τὸ κατηγορόμενον κατὰ τοῦ ὑποκειμένου ἢ ἀποφάσκειν, ἢ καταφάσκειν χρεών. Τ' αὐτὸν δ' εἰπεῖν, ἀληθὴς ἀπόφανσίς ἐςιν, ὅτε ἡ τοῦ κατηγορουμένου ποιότης, ἢ καταφάσκει ἢ ἀποφάσκει ἐκτελουμένη, ἐκ τῆς τοῦ ὑποκειμένου Ἐ'ννοίας διορίζεσθαι.

„ Ἐ'νθεντοι ὁ περίπυςος Βόλφιος τῆς Λογικῆς ἀληθείας κριτήριον καθίςησι τὸν τοῦ κατη-
„ γορουμένου διὰ τῆς Ἐ'ννοίας τοῦ ὑποκειμένου διορισμόν. Ὅ'ρα Λογ. Λατ. §. 513. ϗ 524.
„ παρ. χάρ. αὕτη ἡ πρότασις· πᾶν ὂν ἀπλοῦν ἔχηκε δύναμιν τοῦ ἐνεργεῖν, ἀληθής ἐςιν,
„ ὅτι τὸ Κατηγορούμενον τὸ ἔχειν δύναμιν τοῦ ἐνεργεῖν, οἶδε τὸν αὐτοῦ ἀποχρῶντα λό-
„ γον ἐν τῇ φύσει τοῦ ἀπλοῦ ὄντος· ὅπερ οὐσία εἶναι ὁρίζεται. Οὐσία δέ ἐςιν ὂν δύνα-
„ μιν ἔχον ἐνεργητικήν· πλέω περὶ τῆς ἀληθείας ϗ τοῦ ταύτης κριτηρίου ἐν τῇ ἀναπτύξει.

## ΤΚΓ'.

### Ἐ'πεὶ παντὸς διανοήματος ἐκ προκειμένων ἀληθῶν ἐκ ἔσθ' ὅπως ἐκ ἐπιφέρεται συμπέρασμα ἀληθές.

Δείκν. Ἐ'πεὶ γὰρ ὁποία ἐςὶν ἡ αἰτία, τοιοῦτον εἶναι χρὴ καὶ τὸ ἀποτέλεσμα (κατὰ τὰς ἀρχὰς τῆς Μεταφυσ.), ἕπεται, ὁποῖαι ποτ' ἂν ὦσιν αἱ προκείμεναι, ὡς αἰτίαι τῶν συμπερασμάτων, τοιοῦτον εἶναι καὶ τὸ συμπέρασμα ὀρθῶς ἐκ τούτων ἐπιφερόμενον. Τῶν προκειμένων τοίνυν ἀληθευουσῶν, καὶ τῶν Κανόνων τοῦ συμπεραίνειν φυλαττομένων ὀρθῶς, οὐκ ἔξεςι μὴ εἶναι ἀληθὲς τὸ συμπέρασμα.

ΤΚΔ'.

## ΤΚΔ΄.

Πᾶς ἂν ὁ τὰς προκειμένας ὁμολογῶν εἶναι ἀληθεῖς, ἢ δύναται μὴ καὶ τὸ συμπέρασμα τὸ ὀρθῶς ἐκ τούτων ἐπιφερόμενον μὴ ὁμολογεῖν εἶναι ἀληθές.

## ΤΚΕ΄.

Ὥσπερ ἐξ ἀληθῶν προκειμένων ἀληθὲς συμπέρασμα οὐκ ἔξεστι μὴ ὀρθῶς ἐπιφέρεσθαι (ΤΚΓ΄.), Οὐχ οὕτως ἕπεται ἀπὸ τῶν συμπερασμάτων τῶν διὰ σαφοῦς καὶ προσηκούσης Συνεπείας ἐκ τῶν προκειμένων παραγομένων διακρίνειν τὰς προκειμένας.

„ *Τὸ συμπέρασμα ὡς τὰ πολλὰ ἐκ τῶν προκειμένων ὀρθῶς ἐπιφέρεται, καὶ ἀληθές ἐστι,*
„ *καί τοι ἀμφοτέρων τῶν προκειμένων, ἢ γοῦν τῆς ἑτέρας τούτων οὔσης ψευδοῦς.* Π. *Χ.*
„ *Πᾶν Πνεῦμα ἐστὶ σῶμα· πᾶς λίθος ἐστὶ Πνεῦμα· ἄρα πᾶς λίθος ἐστὶ σῶμα· τὸ συμ-*
„ *πέρασμα ἀληθές ἐστι, καὶ ὀρθῶς ἐκ τῶν προκειμένων ἐπιφέρεται, οὐδὲν δ᾽ ἧττον αἱ προ-*
„ *κείμεναι ἄμφω εἰσὶ ψευδεῖς. Ὅθεν θαυμάζειν ἐπέρχεταί μοι ὅπως ὁ αἰδέσιμος Λάγ-*
„ *γιος ἐν τοῖς αὐτοῦ συγγράμμασι τοῖς τῇ κατὰ Βολφίου Φιλοσοφίᾳ ἀντικειμένοις, συ-*
„ *νεχῶς τὴν θέσιν ταύτην λαμβάνει ὡς αἴτημα, καὶ ἐπὶ τὰ στοιχεῖα ταύτην τῆς πρώτης*
„ *Φιλοσοφίας ἀνάγει.*

# ΚΕΦΑ'ΛΑΙΟΝ Β'.

*ΠΕΡΙ' ΤΩ͂Ν*

## Α'ΝΤΙΚΕΙΜΕ'ΝΩΝ ΤΗ͂Σ Α'ΛΗΘΕΙ'Α, ΨΕΥ'ΔΟΥΣ, ΠΛΑ'ΝΗΣ, ΠΡΟΚΡΙΜΑ'ΤΩΝ,

*ΚΑΙ'*

## Α'ΠΑΤΩ͂Ν.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΤΚϛ'.

Ὥσπερ τὸ ἀληθὲς ἐν τῇ ἁπλῇ Ἰδέᾳ τοῦ νοός, τῇ τε κρίσει, καὶ τοῖς διανοήμασιν εὑρίσκεται (ΤΙΖ'.), οὕτω δὴ τὸ ἀντικείμενον τῷ ἀληθεῖ ψεῦδος ἢ ἐν τῇ ἁπλῇ Ἰδέᾳ ἐστὶν, ἢ ἐν τῇ κρίσει, ἢ τελευταῖον ἐν τῷ διανοήματι.

### ΤΚΖ'.

Τὸ ψεῦδος γενικῶς ὁριζόμεθα διαφωνίαν εἶναι τῶν ἡμετέρων διανοημάτων πρὸς τὸ ὑποκείμενον· ψεῦδος οὖν πρόσεστι τῇ ἁπλῇ Ἰδέᾳ, ὅτε ἡ τοῦ νοὸς παράστασις τοῦ παριστανομένου πράγματος διενήνοχε, ταὐτὸν δ' εἰπεῖν, ὅτε ἄλλως ἐννοοῦμεν τὸ πρᾶγμα, ἤπερ ἐστίν.

### ΤΚΗ'.

Τῇ κρίσει πρόσεστι ψεῦδος, ὅτε τὰς Ἰδέας, ἃς οὐκ ἔδει συζευγνύειν, συζεύγνυμεν, καὶ ἐκ τοῦ ἐναντίου, ἃς οὐκ ἔδει διαζευγνύειν ἀλλήλων, διαζευγνύομεν.

## ΤΚΘ΄.

Ἐπείπερ τῇ τῶν προτάσεων ἀληθείᾳ ἀνήκει, α΄. καταφάσκειν, ἃ δεῖ καταφάσκειν, καὶ ἀποφάσκειν, ἃ χρεὼν ἀποφάσκειν, β΄. τὰς μὲν καθόλου συνθετέας, ἢ διαιρετέας Ἐννοίας καθόλου συντιθέναι, ἢ διαιρεῖν, τὰς δὲ μερικὰς μερικῶς (ΤΘΖ΄.) γ΄. ῥᾷστα δηλοῦται τὸ ψεῦδος ἐν τῇ τῶν προτάσεων καταφάσει καὶ ἀποφάσει λανθάνειν, ὅτε τὰ ἀποφατέα καταφάσκῃς, καὶ τὰ καταφατέα ἀποφάσκῃς καὶ ἐν τῇ καθολικότητι τῶν προτάσεων χώραν ἔχειν, ὅτε καθόλου ἀποφαίνῃ τὰ ἐπὶ μέρους καὶ τοὔμπαλιν.

„ Ἐὰν, παρ. χάρ. Εἴπῃς τὸ σῶμα διανοεῖται, ἡ πρότασις ἔσται ψευδής· καὶ γὰρ καταφάσκεις, ὅπερ ἀποφάσκειν ἐχρῆν, καὶ ἑπομένως ἐνταῦθα τὸ ψεῦδος λανθάνει ἐν τῇ ποιότητι τῶν προτάσεων, εἰδ᾽ ἔτι φαίης, πᾶς ἄνθρωπός ἐστι σοφὸς, πρότασιν ἕξεις ψευδῆ, τῷ λόγῳ τῆς ποσότητος· τὸ γὰρ τισὶν ἀνῆκον τοῖς πᾶσιν ἀπέδωκας.

## ΤΛ΄.

Δίδοται Κριτήριον ἀληθείας (ΤΚΑ΄.), ἀνάγκη οὖν δοθῆναι καὶ τοῦ ψεύδους Κριτήριον, ὅπερ ἡ τοῦ Ὑποκειμένου καὶ τοῦ Κατηγορουμένου ἐστὶν ἐναντίωσις, ὁσάκις ἀμέλει τὸ κατηγορούμενον ἀντιφάσκει ἤτοι διαμάχεται τῷ Ὑποκειμένῳ, τοσάκις ἡ πρότασις οὐ δύναται μὴ εἶναι ψευδής.

## ΤΛΑ΄.

Εἴτις τὴν ἀληθῆ πρότασιν ἀντὶ ψευδοῦς, ἢ τὴν ψευδῆ ἔσχηκεν ἀντὶ ἀληθοῦς, οὗτος πλανᾶται. Ὥστε ὀρθῶς τὴν πλάνην ὁρίζεσθαι σύγχυσιν τῶν κρίσεων, εἴτ᾽ οὖν πλάνη ἐστὶ συγκατάθεσις ἐπὶ προτάσεως ψευδοῦς εἰκῇ, ἤτοι ἄνευ λόγου διδομένη.

„ Παρ. χάρ. Ἡ πρότασις αὕτη ἐστὶ ψευδὴς, ἡ ψυχὴ ἐστὶ θνητή. Ὁ γοῦν τὴν πρότασιν ταύτην ὡς ἀληθῆ λαμβάνων, καὶ καταφάσκων τὴν ψυχὴν εἶναι θνητὴν, πλανᾶται.

## ΤΛΒʹ.

**Ὁ οὖν πλανώμενος ἀποφάσκει, ἃ δεῖ καταφάσκειν, καὶ καταφάσκει, ἃ χρεὼν ἀποφάσκειν.**

Δείκν. Ἐπεὶ γὰρ ψευδὴς πρότασίς ἐστιν ἡ ἀποφάσκουσα ἃ δεῖ καταφάσκειν, καὶ ἃ χρεὼν ἀποφάσκειν καταφάσκουσα (ΤΚΘʹ.), ἑπόμενόν ἐστι τὸν συγκατατιθέμενον προτάσει ψευδεῖ τὰ καταφατέα ἀποφάσκειν, καὶ τὰ ἀποφατέα καταφάσκειν. Ὁ δὲ συγκατατιθέμενος προτάσει ψευδεῖ, πλανᾶσθαι λέγεται (ΤΛΑʹ.)· ἄρα ὁ πλανώμενος ἀποφάσκει ἃ δεῖ καταφάσκειν κτλʹ.

## ΤΛΓʹ·

**Ἡ Πλάνη ἡ ἐν τῷ κρίνειν πλημμεληθεῖσα, πρόκριμα (α) λέγεται.** Πρόκριμα οὖν καλοῦμεν κρίσιν πλάνου διὰ κατακρημνίσεως ἐνηνεγμένη.

„ *Ἡ φωνὴ τοῦ προκρίματος, ἢ κατ' Ἔννοιαν δικαστικὴν, ἢ κατ' Ἔννοιαν λαμβάνεται*
„ *Φιλοσοφικήν· καὶ κατὰ μὲν τὴν πρώτην Ἔννοιαν πρόκριμα φασὶ τὸ περιέχον παρά-*
„ *δειγμα ἐν τῇ αὐτῇ αἰτίᾳ· κατὰ δὲ τὴν δευτέραν πρόκριμά ἐστι πλάνη διὰ κατα-*
„ *κρημνίσεως ἐν τῷ κρίνειν πλημμελουμένη.* Πρόκριμα *δὲ ἡ τοιαύτη πλάνη λέγεται,*
„ *ἢ ὅτι τὰ προκρίματα προηγοῦνται τῆς βεβαίας τοῦ ὑγιοῦς λόγου κρίσεως, ἢ ὅτι*
„ *πλημμελοῦνται πρὶν ἢ ἡ Κρίσις πεπανθεῖσα ὥριμος γένηται. Οὐκ ἀπεικότως συνῳ-*
„ *δᾷ τῷ Κικέρωνι τὸ πρόκριμα αὐτοῖς ἂν εἶναι δόξαν, καθ' ἣν εἰκῇ καὶ ὡς ἔτυχε ψευ-*
„ *δεῖ τινι πράγματι, ἢ γοῦν μὴ ἱκανῶς ἐγνωσμένῳ ἀποφαινόμενοι συγκατατιθέμεθα.*

## ΤΛΔʹ.

**Ὁ ἀποδοθεὶς τῶν προκριμάτων Ὁρισμὸς ἡμᾶς ἐκδιδάσκει τὴν τῶν προκριμάτων γένεσιν, καὶ τὰ πρῶτα σπάργανα ζητεῖν ἐν τῇ διεφθαρμένῃ νοήσει.**

Δείκν. Ἐπεὶ γὰρ πᾶν πρόκριμα, κρίσις πλάνους ἐστι (ΤΛΓʹ.) αὕτη δὲ οὐ δύναται μὴ ἐκ συγκεχυμένων καὶ ἀσαφῶν Ἐννοιῶν καὶ ἐπομένως ἐκ διεφθαρμένης νοήσεως γενᾶσθαι, ὡς παντίπου δῆλον, ἕπεται ὀρθῶς τὴν γένεσιν τῶν

(α) Πρόληψις εὐχρηστότερον λέγεται.

τῶν προκριμάτων ἀπὸ τῆς διεφθαρμένης νοήσεως λαμβάνειν. Ο῾ Βεϊλαῖος καὶ ἄλλοι τινὲς τῶν προκριμάτων αἰτίας καθιςῶσι τὰς μοχθηρίας τῆς θελήσεως, κἀκτέτε ἐφεξῆς ἡ ψευδὴς ἐκείνη θέσις προύκυψε· Τὴν διόρθωσιν ἀπὸ τῆς θελήσεως, ἐκ ἀπὸ τῆς νοήσεως ἄρχεσθαι. Ο῞ρα Συρβ. Φιλοσ. Λογ. σελ. 6. καὶ ς.

## ΤΛΕ΄.

Τῶν προκριμάτων εἴδη ἄλλα παρ᾽ ἄλλοις καθίςανται, καὶ ἕκαςον τέτων ὀνόματι εἰδικῷ ὀνομάζεται.

„ Τῷ λόγῳ τῦ ἀντικειμένε διαιρῆται τὰ προκρίματα εἰς Θεωρητικὰ ᾗ Πρακτικά. Ω῾-
„ σαύτως εἰς Θεολογικὰ, Δικαςικὰ, Ι῾ατρικὰ, Φιλοσοφικὰ, Φιλολογικὰ κτλ΄. Τῷ
„ λόγῳ δὲ τῦ χρόνε ἠδύνατο τὰ προκρίματα διαιρῆσθαι εἰς προκρίματα νηπιότητος,
„ νεότητος, ἀνδρικῆς τε ᾗ τῆς κατὰ γέροντας ἡλικίας. Ε᾽ντεῦθα οἰκείως ἀναφέρεσθαι
„ δύναται τὰ εἴδωλα τῆς φυλῆς, τῦ σπηλαίε, τῆς Α᾽γορᾶς, ᾗ τῦ Θεάτρε. Καθ᾽ ὃν
„ δὴ λόγον ὁ Φρατζίσκος Βάκ. Βερυλάμιος, περὶ αὐξήσεως τῶν ἐπιςημῶν βιβλ. ς΄.
„ κεφ. δ΄. διαφορὰν τῶν προκριμάτων, ἤτοι τῶν προληφθεισῶν ὑπολήψεων δεῖξαι ἠθέ-
„ λησε· διὰ μὲν ἕν τῶν εἰδώλων τῆς φυλῆς τοιαύτας ἐννοεῖ ὑποθέσεις ᾗ προειλημμέ-
„ νας ὑπολήψεις, αἵτινες ἐν τῇ ἀνθρωπίνῃ φύσει τεθεμελιωμέναι εἰσί· διὰ δὲ τῶν εἰ-
„ δώλων τῦ σπηλαίε, ἑκάςε ἐννοεῖ τὰς πλάνης ἀρχὰς, καθ᾽ ἃς τις τὴν αἰτίαν τῦ
„ πλανᾶσθαι λαμβάνει παρ᾽ ἑαυτῇ· διὰ δὲ τῶν τῆς ἀγορᾶς κρίσεις ἐννοεῖ πλάνης τὰς
„ ἐκ συναλλάγματος ᾗ συνηθείας τῶν ἀνθρώπων πορίζομένας, ᾗ τέλος εἴδωλα τῦ
„ θεάτρε καλεῖ ὑπολήψεις πλάνης, ὑπὸ πολλῶν τῶν τοῖς φιλοσόφοις αρεσκόντων ἐ-
„ ξαντλημένας.

„ Ο῾ περιφανὴς Σύρβιος τὰ προκρίματα διαιρεῖ εἰς προκρίματα κατακρημνίσεως, ἰδιότητος,
„ ᾗ ἀξιοπιςίας ἀνθρωπίνης, ᾗ ἐπὶ μὲν τὸ πρῶτον ἀνάγει πρῶτον τὸ πρόκριμα τῆς
„ ἀλογίας, δεύτερον τὸ πρόκριμα τῆς ῥαθυμίας κτλ΄. Ε᾽πὶ τὰ προκρίματα τῆς ἰδιό-
„ τητος ἀνάγεσι τὸ πρόκριμα τῆς ἰδίας αἱρέσεως, τὸ πρόκριμμα τῆς αἱρέσεως τῆς ἀ-
„ ναληθεύσης ὑποθέσεως. τὸ πρόκριμα τῆς οἰκίας, τῦ Ε῎θνες, τῆς Πατρίδος κτλ΄.

## ΤΛς΄.

Προκρίματά εἰσι κρίσεις πλάνοι διὰ κατακρημνίσεως ἐνηνεγμέναι (ΤΛΓ΄.) Ε᾽πεὶ δὲ κρημνωδῶς μάλιςα κρίνομεν, ὅτε τῦ πράγματος ἐκ ἐρευνωμένε,

 κατα-

καταφάσκομέν τι ἢ ἀποφάσκομεν, ὅ, τι ἕτερος ἐν τῇ τέχνῃ ἐξησκημένος, τὸ αὐτὸ καταφάσκει, ἢ ἀποφάσκει, ἐντεῦθεν ἀναφύεται τὸ πρόκριμα τῆς ἀξιοπιστίας· αὕτη δὲ ἡ κρίσις κρημνωδῶς φερομένη πρόκριμα ἀξιοπιστίας λέγεται, ὅτι ἡ τῶν ἄλλων ἀξιοπιστία λόγος ἐστὶ, δι' ὃν πρᾶγμά τι ἀληθὲς, ἢ ψευδὲς εἶναι οἰόμεθα. Ἔτι ἐπείπερ ἡμεῖς αὐτοὶ οὔπω καταληφθείσης τῆς ἀληθείας ἢ ψεύδους προτάσεώς τινος, σπουδαιότερον, ἤπερ ἔδει κρίνομεν, καὶ ἐπὶ ταῖς ἡμετέραις δυνάμεσι λίαν πεποιθότες, οὐκ εὐχερῶς πλανᾶσθαι ὑποτοπάζομεν, ἐντεῦθεν τὸ πρόκριμα τοῦ ἄγαν θάῤῥους γεννᾶται.

„ *Ἐν τῷ πρώτῳ προκρίματι πλεῖον, ἤπερ ἔδει, ταῖς τῶν ἄλλων δυνάμεσιν ἀπονέμεται,*
„ *ἐν δὲ τῷ δευτέρῳ ὑπὲρ τὸ καθῆκον ἐπὶ τὰς ἰδίας δυνάμεις πεποίθαμεν. Περὶ δ' ἄλλων*
„ *προκριμάτων, πλέω ἐν τῇ ἑρμηνείᾳ ἐποίσομεν· ἐκ δὲ τῶν εἰρημένων ῥᾷστα δηλοῦται, ὡς*
„ *ἐν παντὶ προκρίματι καθ' ὡρισμένας τινὰς προκειμένας οἱ ἄνθρωποι κρίνειν εἰώθασιν.*
„ *Οὕτω παρ. χάρ. ἐν τοῖς προκρίμασι τῆς ἀξιοπιστίας· οἱ ἄνθρωποι κρίνουσι κατὰ τὴν*
„ *πρότασιν ταύτην. Τόδε, ἢ ἐκεῖνο· ἐστὶ, ἢ ἐκεῖνος διά τε τὴν σοφίαν καὶ τὴν ἡλικίαν*
„ *ἐμοὶ αἰδέσιμος, ἀληθὲς οἴεται, ἢ ψευδές· ἄρα ἐστὶν ἀληθὲς, ἢ ψευδές. Ἐν τῷ*
„ *προκρίματι τῆς κατακρημνίσεως οὕτως ἐπιχειροῦσιν οἱ ἄνθρωποι, τοῦτο ἔγωγε ἀγνοῶ,*
„ *ἄρα μικρόν ἐστι, καὶ εὐκαταφρόνητον· ὡσαύτως ἔτι· τοῦτ' ἐγὼ ἰδίᾳ μελέτῃ εὗρον, καὶ*
„ *εὐχερῶς ἔχω κατανοεῖν τὴν ἀλήθειαν· ἄρα ἀληθές ἐστι.*

## ΤΛΖʹ.

Ἐκ τούτων ἤδη καταφανὲς τὸν τὰ προκρίματα διαφεύγειν βουλόμενον ἐπὶ τοσοῦτον χρὴ τὴν αὐτοῦ κρίσιν ἔχειν ἐν μετεώρῳ, μέχρις οὗ τοὺς τῆς ἀληθείας ἐσωτερικοὺς λόγους ἐνδότερον καὶ εὐκρινέστερον διασκέψηται.

Δείκν. Ἐπεὶ γὰρ τὸ πρόκριμα ἐστὶ κρίσις διὰ κατακρημνίσεως ἐνηνεγμένη (ΤΛΓʹ.) τὴν δὲ κατακρήμνισιν ἐν τῷ κρίνειν διαφεύγομεν τὴν ἡμῶν συγκατάθεσιν καὶ κρίσιν ἀπαιωροῦντες μέχρι τινός· πρόδηλον, ὅτι εἰς τὴν τῶν προκριμάτων διαφυγὴν λυσιτελής τε καὶ ἀναγκαία ἐστὶν ἡ τῆς Κρίσεως καὶ συγκαταθέσεως ἀπαιώρησις.

## ΤΛΗ΄.

Ἀμφισβητεῖν οὐδὲν ἄλλο ἐστίν, εἰμὴ τὸ τὴν κρίσιν ἀπαιωρεῖν· ἀπαιωρεῖν δὲ τὴν κρίσιν λέγεται ὁ μήτε καταφάσκων μήτε, γοῦν ἀποφάσκων.

## ΤΛΘ΄.

Δῆλον ἐντεῦθεν τὴν ἀμφισβήτησιν εἰς τὸ διαφεύγειν ὅ, τι οὖν πρόκριμα ἐν τοῖς μάλιστα εἶναι χρήσιμον.

Δεικν. Ἐπεὶ γὰρ εἰς τὴν τῶν προκριμάτων φυγὴν πλεῖστον ἡ τῆς κρίσεως συμβάλλεται ἀπαιώρησις (ΤΛΖ΄.), ἀμφισβητεῖν δὲ λέγεται ὁ τὴν κρίσιν ἀπαιωρῶν (ΤΛΗ΄.), καὶ ἡ ἀμφιβήτησις οὐδὲν ἄλλο ἐστίν, εἰμὴ ἡ τῆς κρίσεως ἀπαιώρησις, ἑπόμενόν ἐστιν εἰς τὴν τῶν προκρίσεων ἐκτροπήν, τὰ μάλιστα χρησιμεύειν τὴν ἀμφισβήτησιν.

„ Τὴν ἀμφισβήτησιν ἐνταῦθα μετ᾽ ἐπαίνου ἀποδεχόμενοι, οὐ τὴν σκεπτικὴν καὶ ἀνόητον „ ἀλλὰ δὴ τὴν νηφάλιον καὶ μετὰ λόγου γινομένην ἐγκρίνομεν· ὥσπερ γὰρ οὐδὲν ἄνευ „ λόγου καταφάσκειν, ἢ ἀποφάσκειν, οὕτως οὐδὲ ἀμφισβητεῖν ἄνευ λόγου χρεών· Φυ- „ λακτέον δὲ α΄. μήποτε τῇ ἀποφάσει συγχέῃς τὴν ἀμφισβήτησιν, οὐ γὰρ αὐτίκα ὁ „ πράγματί τι ἀποφάσκων περὶ ἐκείνου ἀμφισβητεῖν λέγεται· β΄. περὶ τῶν μεγίστην σα- „ φήνειαν ἐχόντων, ἢ θεία ἀξιοπιστία ἐπαραδομένων, οὐ θέμις ἀμφισβητεῖν.

## ΤΜ΄.

Διαλαβοῦσι μέχρι τοῦδε περὶ τοῦ ἐν τῇ ἁπλῇ ἰδέᾳ, ἔτι δὲ καὶ τοῦ ἐν ταῖς κρίσεσι, καὶ προτάσεσι ψεύδους, ἑπόμενόν ἐστιν ἐπὶ τὴν διάληψιν μεταβῆναι τὴν περὶ τοῦ ἐν τῷ διανοήματι.

## ΤΜΑ΄.

Ἀλήθεια τοῖς διανοήμασι πρόσεστιν, ὅτε ὀρθῶς διανοούμεθα (ΤΚ΄.) ὀρθῶς δὲ διανοούμεθα, ὅτε ὁ συλλογισμὸς τῷ λόγῳ τῶν προκειμένων, ἤτοι τῷ λόγῳ

τῆς

τῆς ὕλης ἀληθῆς ᾖ (ΤΚ΄.), καὶ ἔτι τοῖς συλλογιςικοῖς κανόσι τοῖς ἀνωτέρω ἀποδειχθεῖσιν ἁρμοζόντως συνᾴδει. Ὅθεν διὰ τῶν ἀντικειμένων συνάγεται ψευδῆ εἶναι τὰ διανοήματα, ἢ τῷ λόγῳ τῶν προκειμένων τῆς ὕλης φημὶ, ἢ τῷ λόγῳ τοῦ τρόπου τοῦ συμπεραίνειν, εἴτ᾽ οὖν τοῦ εἴδους.

## ΤΜΒ΄.

Ψευδῆ διανοήματα τῷ λόγῳ τοῦ εἴδους λέγονται οἱ παραλογισμοὶ, καὶ τὰ Σοφίσματα. Παραλογισμός ἐςιν, ᾧ τινι ἡ κακία τοῦ εἴδους οὐδεμιᾷ κρύψει καλύπτεται.

*Παρ. χάρ.* *Πᾶσα μοιχεία ἐςὶ φωκτέα,*
*Οὐδεὶς φόνος ἐςὶ μοιχεία,*
*Ἄρα οὐδεὶς φόνος ἐςὶ φωκτέος.*

## ΤΜΓ΄.

Σοφίσματα εἰσὶ συλλογισμοὶ ψευδεῖς, ἐν οἷς ἡ κακία τοῦ εἴδους κρύψει καλύπτεται· παρ. χάρ.

*Πάντες οἱ ἅγιοι τῇ ἁμαρτίᾳ εἰσὶν ὑπεύθυνοι,*
*Πᾶσα μοιχεία ἐςὶν ἁμαρτία,*
*Ἄρα πάντες οἱ ἅγιοι τῇ μοιχείᾳ εἰσὶν ὑπεύθυνοι.*

Ἐπὶ τοῦ συλλογισμοῦ τοῦδε ἡ κακία κρυπτική ἐςιν· εἰ γὰρ εἰς ἔκδηλον εἶδος ἀνάξειας τὸν συλλογισμὸν, γνώσῃ τοῦ πρώτου σχήματος ὄντα, τὴν μείζω ἔχειν μερικὴν, ὅπερ ἐςὶ κατὰ τοῦ (ΣΞΘ΄.) τὸ ἔκδηλον εἶδος τοῦ σοφίσματος τοῦδε ἔςαι τουτί.

*Τὶς ἁμαρτία ἐςιν, ἧπερ οἱ ἅγιοι εἰσὶν ὑπεύθυνοι.*
*Πᾶσα μοιχεία ἐςὶν ἁμαρτία, ἄρα*
*Πᾶσα μοιχεία ἐςὶν, ᾗτινι οἱ ἅγιοι πάντες εἰσὶν ὑπεύθυνοι.*

ΤΜΔ΄.

## ΤΜΔ'.

Α'πάτη ἡ εἰωθεῖα πλημμελεῖσθαι τοῖς διανοημένοις ψευδῶς, ἢ ἐν τοῖς τῦ συλλογισμῦ ὅροις, καὶ τῇ τέτων συζεύξει, ἢ ἐν αὐτοῖς τοῖς πράγμασιν ἐκτὸς τῶν ὅσων εἴωθε γίνεσθαι. Ο῞θεν ἡ μὲν ἐν τῇ λέξει, ἡδ' ἐκτὸς τῆς λέξεως Α'πάτη λέγεται.

## ΤΜΕ'.

Α'πάτη τῆς ἁπλῆς λέξεως ἐςιν, ἡνίκα μία φωνὴ, ἢ εἷς ὅρος ἐν τῷ συλλογισμῷ ἁπαντῶν ἐξαπατᾷ ἡμᾶς τῇ οἰκείᾳ ἀμφιβολίᾳ, ἢ τὸ γνήσιον αὐτῦ νόημα μὴ λαμβάνονται, ἢ ὅροις ἑτέροις τῦ ὅρυ συζευγνυμένυ τὴν κακίαν τῦ συλλογιςικῦ σχήματος ῦ διανοῦντας.

„ Ε'πὶ τὰς ἀπάτας τῆς ἁπλῆς λέξεως ἀνάγκησιν Α'. τὴν ἀπάτην τῆς ὁμωνυμίας,
„ καθ' ἣν τῇ ποικίλῃ μιᾶς ϗ τῆς αὐτῆς φωνῆς σημασίᾳ ἐξαπατώμεθα· παρ. χάρ. Ο'
„ λόγος ἐςὶ σημεῖον τῶν νοημάτων, ϗ ἀφανιζομένη φωνή· ἀλλ' ὁ Χριςὸς ἐςὶ λόγος,
„ ἄρα ὁ Χριςὸς ἐςὶ σημεῖον τῶν νοημάτων ϗ ἀφανιζομένη φωνή.
„ Β'. Ω῞σπερ ἡ ἀπάτη τῆς ὁμωνυμίας πλημμελεῖται, ἡνίκα μία φωνὴ διαφόρως λαμβά-
„ νεται (Α'ριθ. Α'.) Οὕτως ἐν ὁλοσχερεῖ διανοίᾳ ϗ φράσει τῆς ὁμωνυμίας εὑρισκο-
„ μένης, ἕτερον γένος τῶν ἀπατῶν ἐκτελεῖται, ἀπάτη τῆς ἀμφιβολίας καλύμενον·
„ παρ. χάρ. οἶδά σε τὸν ἐχθρόν συ φιλεῖν.
„ Γ'. Α'νάγκησιν ἔτι ἐνταῦθα ἡ ἀπάτη τῆς συνθέσεως, ϗ ἡ τῆς διαιρέσεως· ἡ α. ἐςὶν
„ ἡνίκα ἐν τῷ ἐπιχειρήματι κακῶς συζεύγνυται τὰ ὀφείλοντα διαζεύγνυσθαι· ἡ δὲ δευ-
„ τέρα ὅτε κακῶς διαζεύγνυται, ἅπερ συζεύγνυσθαι ὤφειλον. Παρ. χάρ.

Οὐδεὶς ἀναγεννώμενος δύναται ἁμαρτάνειν,
Τὶς ἄνθρωπος ἀναγεννᾶται,
Α῎ρα τὶς ἄνθρωπος ὐ δύναται ἁμαρτάνειν.

„ Ε'νταῦθα γὰρ ἡ μείζων συνημμένως λαμβάνεται, ὐδεὶς ἀναγεννώμενος, καθ' ὅσον ἐςὶν
„ ἀναγεννώμενος δύναται ἁμαρτάνειν· τὸ δὲ συμπέρασμα διῃρημένως· διαιρεῖς γὰρ ἐν
„ τῷ συμπεράσματι ἀπὸ τῆς τῦ ἀνθρώπυ Ι'δέας τὸ εἶναι ἀναγεννώμενον· πλείω πα-
„ ραδείγματα ἐπάξω ἐν τῇ ἀναπτύξει.

ΤΜϚ'.

## ΤΜϛʹ.

Ταῦτα περὶ τῆς ἐν τῇ λέξει ἀπάτης· ὥσπερ δὲ ἐν τοῖς λόγοις, οὕτω πολλάκις ἔτι καὶ ἐν τοῖς πράγμασι λέληθεν ἡ ἀπάτη, ἥτις ἐκτὸς τῆς λέξεως ἀπάτη εἴωθε λέγεσθαι.

,, Ἐπὶ τὰς ἐκτὸς τῆς λέξεως ἀπάτας ἀνάγουσι Αʹ. τὴν παρὰ τὸ συμβεβηκὸς, ἡνίκα ἐκ
,, τοῦ συμβεβηκὸς ὄντος πρᾶγμά τι συμπεραίνεται. Παρ. χάρ. πᾶν ὅ, τι εἰς ἀθεϊσ-
,, μὸν ἄγει (καθ᾽ αὐτὸ) ἐκεῖνο ἐστὶ κακὸν, ἀλλὰ μὴν ἡ Φιλοσοφία ἄγει εἰς ἀθεϊσμὸν
,, (κατὰ συμβεβηκὸς) ἄρα ἐστὶ κακή. Βʹ. Ἐνταῦθα ἀνάγουσι τὴν ἀπὸ τοῦ κατά τι ἐπὶ
,, τὸ ἁπλῶς ἀπάτην· γίνεται δ᾽ αὕτη, ὁπηνίκα ἔκ τινος διωρισμένως ἤτοι συνεσταλμέ-
,, νως ἀληθοῦς συνάγομεν ἑτερόν τι ἄνευ διορισμοῦ. Ἐὰν οὕτοις ὁ Καΐος ἐστὶ μουσικὸς
,, ἐσθλὸς, ἄρα ὁ Καΐος ἐσθλός· τὴν ἀπάτην ταύτην ἐπιτελέσεις. Γʹ. Τὴν ἀ-
,, πάτην τῆς ἑτεροζητήσεως ἤτοι τῆς ἀγνοίας τοῦ ἐλέγχου, ἥτις ἐστὶν ὁπηνίκα
,, ἡ στάσις τῆς ἀμφισβητήσεως μεταβάλλεται, οὐθ᾽ ὁ νοῦς τι ἐναντίον κατανοεῖται, ὥστε
,, ἐν τῇ ἀπάτῃ ταύτῃ ἀποδείκνυσθαι, ὅπερ εἰς ἀπόδειξιν πρόκειτο. Παρ. χάρ. Ὁ ἀπο-
,, δεικνύειν ἐθέλων τοὺς εἰς τὴν ἀρχὴν σαφῶς πλημμελοῦντας μὴ δεῖν κολάζειν, ἐκ τοῦ
,, εἰπεῖν τὸν Χριστὸν μὴ ἀνθίστασθαι τῷ πονηρῷ, κατὰ τὴν ἀπάτην ἁμαρτάνει τῆς τοῦ
,, ἐλέγχου ἀγνοίας. Δʹ. Ἀπάτη τοῦ αἰτεῖσθαι τὸ ἐν ἀρχῇ ἐστὶν, ὅτε δείκνυταί τι ἐκ τοῦ
,, ὄντως ἐν τῇ ἐρωτήσει· ἤτοι ὅτε ὁ ἐμπεδῶν λόγος, καὶ ἡ ἐμπεδωθησομένη θέσις ἐπί-
,, σης ἐν ἀμφιβολίᾳ εἰσί. Παρ. χάρ. ὁ τῷ Ἀρχιερεῖ τῆς Ῥώμης ἐν ἅπασι πιστεύειν
,, εἶναι καθομολογῶν, ὅτι ἐστὶν ἀναμάρτητος, τὴν ἀπάτην ἐξαμαρτάνει τοῦ αἰτεῖσθαι
,, τὸ ἐν ἀρχῇ· ἐνταῦθα ἀνήκει καὶ ἡ Κυκλικὴ δεῖξις. Εʹ. Ἀπάτη τῆς συνεπείας ἐστὶν,
,, ὅτε ἐκ τοῦ ἡγουμένου συνάγομέν τι μὴ ἐξ αὐτοῦ συναγόμενον. Παρ. χάρ. τῶν τῆς
,, Ἐκκλησίας Πατέρων τινὲς τῆς Φιλοσοφίας παντάπασιν ὠλιγωρήσαν· ἄρα ἡ Φι-
,, λοσοφία ὑπάρχει ὀλέθριος. ϛʹ. Ἀπάτη τοῦ μὴ αἰτίου ἐστὶν, ὅτε τι ἀντὶ αἰτίας λαμ-
,, βάνεται, καίτοι γε αἰτία μὴ ὄν. Ὡς ὅτε ἐπιχειροῦντες τινὲς, πάντες οἱ κάκιστοι τῶν
,, ἀθέων φιλόσοφοι ὑπῆρξον, οὐ τῶν τυχόντων Φιλόσοφοι· ἡ Φιλοσοφία ἄρα αἰτία ἐστὶ
,, τοῦ ἀθεϊσμοῦ. Ζʹ. Ἀπάτη τῆς πολυζητήσεως, ἤτοι τῶν πολλῶν ἐρωτήσεων ἐστὶν,
,, ἡνίκα πολλὰ ζητούμενα εἰς ἓν συμμίγνυται, ὡς ὅτε τις ἐρωτᾷ· ὁ ἄνθρωπος καὶ τὰ
,, φυτὰ ζῶα εἰσί· καὶ οὕτως ἡ σωφροσύνη, καὶ ἡ μέθη εἰσὶ κακία; αἱ ἐρωτήσεις αὗται
,, τοιαῦται εἰσὶν, ὥστε μήτε καταφάσκοντα, μήτ᾽ οὖν ἀποφάσκοντα, τὸν ἐρωτώμενον
,, ἀποκρίνεσθαι.

# ΚΕΦΑ'ΛΑΙΟΝ Γ'.

## ΠΕΡΙ'

## Α'ΛΗΘΕΙ'ΑΣ ΒΕΒΑΙ'ΑΣ,

## ΚΑΙ' ΠΕΡΙ' ΠΟΙΚΙ'ΛΩΝ ΤΡΟ'ΠΩΝ

## τῆς εἰς ταύτην

## Α'ΦΙ'ΞΕΩΣ.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΤΜΖ'.

Α'νεπτύξαμεν μέχρι τῦδε τὴν Ε'ννοιαν τῆς ἀληθείας γενικῶς νοουμένης· ἐπεὶ δὲ μαρτυρῦσης τῆς πείρας πᾶν ἀληθὲς, καὶ ψευδὲς ἢ βεβαίως ἡμῖν ἀληθές ἐςι καὶ ψευδὲς, ἢ ὔ· διασκεπτέον ἐςὶ πρῶτον ἐνταῦθα περὶ ἀληθείας βεβαίας.

### ΤΜΗ'.

Ο'πηνίκα τὴν οἰκειότητα, ἢ ἀλλοτρίωσιν τῦ κατηγορημένυ πρὸς τὸ ὑποκείμενον διακεκριμένως διορῶ, ὥςε τῷ ἐναντίῳ μὴ χώραν δίδοσθαι σαφῶς ἐννοεῖν, τηνικαῦτα περὶ τῆς ἀληθείας, ἢ τῦ ψεύδυς τῆς προτάσεως βέβαιός εἰμι· ὥσθ' ὅτω τὴν ἐμὴν γνῶσιν τῆς ἀληθείας βεβαίαν εἶναι, ὅτε ἀπὸ παντὸς φόβυ τῦ ἀντικειμένυ ἐλευθέρα ᾖ καὶ ἀμέτοχος· τὴν δ' ἀβεβαιότητα γίνεσθαι λόγῳ ἀντικειμένῳ.

## ΤΜΘʹ.

*Ἐντεῦθεν κατανοεῖται μίαν καὶ τὴν αὐτὴν πρότασιν, τῷ μὲν δύνασθαι εἶναι βεβαίαν, τῷ δὲ ἀβέβαιον.*

Δείκν. Ἐπεὶ γὰρ ὁ μὲν προτάσεώς τινος τὴν ἀλήθειαν διακεκριμένως δύναται καθορᾶν, ὥσθ' ἅμα γινώσκειν μὴ δίδοσθαι ὅλως τὸ ἀντικείμενον, ὁ δὲ τὴν αὐτὴν πρότασιν δύναται ὑπολαμβάνειν ὡς ἀληθῆ, καίτοι μὴ διακεκριμένως εἰδὼς ἀνθ' ὅτι ἐςὶν ἀληθής· καὶ ὁ μὲν διακεκριμένως τὴν τῆς προτάσεως ἀλήθειαν καθορῶν, ὥςε τὸ ἀντικείμενον μὴ χώραν ἔχειν κατανοεῖν, βέβαιος περὶ τῆς κατὰ τὴν πρότασιν ἀληθείας ὑπάρχειν λέγεται (ΤΜΗʹ.)· προφανὲς, ὅτι μία καὶ ἡ αὐτὴ πρότασις τῷ μὲν δύνασθαι εἶναι βεβαίαν, τῷ δὲ ἀβέβαιος.

„ Πᾶν ὅτι ἐςὶν ἀληθὲς καθ' αὐτὸ βεβαίως ἐςὶν ἀληθὲς, ὅτι οὐ δύναται ἅμα εἶναι ψευδές· „ οὐ πᾶν δὲ τὸ ἀληθὲς, καὶ ἡμῖν παρὰ τοῦτο βεβαίως ἐςὶν ἀληθές· οὐ γὰρ ἀεὶ διακεκρι„ μένως τὴν τῷ κατηγορουμένῳ πρὸς τὸ ὑποκείμενον καθορῶμεν συνάφειαν, οὔτ' ἀεὶ τὸν „ ἀποχρῶντα λόγον κατανοοῦμεν, δι' ὃν συνιέναι δυνάμεθα τί δήποτε τὸ κατηγορούμε„ νον τῷ ὑποκειμένῳ ἀνήκει. Ὅθεν ἡ βεβαιότης τῷ λόγῳ τῷ ἀντικειμένῳ οὐδέποτε χώ„ ραν ἔσχηκεν, οὐκ ἀεὶ δὲ ἡ τῷ λόγῳ τῷ ὑποκειμένῳ· λάβωμεν παρ. χάρ. ταύτην „ τὴν πρότασιν. Πᾶν τὸ διανοούμενον ὀφείλεται εἶναι ἁπλοῦν ὄν. Ἡ πρότασις ἦν „ αὕτη, εἴπερ ἐςὶν ἀληθὴς, βεβαίως ἐςὶν ἀληθὴς· βεβαιότητι ὀφείλει τῇ κατὰ τὸν λό„ γον τῷ ἀντικειμένῳ (οὐ γὰρ ἅμα δύναται εἶναι ψευδής·) Ἐπεὶ δὲ καθ' ἑαυτὴν βε„ βαίως ἐςὶν ἀληθὴς, οὐκ ἄρα παραχρῆμα τῷ Καΐῳ βεβαίως ἐςὶν ἀληθής· τὸν Λυ„ σίαν διακεκριμένως εἰδέναι τὸν λόγον, δι' ὃν τὸ διανοούμενον ὀφείλει εἶναι ἁ„ πλοῦν. ἔςαι δὴ αὐτῷ ἡ πρότασις αὕτη βεβαίως ἀληθής. Θῶμεν ἔτι τὸν Τίμωνα „ τὴν πρότασιν ταύτην μετ' ἄλλων [illegible] ἀληθῆ, ἀγνοεῖν „ δὲ [illegible] τὸν αὐτὸν τὴν ἀρχὴν, δι' ἣν ἡ πρότασις ἔσχηκε τ' [illegible] ἔςαι δὲ τότε „ ἡ πρότασις αὐτῷ οὐκέτι ἀβέβαι[illegible]

## ΤΝʹ.

Διπλῆ ἐςὶν ἡ ὁδὸς εἰς πᾶσαν βεβαίωσιν [illegible] πεῖρα [illegible] ὁ λόγος, ἤτοι ἡ ἀπόδειξις· ὅθεν περί τε πείρας καὶ περὶ ἀποδείξεως, ὡς μέσων ἐξαιρέτων εἰς ἐπίτευξιν βεβαιότητος κατὰ μέρος διαληψόμεθα.

ΤΝΑʹ.

## ΤΝΑʹ.

*Διὰ τῆς πείρας ἐννοῦμεν γνῶσιν πορίζομένην ἡμῖν προσέχουσι τοῖς ἀντικειμένοις τοῖς ἀπαντῶσιν ἡμῶν ταῖς αἰσθήσεσι.*

„ Οὕτω παρ. χάρ. διὰ τῆς πείρας οἴδαμεν τὸ ὕδωρ ὑγραίνειν· ταύτην γὰρ τὴν γνῶσιν „ πορίζόμεθα ἐπὶ τὰ ἀπαντῶντα ταῖς αἰσθήσεσι προσέχοντες ἀντικείμενα· πειρᾶσθαι τοι- „ γαροῦν πράγματός τινος, οὐδὲν ἄλλο ἐστὶν, ἀλλὰ τὴν ἐκείνου γνῶσιν πορίζεσθαι τῷ ταῖς „ αἰσθήσεσιν ἀπαντῶντι προσέχοντας. Ἡ πειραματικὴ, καὶ γνῶσις λέγεται „ ἐκ τῶν ὑστέρων· ὥσπερ ἐνταῦθα τὴν πειραματικὴν γνῶσιν λαμβάνομεν, ἀντὶ „ τῆς αἰσθητικῆς γνώσεως, ἤτοι τῆς πορίζομένης ἡμῖν ταῖς προσλήψεσι, ἢ αἰσθήσε- „ σι ταῖς ἡμετέραις ἐνατενίζουσιν, ὥσπερ ἐνίοτε ἡ πεῖρα λαμβάνεται ἀντὶ τῶν ἐννοιῶν „ καὶ προτάσεων τῶν τὴν ἐκ τῶν ὑστέρων γνῶσιν πορίζομένων. Περὶ ταύτης δὲ τῆς „ σημασίας οὐδεὶς ἡμῖν ἐνταῦθα γίνεται λόγος.

## ΤΝΒʹ.

### Ἐντεῦθεν καταφανὲς μόνον ἡμᾶς τῶν ὑπαρχόντων πεῖραν λαμβάνειν, καὶ τὰ ἄτομα καὶ καθ᾽ ἕκαστα ἀντικείμενα ὑπάρχειν τῇ πείρᾳ.

*Δεικν.* Ἐπεὶ γὰρ ἡ πεῖρα γνῶσίς ἐστι πορίζομένη διὰ προσοχῆς ἐπὶ τὰς καταλήψεις, ἤτοι τῶν ἡμετέρων αἰσθήσεων τὰς ἐνεργείας (ΤΝΑʹ.) ἐκείνων δὲ μόνον ἀντιλαμβανόμεθα, εἴτ᾽ οὖν αἰσθανόμεθα, τῶν ὅσα ὕπαρξιν ἔσχηκεν (κατὰ τὸν Ὁρισμὸν τῆς αἰσθήσεως), ἑπόμενόν ἐστι τῶν ἐνεργείᾳ μόνον ὑπαρχόντων πειρᾶσθαι. Ἐπεὶ δὲ τὰ ἐνεργείᾳ ὑπάρχοντα ἄτομά ἐστιν, ἤτοι καθ᾽ ἕκαστα (ΤΘʹ.), κατανοεῖται, ὅτι ἀντικείμενον τῆς πείρας τὰ ἄτομά ἐστιν, ἤτοι τὰ καθ᾽ ἕκαστα.

## ΤΝΓʹ.

Ἐκ δὲ τούτου κατάδηλον γίνεται τῶν καθόλου ἤτοι τῶν ἀφῃρημένων οὐκ ἀμέσως ἡμᾶς πειρᾶσθαι, καίτοιγε τῆς τῶν καθόλου γνώσεως ἀπὸ τῶν

τῇ πείρᾳ ὑποπιπτόντων φιλότης παράγεσθαι, ὅπερ ἐκ τῶν ἀνωτέρω περὶ μεθόδου τῆ διαμορφοῦν τὰς Ἐννοίας δι᾽ ἀφαιρέσεως εἰρημένων (ΡΞ.) ἔξεσι γινέσθαι σαφές.

## ΤΝΔ΄.

Ἐντεῦθεν δῆλον ὡς ἅπασι τοῖς εἰς δεῖξιν θέσεώς τινος κεχρημένοις τῇ πείρᾳ, σύμβαμά τι τῶν καθ᾽ ἕκαστα καὶ ἐν ἀτόμῳ γινομένων, παραλαμβάνειν ὀφείλεται.

Δεῖξν. Ἐπεὶ γὰρ τῶν ἐνεργείᾳ ὑπαρχόντων καὶ καθ᾽ ἕκαστα μόνον πειρώμεθα (ΤΝΒ΄.), δῆλον ὅτι ὁ καταφεύγων ἐπὶ τὴν πεῖραν σύμβαμά τι τῶν καθ᾽ ἕκαστα ὀφείλει προσενεγκεῖν, ὡς ἂν συνιέναι δύναιτο, εἴποτε ὀρθῶς τῇ πείρᾳ ἐχρήσατο, καὶ ὅπως ἐκ τῶν αἰσθήσεων τὴν ἑαυτῆ κρίσιν πειραματικὴν παραγάγῃ.

„ Εἰδὲ τις πεῖραν προσλάβῃ τὴν ὁποιανδήποτε ἀπαντῶσαν, ἢ δῆ σύμβαματι ἀπενεγκεῖν „ τῶν καθ᾽ ἕκαστα· ὁσάκις δέοι ἐκ τῆς πείρας δηλῶσαι καταράσσομεν τὸ μὴ παρὰ „ πᾶσιν ἀπαντᾶν, τοσάκις χρὴ τὸ ἀδικὸν σύμβαμα προσλαμβάνειν.

## ΤΝΕ΄.

Ἐντεῦθεν ἔτι δηλεῖται, πᾶν, ἐτινοσοῦν ἐδεμίαν ἑαυτοῖς διαμορφέμεθα Ἔννοιαν, διὰ τῆς πείρας ἐκ ἀναφαίνεσθαι.

Δείκν. Ὅτε γὰρ πειρώμεθα, γινώσκομεν τὸ ταῖς αἰσθήσεσιν ἀπαντῶν (ΤΝΑ΄.), παντὸς δὲ τῆ ταῖς αἰσθήσεσι γινωσκομένη σαφῆ πάντως Ἔννοιαν ἔχομεν (ΞΕ΄.)· Πρόδηλον ὅτι κακῶς ἂν λέγοιτο, ἐκ τῆς πείρας ἀναφαίνεσθαι τὸ, ἕπερ ἐδεμίαν Ἔννοιαν ἔχομεν.

„ Οὐκ ὀρθῶς τοίνυν τῶν νεωτέρων τινὲς ἐκ τῆς πείρας ὑπέλαβον δείκνυσθαι τὴν φυσικὴν „ ἐπιῤῥοὴν τῆς ψυχῆς ἐν τῷ σώματι· ἐδέποτε γὰρ γινώσκομεν, κἂν ἐντροσοχῇ ὦμεν „ τῶν κατ᾽ αἴσθησιν ἡμετέρων ἐνεργειῶν, ἀληθῶς καὶ ἐνεργητικῶς τὴν ψυχὴν τὸ σῶμα „ κινεῖν, καὶ ἑπομένως ἔτε σαφῆ ἐχόμεν Ἔννοιαν τῆς φυσικῆς ἐπιῤῥοῆς τῆς ψυχῆς „ ἐν τῷ σώματι. Ὅρα Βολφ. Λογ. Λατ. σελ. 483.

„ Τῆς

„ Τῆς φυσικῆς ἐπιῤῥοῆς τῆς ψυχῆς εἰς τὸ σῶμα οὐδ' ὅλως οὐδεμίαν ὅλως ἔννοιαν ἔχομεν
„ μήτε δὲ ἐν τῷ κινεῖσθαι τὰ τοῦ σώματος ὄργανα κατὰ τὴν τῆς ψυχῆς θέλησιν ἐννοοῦ-
„ μέν τι τῆς φυσικῆς ταύτης ἐπιῤῥοῆς· κακῶς ἄρα λέγεται, ὅτι πειρώμεθα τῆς αὐτῆς.

## ΤΝϚ'.

Ἐκ δὴ τῶν εἰρημένων ἀναφαίνεται, πᾶσαν πεῖραν ὀρθῶς διαιρεῖσθαι, εἰς ἐξωτερικὴν καὶ ἐσωτερικήν.

Δεικν. Διὰ τῆς πείρας γινώσκομεν, ἢ τὰ ἐν ἡμῖν αὐτοῖς καὶ τῇ ἡμετέρᾳ ψυχῇ συμβαίνοντα, ἑαυτοῖς προσέχοντες κατανοεῖν, ἢ τὰ ἐκτὸς ἡμῶν, τῶν αἰσθήσεων εἰς ἐπικουρίαν λαμβανομένων, ἑαυτοῖς παριστᾷν. Τὰ μὲν οὖν ἐν ἡμῖν, καὶ τῷ ἡμετέρῳ νοῒ συμβαίνοντα ἑαυτοῖς παριστῶντες, ἐσωτερικαῖς αἰσθήσεσι λέγομεν τοῦτο ποιεῖν. Τὰ δ' ἐκτὸς ἡμῶν ἐν τοῖς ἡμετέροις αἰσθητηρίοις μεταβολὴν παράγοντα παριστῶντες ταῖς ἐξωτερικαῖς φαμὲν αἰσθήσεσι τὸ αὐταῖς καθῆκον ἐπιτελεῖν. Ἐπείπερ οὖν αἱ αἰσθήσεις πᾶσαι ἢ ἐσωτερικαί εἰσιν, ἢ ἐξωτερικαί, καὶ πᾶσα πεῖρα ταῖς δι' αἰσθήσεων ἐνεργείαις ἐρείδεται (ΤΝΑ'.), ἀναμφηρίστως ἡ πεῖρα ὀρθῶς κτλ'.

„ Οὕτω παρ. χάρ. Δι' ἐσωτερικῆς αἰσθήσεως οἶδα, ὁσάκις πρᾶγμά τι ὡς κακὸν ἐμαυτῷ
„ παριστῶ, τοσάκις τῇ ἡμετέρᾳ ψυχῇ ἄχθος ἐπικεῖσθαι· διὰ δὲ τῆς ἐξωτερικῆς πείρας
„ δηλοῦται· τὸ πῦρ ὑπάρχειν θερμόν, καὶ διϋγραίνειν τὸ ὕδωρ.

## ΤΝΖ'.

Ἡ πεῖρα ἔτι ὀρθῶς διαιρεῖται εἰς κοινὴν καὶ τεχνικήν.

Δεικν. Ἐπεὶ γὰρ μαρτυρούσης τῆς πείρας ἡ πειραματικὴ ἡμῶν γνῶσις, ἢ παρίστησιν ἡμῖν παρατηρήσει τῶν αἰσθήσεων ἐνεργείας τῷ χύδην ὄχλῳ, καὶ τῶν ἀπαιδεύτων ἑκάστῳ οὔσας κοινὰς ἄνευ τε πολλοῦ πόνου καὶ δίχα εἰδικῆς ἡμῶν συνδρομῆς εἰς κατάληψιν ἐρχομένας, ἢ παρίστησιν ἡμῖν καταλήψεις εἰδικῆς ἡμῶν ἐπιγινομένης σπουδῆς διὰ τῶν πειραμάτων γινωσκομένας,

δηλ-

δηλοῦται ἤδη ἄριστα τὴν πεῖραν διαιρεῖσθαι εἰς κοινὴν, ἤτοι δημώδη, καὶ εἰς σοφὴν, ἤτοι τεχνικήν.

„ *Διὰ τῆς πείρας παρ. χάρ. Τὸ πῦρ εἶδας εἶναι θερμὸν ϗ τῷ ἀγροίκῳ τοῦ αὐτὸ ἐγνωκό-*
„ *τος διὰ διδασκάλου τῆς πείρας, ϗ ἑπομένως αὕτη γε ἡ σὴ πεῖρα ὡς ὄντως ὑπάρχει δη-*
„ *μώδης, ὡς κοινὴ πᾶσι ϗ ὁτῳοῦν ἀπαντῶσα· ἤδη γε διὰ τῶν φυσικῶν πειραμάτων*
„ *ἔγνως τὸν ἀέρα εἶναι βαρὺν, ἢ πλείονος καταβληθείσης σπουδῆς πεῖραν ἔλαβες ἐν τῷ*
„ *σπέρματι δυσάριθμα ζῶα φαίνεσθαι, ϗ ζωΰφια, ἤτοι σκωληκίδια ζῆν, ἡ σὴ αὕτη*
„ *πεῖρα οὐκ ἔτι δημώδης ἐστὶ ϗ κοινὴ, ἀλλὰ σοφή τε ϗ τεχνικὴ ὀφείλει καλεῖσθαι.*
*Ἡ τοῦ νοὸς ἑτοιμότης ϗ τελειότης πρὸς τὸ συνάγειν ποικίλας παρατηρήσεις, ἢ οἰκείῳ*
„ *ἢ ἀλλοτρίῳ πόνῳ ἀνακαλυπτομένας, ϗ ἐξ αὐτῶν δι' ὀρθῶν ϗ κανονικῶν διανοημάτων*
„ *ἕτερα συμβάματα ἀνακαλύπτειν, τέχνη τοῦ πειρᾶσθαι καλεῖται. Ἧς τινος ἐπ'*
„ *ἐξεργασίαν πλεῖστον συμβάλλουσι τὰ πειράματα ϗ τὰ τοσαῦτα τῶν πεπαιδευμένων*
„ *εὑρήματα, ἐξ ὧν περ γενικώτεραι δύνανται παρατηρήσεις παράγεσθαι.*
„ *Ταῦτα μὲν δὴ περὶ τοῦ τῆς πείρας Ὁρισμοῦ, ϗ τῶν ἐκ ταύτης παραγομένων πορισμάτων,*
„ *ἔτι τε μὴν τῆς πολλαπλῆς διαιρέσεως τῆς πείρας εἰρήσθω. Νῦν δὲ ἰδικώτερον ἐκθησό-*
„ *μεθα τίνι λόγῳ διὰ τῶν αἰσθήσεων, ἤτοι τῆς πείρας ϗ τῆς ἐπὶ τῶν ὑστέρων γνώσεως ἐπὶ*
„ *τὰς Ἐννοίας ϗ τὰς κρίσεις ϗ τὰς ἀναμφιβόλους ἀληθείας γινόμεθα. Πρὶν ἢ δὲ τοῦτο*
„ *ἀποδειχθῇ, προφυλακάς τινας παραδοτέον, ἃς ἡμῖν δεῖ περὶ τὰς αἰσθήσεις τε ϗ τὰς*
„ *πείρας, εἴγε αὗται τῆς ἀνιχνευθησομένης ἀληθείας ἔρεισμα ὀφείλουσι γίγνεσθαι.*

## ΤΝΗ'.

*Διὰ τῶν αἰσθήσεων, καὶ ἑπομένως τῆς πείρας τῆς ταύταις ἐρειδομένης* (ΤΝΕ'.) *πλείους ἡμῖν* Ἐ*ννοίας διαμορφοῦσθαι, καὶ πράγματα πάμπολλα δεδοκιμασμένα ἡμῖν αὐτοῖς ἀποδίδοσθαι μὴ πρότερον γινωσκόμενα, ἔκ τε τῆς πείρας μαρτυρεῖται, καὶ ἀνωτέρω ἀπεδείξαμεν* (ΤΝΕ'.).

„ *Οὕτω παρ. χάρ. τὴν Ἔννοιαν τοῦ πυρὸς, τὴν τοῦ ὕδατος, ὡσαύτως τὴν τοῦ μέλανος τοῦ*
„ *λευκοῦ, τοῦ ἐρυθροῦ, ϗ τῶν λοιπῶν διὰ τῶν αἰσθήσεων ϗ τῆς πείρας διαμορφοῖς σεαυτῷ·*
„ *ϗ πλείστων πραγμάτων γνῶσιν, τῶν αἰσθήσεων ὡς ἐπικουρίαν λαμβανομένων σεαυτῷ*
„ *προσπορίζῃ, ἅπερ πρότερον οὐκ ἐγίνωσκες.*

ΤΝΘ'.

## ΤΝΘ΄.

Ἵνα δὲ τοῦτο σαφέστερον γένηται τὸ διὰ τῶν αἰσθήσεων καὶ τῆς πείρας ἐπὶ τὴν βεβαιότητα γίνεσθαι, ζήτημα πολλάκις ἐν μέσῳ προαχθὲν, διοριζόμεθα πρότερον, ἆρα αἱ αἰσθήσεις οὐδέποτε ἐξαπατῶσιν;

## ΤΞ΄.

*Τοιγαροῦν γίνωσκε τὰς αἰσθήσεις κειμένων πάντων τῶν εἰς αἴσθησιν ἀπαιτουμένων, ἡμᾶς οὐκ ἐξαπατᾷν εἴγε ἀπατᾷν ἐστὶ τὸ αὐτὸ τῷ ψευδὲς προστιθέναι τε καὶ ψηφίζεσθαι.*

Δεικν. Ἐπεὶ γὰρ εἰς τὰς αἰσθήσεις οὐ πλείω ἀπαιτεῖται τῶν δύω τουτωνί, πρῶτον μεταβολὴν ἀπὸ τῶν ἔξωθεν ἀντικειμένων ἐπὶ τὰ ἡμῶν αἰσθητήρια παράγεσθαι (ὃ δὴ καλοῦσι ῥοπὴν φυσικήν), δεύτερον ἐν τῇ ψυχῇ τὴν παράστασιν ταύτην τῇ γινομένῃ ἐν τοῖς αἰσθητηρίοις μεταβολῇ παράγεσθαι σύμμορφον (κατὰ τὰς ἀρχὰς τῆς Ψυχολογίας) ἑπόμενόν ἐστι, τότε δὴ τέλος τὸ ἑαυτοῖς καθῆκον ἐπιτελεῖν τὰς αἰσθήσεις, ὅτε τὰ ἐκτὸς ἀντικείμενα τὰ μεταβολὴν τοῖς αἰσθητηρίοις παράγοντα, τῇ ψυχῇ παριστῶσιν. Ἐπεὶ δὲ οὐ πλείω τινὰ τῇ αἰσθήσει ἀπαιτεῖται, εἰμὴ δι᾽ αὐτῆς τὸ ἐκτὸς ἀντικείμενον τὸ κινοῦν τὰ ἡμέτερα αἰσθητήρια παριστᾶν, ἑπόμενόν ἐστι οὐκ ἐξαπατᾶν με ἐν τῷ αἰσθάνεσθαι τὰς αἰσθήσεις μου, ὅτι αἱ αἰσθήσεις, ᾗ αἰσθήσεις, οὔτε καταφάσκουσιν, οὔτ᾽ οὖν ἀποφάσκουσι.

,, Πολλάκις παρά τε τοῖς περὶ Καρτέσιον καὶ ἄλλοις τῶν Φιλοσόφων διελήπται, οὔγε αἱ
,, αἰσθήσεις ἐξαπατῶσιν; ταύτην δὲ τὴν ζήτησιν ἀποφάσκομεν, ὅτι τῶν εἰς αἴσθανσιν
,, ἀπαιτημένων πάντων παρόντων, οὐ δύνανται αἱ αἰσθήσεις μὴ παριστᾶν ἡμῖν τὸ ἐκτὸς ἀν-
,, τικείμενον· καὶ ἑπομένως διὰ τῶν αἰσθήσεων τὸ ἀντικείμενον ἑαυτοῖς παριστῶντες οὐκ ἀ-
,, πατώμεθα. Ἡ δὲ κρίσις, ἡ λίαν χρημνωδῶς εἰδοποιουμένη ἐκ τῶν αἰσθήσεων, πολλά-
,, κις ἡμᾶς ἀπατᾷ. Τὰς τοιαύτας δὲ κρίσεις τὰς ἐκ τῶν αἰσθήσεων οὕτως εἰδοποιου-
,, μένας οὐκ εὖθ᾽ ὅπως ἐπὶ τὰς αἰσθήσεις ἀνάγειν ὀφείλομεν. Ἵνα δὲ μὴ ῥᾷστα ἐξαπα-
,, τᾶται ὁ νοῦς κατὰ τὰς αἰσθήσεις κρίνων, προφυλακάς τινας ὑποσυνάψω περὶ πᾶσαν
,, αἴσθησιν παρατηρηθησομένας.

ΤΞΑ΄.

## ΤΞΑ΄.

Ὁ ταῖς αἰσθήσεσιν ὀρθαῖς βουλόμενος χρῆσθαι, καὶ ταύτας οὕτω παραλαμβάνειν, ὥστε ἐξ αὐτῶν ἀναφαίνεσθαι βεβαιότητα, τὰ αἰσθητήρια αὐτοῦ οὕτως ἐχέτω φύσεως, ὥστε μηδεμιᾷ μοχθηρίᾳ ἢ νόσῳ μοχθεῖν.

Δεικν. Ὅτε γὰρ τὰ αἰσθητήρια διεφθαρμένα ᾖ, οὐ τὰς αὐτὰς πάντως ἐν ἐκείναις τὰ ἀντικείμενα παράξει μεταβολὰς, ἃς παρῆγον ἂν ἐκείνων ὑγιῶν ὄντων. Ὅθεν οὐδὲν θαυμαστὸν κατὰ τὰς διεφθαρμένας αἰσθήσεις κρίνοντα τὸν νοῦν ἀπατᾶσθαι. Εἴπερ οὖν ταῖς αἰσθήσεσιν ὀρθῶς βουλόμεθα χρῆσθαι καὶ ταύτας προσλαμβάνειν, ὡς ἂν ὁ νοῦς κατ᾽ αὐτὰς κρίνων οὐδόλως ἐξαπατῷτο, ἀνάγκη τὰ αἰσθητήρια ὑγιαίνοντα εἶναι, καὶ ἀδιάφθορα.

„ Ἀφυὴς οὖν εἰς τὸ κρίνειν περὶ χρωμάτων ἐστὶν ὁ βεβλαμμένος ταῖς ὄψεσιν· οὐδ᾽ ὁ πυρετῷ „ συνεχόμενος ἐπιτηδείως ἔχει εἰς τὴν ὀρθὴν δοκιμασίαν τοῦ χυμοῦ τοῦδε ἢ ἐκείνου τοῦ „ βρώματος.

## ΤΞΒ΄..

Ὥστινι οὖν τύχωσιν οὖσαι αἱ αἰσθήσεις μικρὸν ἀσθενέστεραι, δι᾽ ὀργάνων τεχνικῶν, Τηλεσκοπίων φημὶ καὶ Μικροσκοπίων τὴν ἔλλειψιν ταύτην ἰᾶσθαι τοῦτον χρεών.

## ΤΞΓ΄.

Ἵνα δὲ μὴ ὁ νοῦς κατὰ τὰς αἰσθήσεις κρίνων ἐξαπατῷτο.. τὰ ὧνπερ αἰσθανόμεθα προσεχέστερον ὀφείλομεν διασκέπτεσθαι..

Δεικν. Ἐπεὶ γὰρ ὅσῳ πλεῖστον τῷ προσλαμβανομένῳ ἐνατενίζομεν πράγματι, τοσοῦτον σαφεστέρα ἡ Ἰδέα ἀποτελεῖται (ΟΒ΄.), ἡσεῖς ἀμφιγνοήσει τὸν ἀμελημένης τῆς προσοχῆς πραγματείας τινος αἰσθανόμενον ἀσαφῶς πως.

πως γινώσκειν αὐτό. Ὅθεν ἐντεῦθεν γινώσκεται τίδηποθ᾽ ὁ νῦς κατὰ τοιαύτην αἴσθησιν κρίνων πλεῖστον ὅσον ἐξαπατᾶται. Εἰ ἄρα ὁ νῦς ἐν ταῖς κρίσεσι ταῖς δι᾽ αἰσθήσεως εἰδοποιϋμέναις ὐκ ὀφείλει ἐξαπατᾶσθαι, καὶ ἡμεῖς ταῖς ἡμετέραις αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμεθα, τετὶ μάλιστα σπυδαςέον, πᾶν ὅ, τι προσλαμβάνομεν ἤτοι αἰσθανόμεθα ἀκριβεῖ διασκέψασθαι προσοχῇ.

## ΤΞΔ΄.

Ἔτι ὁ ταῖς αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμενος, καὶ εἰς τὴν τῶν ἀληθειῶν ἔρευναν προσλαμβάνειν αὐτὰς ἐφιέμενος, ὡς ἂν ὁ νῦς κατ᾽ αὐτὰς κρίνων ὐ ῥᾶςα ἐξαπατῶτο, ἐπὶ τοσαύτας αἰσθήσεις ἀναγαγέτω τὸ προσληφθὲν, ἐφ᾽ ὅσας ἀνάγεσθαι δύναται.

Δεῖξιν. Ἐπεὶ γὰρ τοσῦτον ἡ Ἰδέα τῦ προσλαμβανομένυ πράγματος σαφεςέρα ἀποτελεῖται, ὅσον διὰ πλειόνων αἰσθήσεων ταυτὶ προσλαμβάνεις, ἀναμφιῤῥεπὲς ἤδη ἐχ ὕτως εὐχερῶς τὸν νῦν ἐξαπατηθήσεσθαι κρίνοντα κατὰ τὰς αἰσθήσεις, εἴπερ διὰ πλειόνων αἰσθήσεων ἑνὸς καὶ τῦ αὐτῦ ἀντιλαμβανόμεθα πράγματος. Ὀρθῶς ὖν ἐντελλόμεθα ἔτι ὁ ταῖς αἰσθήσεσιν ὀρθῶς χρῆσθαι βυλόμενος, καὶ εἰς τὴν τῶν ἀληθειῶν ἔρευναν κτλ.

## ΤΞΕ΄.

Εἴπερ ἡ Κρίσις ἡ ἐν ταῖς αἰσθήσεσιν ἱςαμένη ὐκ ὀφείλει ἐξαπατᾶν, ὡρισμένην δεῖ παρεῖναι τὴν τῶν αἰσθητηρίων καὶ τῶν ἀντικειμένων διάςασιν.

Δεῖξιν. Εἰ γὰρ τὰ ἀντικείμενα λίαν ἀπεσχοινισμένα ᾖ τῶν ὀργάνων, ἀσθενέςερον πάντως κινήσει τὰ αἰσθητήρια, καὶ ἑπομένως ἡ τῦ προσλαμβανομένυ ἐν τῇ ψυχῇ παράςασις, ἔςαι ἀσαφὴς, ὁ δὲ νῦς κατὰ τὴν ἀσαφῆ ταύτην παράςασιν ἐπιφέρων τὴν κρίσιν ῥᾶςα ἐξαπατᾶται.

## ΤΞϚʹ.

Ἐν τοῖς μάλιστα δὲ τιτὶ προφυλακτέον περὶ τὴν πεῖραν, μήποτε πράγματι, ὅπερ οὐδέπω πεῖραν ἐλάβομεν, ἀλλ᾽ ἢ διὰ Συλλογισμῶν ἐκ τῆς πείρας παραγομένων, ἢ διὰ τῆς φαντασίας ἡμῖν ἀλλαχόθεν ὑπάρχεται λαμβάνομεν ἀντὶ πείρας. Ταύτην δὲ τὴν πλάνην ἐν τῷ πειρᾶσθαι, οἱ πλημμελοῦντες ὑφ᾽ ἁρπαγῆς πλημμελοῦσι κακίαν. συνίσταται δ᾽ αὕτη ὁπηνίκα τινὸς πειρᾶσθαι δοκοῦμεν ἑαυτοῖς, ὅπερ οὐδόλως πειρώμεθα.

„ *Διὰ τῆς πείρας μόνον γινώσκομεν τὰ καθ᾽ ἕκαστα, ἤτοι τὰ ἐνεργείᾳ ὑπάρχοντα. Πλεῖ-*
„ *ον ἢ πλέον ἐκ τῆς πείρας ἀνακρίνεσθαι νομίζομεν ἑαυτοὺς, καὶ μὴ μόνον τὰ ἐνεργείᾳ*
„ *ὑπάρχοντα, τὰς τῶν πραγμάτων ἔτι αἰτίας τὰς ἐκ τῶν ἐνεργείᾳ ὑπαρχόντων διὰ*
„ *διανοημάτων παραγομένας ἐκ τῆς πείρας δεικνύειν ἀξιοῦντες τάς τε ἡμετέρας ὑποθέ-*
„ *σεις, καὶ τὰς τῆς φαντασίας γονὰς τοῖς, ὧν περ πειρώμεθα, ἀναμιγνύντες, τὴν ῥη-*
„ *θεῖσαν δηλ. τῆς ὑφαρπαγῆς ταύτην πλημμελοῦμεν κακίαν. Π. Χ. Διὰ τῆς πείρας γι-*
„ *νώσκομεν τὴν Μαγνῆτιν ἕλκειν τὸν σίδηρον. Εἴπερ οὖν τὰς τοῦ φαινομένου τούτου*
„ *αἰτίας ἐρευνήσας τὰς ἀποῤῥοίας τῆς μαγνήτιδος ἐν αἰτίᾳ ὑπεθῆς εἶναι, καὶ ἐκεῖθεν ἀ-*
„ *ξιώσειας, διὰ τῆς πείρας πρόδηλον εἶναι τὸ δι᾽ ἀποῤῥοιῶν τὴν Ἡράκλειον λίθον*
„ *ἕλκειν τὸν σίδηρον, τὴν τῆς ὑφαρπαγῆς ἁμαρτάνεις κακίαν. Τὸ γὰρ ἐκ τῆς πεί-*
„ *ρας συμπεραινόμενόν τε καὶ συναγόμενον ἀντὶ τῆς πείρας λαμβάνεις αὐτῆς. Πλείω*
„ *τῆς κακίας ταύτης τῆς ὑφαρπαγῆς, παραδείγματα ἔταξα ἐν τῇ ἀναπτύξει.*

## ΤΞΖʹ.

Τῶν Κανόνων δὴ τούτων καὶ προφυλακῶν περὶ τὰς αἰσθήσεις τε καὶ τὴν πεῖραν ἤδη σημειωθέντων, εὐχερῶς τανῦν ἡ ὁδὸς ἡ ἐπὶ τὴν ἀλήθειαν ὀχυρωθήσεται. Ὀψόμεθα τοιγαροῦν ὅπως διὰ τῶν αἰσθήσεων καὶ τῆς πείρας, αἱ Ἔννοιαι καὶ αἱ κρίσεις διαμορφοῦσθαι δύνανται καὶ εἰώθασι.

## ΤΞΗʹ.

### Ὁποιασδηποτοῦν ἑαυτοῖς Ἐννοίας διὰ τῆς πείρας εἰδοποιοῦμεν ἀμέσως εἰσὶ μόνον ἀτομικαί.

Δείκν. Ἐπεὶ γὰρ πᾶν, οὗτινος πεῖραν ἔχομεν, ὑπάρχει τε καὶ καθ᾽ ἕκαστά ἐστι (ΤΝΒ), πρόδηλον ἡμᾶς διὰ τῆς πείρας μόνον ἑαυτοῖς παριστᾶν τὰ

ὑπάρ-

ὑπάρχοντα· ἡ δὲ τῦ ὑπάρχοντος παράςασις Ἔννοια ἐςὶν ἀτομική (ΡΒ'.) ἄρα ὁποιαςδηποτῦν ἑαυτοῖς διὰ τῆς πείρας ἀμέσως διαμορφῦμεν Ἐννοίας ἀτομικαὶ μόνον ὑπάρχυσιν Ἔννοιαι.

## ΤΞΘ'.

Αἱ κρίσεις ἐν ταῖς καθ' ἕκαςα ταύταις ἐννοίαις ταῖς διὰ τῆς πείρας εἰδοποιημέναις ἐρειδόμεναι ἐποπτικαὶ λέγονται. Ὁρίζεται δὲ ὁ περίπυςος Βόλφιος τὴν ἐποπτικὴν κρίσιν τοιαύτην εἶναι, καθ' ἣν ὄντι τινὶ ἀπονέμομεν ὅσαπερ καθορῶμεν ἐν τῇ αὐτῦ Ἐννοίᾳ περιεχόμενα· ἡ δὲ διὰ Συλλογισμῦ ἐκ τῆς ἐποπτικῆς κρίσεως ἐξαγομένη κρίσις, διανοητικὴ λέγεται.

„ Οὕτω π. χ. Τῷ πυρὶ ἀπονέμομεν τὴν θερμότητα, ὅτι ἡ Ἔννοια, ἣν περὶ τῦ πυρὸς „ ἔχομεν, θερμὸν ἡμῖν τὸ πῦρ παριςᾷ· ἡ κρίσις ὖν ἡ τὸ πῦρ ἐςὶ θερμὸν λέγυσα, „ ἐποπτική ἐςιν. Εἰ δὲ τὸν Τίτιον ὀργιζόμενον ἴδοις, τότε δὴ ἐκ τῆς κρίσεως ταύ„της τῆς ὁ Τίτιός ἐςιν ὀργιζόμενος, καὶ ἑτέρας, ἥνπερ ἡ μνήμη σοὶ ὑποτίθησιν, ὁ „ ὀργιζόμενος ὐκ ἔςιν ἔμφρων, τρίτην ἐξάγεις, τὴν ὁ Τίτιος ὐκ ἔςιν ἔμφρων, ταύ„την δὲ τὴν τρίτην κρίσιν διανοητικὴν λέγομεν.

## ΤΟ'.

Ἀπὸ τῶν ὑςέρων, ἤτοι διὰ τῆς πείρας εἰδοποιῦνται κρίσεις ἐποπτικαὶ τῦτον τὸν τρόπον.

Α'. Προσέχων ἐπὶ τὸ προσλαμβανόμενον πρᾶγμα λάβε τυτὶ ὑποκείμενον.

Β'. Προσέχων ἐπὶ τὸ ἐνυπάρχον τῷ προσλαμβανομένῳ πράγματι, τυτὶ λάβε κατηγορύμενον, καὶ ὕτως ἡ ἐποπτικὴ κρίσις γενήσεται.

„ Παρ. χάρ. Τὸ πῦρ προσλαμβάνων καὶ ἐν αὐτῷ τὸ καίειν παρατηρῶν, τὸ μὲν πῦρ ὑπο„κείμενον, τὸ δὲ καίειν λήψῃ κατηγορύμενον, κἀντεῦθεν ἀνακύψει ἐποπτικὴ καὶ κατα„φατικὴ κρίσις, τὸ πῦρ καίει.

## ΤΟΑ΄.

Ἡ ἐποπτικὴ ἀποφατικὴ κρίσις τὸν τρόπον τῦτον εἰδοποιεῖται.

Α΄. Τὸ προσλαμβανόμενον πρᾶγμα λάβε ὡς ὑποκείμενον.

Β΄. Τὸ ἄλλο τε ἄλλοις παρατηρηθὲν ἐνυπάρχειν, ἐν δὲ τῷ προσλαμβανομένῳ πράγματι μὴ προσεῖναι κατανοηθὲν, ὡς κατηγορέμενον λάμβανε ἀποφατικόν. οἷον παρ. χάρ. Τὴν τράπεζαν ταύτην προσλαμβάνων ἐν ὑποκειμένε χώρα ὡς προσλαμβανόμενον πρᾶγμα, λήψῃ ταύτην τὴν τράπεζαν, ἐπεὶ δὲ τὴν στρογγυλότητα ἐν ἄλλοις τισὶ παρατηρήσας ὑπάρχειν, ἐν τῇ τραπέζῃ ταύτῃ ὐκ εὕρηκας, τὸ στρογγύλον ὡς ἀποφατικὸν λαμβάνεις κατηγορέμενον τῦτον τὸν τρόπον· αὕτη ἡ τράπεζα ὐκ ἔστι στρογγύλη.

## ΤΟΒ΄.

Ὁρᾷς ὖν ἐκ τέτων τὰς διὰ τῆς πείρας εἰδοποιεμένας τῶν κρίσεων, κρίσεις εἶναι καθ᾽ ἕκαστα.

Δεῖξιν. Αἱ κρίσεις αἱ διὰ τῆς πείρας διαμορφέμεναι εἰσὶ Κρίσεις ἐποπτικαὶ (ΤΞΘ΄.), ἐν δὲ ταῖς ἐποπτικαῖς Κρίσεσιν ἀντὶ ὑποκειμένε τὸ πρᾶγμα λαμβάνεται, τὸ προσλαμβανόμενον ταῖς αἰσθήσεσι (ΤΟ΄.), τὸ δὲ προσλαμβανόμενον ταῖς αἰσθήσεσι καθ᾽ ἕκαστα λέγεται, ἤτοι Ἄτομον (ΤΘ΄.), ἄρα ἐν ταῖς ἐποπτικαῖς κρίσεσι χώραν ὑποκειμένε πληροῖ τὸ καθ᾽ ἕκαστα ἤτοι τὸ Ἄτομον. Ἡ δὲ κρίσις ἐν ᾗ χώραν ὑποκειμένε ἐπέχει τὸ καθ᾽ ἕκαστον, εἴτεν Ἄτομον μερικὴ λέγεται (ΣΙΖ.). Ἄρα αἱ διὰ τῆς πείρας διαμορφέμεναι κρίσεις εἰσὶ καθ᾽ ἕκαστα.

## ΤΟΓ΄.

Καί τοι δὲ τῶν τε ἐννοιῶν καὶ τῶν κρίσεων τῶν εἰδοποιεμένων διὰ τῆς πείρας καθ᾽ ἕκαστα ὄντων (ΤΟΒ΄.), ὀδὲν ἧττον ἔμπης ὥσπερ ἀνωτέρω τὰς μερικὰς προτάσεις εἰς καθόλε μεταβάλλεσθαι ἀπεδείξαμεν (ΣΙς΄.), ὅτω δὴ καὶ

αἱ καθ' ἕκαστα εἰς καθόλου μεταλλάττεσθαι δύνανται. Δείξωμεν τοιγαροῦν τίνι τρόπῳ αἱ ἔννοιαι καὶ ἐποπτικαὶ κρίσεις εἰς καθόλου μετατρέπεσθαι δύνανται.

„ *Πρὶν οὖν δὲ ὁ τρόπος τοῦ διαμορφοῦν τὰς καθόλου Ἐννοίας διὰ τῆς πείρας ἀποδειχθῇ ἐν τοῖς „ μάλιστα ἐπωφελές ἐστι, διδάξαι τίνι τρόπῳ ἐκ τῶν ὑστέρων, ἤτοι διὰ τῆς πείρας, τὰ „ προσδιδόμενα καὶ τὰ συμβεβηκότα, ἤτοι οἱ τρόποι τοῦ προσλαμβανομένου πράγματος „ ἀνιχνεύεσθαι δύναται.*

## ΤΟΔ'.

Βουλομένῳ σοι ἀπὸ τῶν ὑστέρων, ἤτοι διὰ τῆς πείρας εἰδέναι εἴπερ τὸ παρατηρημένον ἐνυπάρχειν τῷ προσληφθέντι πράγματι, προσδιδόμενον εἴτ' οὖν οὐσιῶδες ἐκείνου εἴη, ἢ γοῦν συμβεβηκός, προσεκτέον, εἴγε τὸ παρατηρούμενον ἐνυπάρχειν ἀείποτε καὶ ὡσαύτως τῷ προσλαμβανομένῳ ἀνήκει, ἢ οὔ. Εἴπερ οὖν τὸ Α'. ἐν τῷδε τῷ χρόνῳ τῷ προσλαμβανομένῳ πράγματι παρατηρήσειας ἐνυπάρχειν· ἄλλοτε δὲ ἐν τῷ αὐτῷ, ἢ ἐν ἑτέρῳ τοῦ αὐτοῦ γένους ἢ εἴδους, οὐχ εὑρίσκεται. Τότε δὴ τὸ Α'. ἐπὶ τὰ μεταβλητὰ συμβεβηκότα, ἤτοι τοὺς τρόπους τοῦ προσλαμβανομένου ὑποκειμένου ἀνάγειν χρεών.

„ *Παρατηρῶν παρ. χάρ. ὑγρὸν τὸν κηρὸν, εἴπερ εἰδέναι βούλοιο τὸ ὑγρὸν ἂν ᾖ συμβεβη- „ κὸς τῷ κηρῷ, προσέχειν ὀφείλεις ἂν ἀεὶ τὸ ὑγρὸν, καὶ ὡσαύτως τῷ κηρῷ πρόσεστιν· „ ἐπεὶ δὲ τῷ πυρὶ τὸν κηρὸν προσεγγίσαντα παρατηρεῖς τήκεσθαι, μακρὰν δὲ τούτου „ γινόμενον, οὐδ' ὅλως εἶναι ὑγρὸν, ὁρᾷς ἤδη τὸ ὑγρὸν εἶναι ἐπὶ τὰ μεταβλητὰ τοῦ „ κηροῦ, καὶ ἑπομένως ἐπὶ τὰ συμβεβηκότα ἤτοι τρόπους τοῦ αὐτοῦ ἀναφέρεσθαι.*

## ΤΟΕ'.

Εἰ δὲ τὸ Α'. ἐν τῷ προσλαμβανομένῳ πράγματι ἀείποτε παρατηρεῖς, καὶ ἐν πᾶσι τοῖς ἀντικειμένοις τοῖς τοῦ αὐτοῦ γένους ἢ εἴδους τῷ προσλαμβανομένῳ πράγματι οὖσι τὸ Α'. εὑρίσκεται, εἰκότως δὴ τὸ αὐτὸ ὡς οὐσιῶδες τοῦ προσλαμβανομένου, εἴτ' οὖν προσδιδόμενον λαμβάνεται μηδ' ὅλως αὐτοῦ ἀφαιρεῖσθαι δυνάμενον.

„ *Οὕτω παρ. χάρ. Παρατηρεῖς τῷ πυρὶ ἐνυπάρχειν ἀεὶ τὴν θερμότητα, οὔτ' ἐναντίον „ τι τοῦ πυρὸς παράδειγμα προφέρεσθαι δυνατὸν, ἐν ᾧ ἡ θερμότης οὐ παρατηρεῖται, ὡσ-*

σαύ-

„ πάντας ἐιδότας ἂν τὴν θερμότητα ὡς ἰδιῶδες τοῦ πυρός, ὡς ἂν προσδιδόμενον
„ τούτῳ τιθέμεθα.

## ΤΟϛʹ.

Ἐντεῦθεν νῦν δυνατὸν κατανοηθῆναι, ὅπως ἐκ τῶν ὑστέρων ἤτοι διὰ τῆς πείρας ἐννοίας διακεκριμένας καθόλου εἰδοποιεῖσθαι ἡ δύνανται. Τουτέστιν Ἔννοιαι ἐν αἷς τὰ χαρακτηριστικὰ γνωρίσματα παριστῶντες (ΟΕ.) τὰ πᾶσι τοῖς τῷ αὐτῷ γένει ἢ εἴδει ὑποκειμένοις ἀνήκοντα. (ΡΗ.) τῶν δὲ διακεκριμένων καθόλου τούτων ἐννοιῶν, ὁρισμῶν ὄντων (ΡΝΓ.), ῥᾷστα κατανοεῖται, ὅπως ἐκ τῶν ἀτομικῶν συμβαμάτων, οἱ ὁρισμοὶ ἀπὸ τῶν ὑστέρων ἐξάγονται.

## ΤΟΖʹ.

Εἰς εἰδοποίησιν ἀμέλει τῶν διακεκριμένων καθόλου ἐννοιῶν συμβάλλει τοὺς ἑπομένους κανόνας σημειωθῆναι. Αʹ. Τοσαύτας ποίησον κρίσεις ἐποπτικάς, ὅσα ἐν τῷ προσλαμβανομένῳ πράγματι διακρίνεις· Βʹ. Παράλιπε τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα, ἤτοι τὰ ποικίλλεσθαι καὶ μεταβάλλεσθαι δυνάμενα. Γʹ. τῶν Κατηγορουμένων τὰ μὴ ἐν ἁπάσῃ περιστάσει ὄντα τὰ αὐτά, τῶν μερικῶν διορισμῶν ἐλευθέρωσον. Δʹ. Εὐχερέστερον τεύξῃ τοῦ προκειμένου, πλείω παραδείγματα πρὸς ἄλληλα παραβάλλων, καὶ ἐπιμελῶς προσέχων ἐν τίνι τὰ παραδείγματα ἀεὶ ὡσαύτως συνᾴδει, καὶ ἐν τίνι ἀλλήλων ἐστὶ διάφορα.

„ *Ἵνα δὲ οἱ Κανόνες οὗτοι οἱ εἰς εἰδοποίησιν ἐννοιῶν, ἤτοι ὁρισμῶν ἀπὸ τῶν ὑστέρων τὰ μά-*
„ *λιστα χρησιμεύοντες, ἐκτὸς δυσχερείας καταληφθῶσι. καὶ ὀρθῶς ἐφαρμοσθῶσι παρά-*
„ *δειγμα ὑποθήσω μάλα καταφανές. Θῶμεν εἰδέναι σε θέλειν τί ποτ᾽ ἐστὶ τὸ ἐπαινεῖν*
„ *ἕτερον. Θῶμεν ἔτι λυσιτελεῖν σοι τὸ εἰδέναι τὴν γενικωτέραν καὶ καθόλου Ἔννοιαν τοῦ*
„ *ἐπαίνου· προσεκτέα οὖν σοι ἐπί τι Ἀτομικὸν σύμβαμα ἐν ᾧ ἕτερος ἐπαινεῖν ἕτερον*
„ *λέγεται. Θῶμεν οὖν τὸν Καῖον ἔν τινι συγγράμματι διηγεῖσθαι, ὅτι ὁ Τίτιος ἐστὶ σο-*
„ *φός, μέτριος, καταφανής, εὐσεβής, κτλ. ἐνταῦθα ὁ Καῖος ἐπαινεῖ τὸν Τίτιον.*
„ *Τοσαύτας τοιγαροῦν ποίησον ἐποπτικὰς κρίσεις, ὅσας περιστάσεις τὸ παρὸν χορηγήσει.*

*Αʹ.* Ὁ *Καῖος διηγεῖται.*

*Βʹ.* Ὁ *Καῖος διηγεῖται ἔν τινι συγγράμματι.*

*Γʹ.* Ὁ *Καῖος διηγεῖται ὅτι ὁ Τίτιος ἐστὶ σοφός.*

Δʹ. Ο' Καῖος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶ μέτριος, εὔτακτος.

Εʹ. Ο' Καῖος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶ καταφανής.

ϛʹ. Ο' Καῖος διηγεῖται, ὅτι ὁ Τίτιος ἐςὶν εὐσεβής.

„ Ε'ντεῦθεν ἂν βυλομένῳ σοι γνῶναι τίνος ἐςὶ γενικῆς τὸ ἐπαινεῖν ἕτερον, δυσχερῶς
„ τόδε γενήσεται α΄. ὅτι πολλὰ τῷ συμβάσματι τῷδε πάρεισιν ἀλλότρια ἢ κατὰ
„ συμβεβηκός, μηδ' ὁπωσῦν τῷ ἐπαινεῖν ἀλλ' ὂν ἀνήκοντα. β΄. Ο''τι τὰ ἀναγκαίως τῇ
„ ἐννοίᾳ τῇ ἐπαίνυ ὑπαρχόμενα, πολλοῖς, ἔτι μερικοῖς διορισμοῖς περιείληνται, δια-
„ ζευχθῆναι ἐκείνων ὀφείλοντα.

„ Ο''πως ἂν ξυνιέναι ἔχῃς τίνα ἐςὶν ἐνταῦθα τὰ ἀλλότρια ἢ κατὰ συμβεβηκός· ἢ τί-
„ νες οἱ μερικοὶ διορισμοὶ εἰς μνήμην ἀνακάλεσον ἑτέραν περίςασιν, ἐν ᾗ ἔγνως ἐπαινεῖ-
„ σθαι παρ' ἑτέρυ τὸν ἕτερον. Θῶμεν ἂν τὸν γονέα τῦ υἱῦ παρόντος διηγεῖσθαι, ὅτι
„ ὁ αὐτῦ παῖς ὑπερέχει τῇ ἀγχινοίᾳ, ἢ ὅτι ἐςὶν ὑπήκοος, ἐπιμελής, ἢ ποιητὴς ἄρι-
„ ςος· ἡ περίςασις αὕτη τὰς ἑπομένας σοι παριςᾶν κρίσεις ἐποπτικάς.

Αʹ. Ο' πατὴρ διηγεῖται.

Βʹ. Ο' πατὴρ διηγεῖται παρόντος τῦ υἱῦ·

Γʹ. Ο' πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς αὐτῦ ὑπερέχει τῇ ἀγχινοίᾳ·

Δʹ. Ο' πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ὑπήκοος·

Εʹ. Ο' πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ἐπιμελής.

ϛʹ. Ο' πατὴρ διηγεῖται, ὅτι ὁ υἱὸς ἐςὶν ποιητὴς ἄριςος.

„ Εἴπερ ἂν τὰς δύο ταύτας περιςάσεις παραβάλλῃς ἀλλήλαις, κατανοήσεις α΄. τὸν
„ Καῖον, β΄. τὸ σύγγραμμα τῦ Καΐυ· γ΄. τὸν Τίτιον, ἐν τῇ προτέρᾳ ἀτομικῇ περι-
„ ςάσει εἶναι ἀλλότρια μηδ' ὁπωσῦν τῇ τῦ ἐπαίνυ ἐννοίᾳ ἀνήκοντα, ὅτι ἐν τῇ ἑτέρᾳ
„ περιςάσει ἡ πάρεισιν· ὡσαύτως κατανοήσεις ἐν τῇ δευτέρᾳ περιςάσει, μὴ ἀναγκαίως
„ παρεῖναι α΄. τὸν πατέρα· β΄. τὸν υἱὸν παρόντα γ΄. τὸν υἱὸν ὡρισμένως εἶναι ὑπήκοον,
„ ἢ ποιητὴν ἄριςον κτλ΄. Ε'νθεν τοι ταῦτα πάντα ὡς κατὰ συμβεβηκὸς ὄντα κατηγορή-
„ σεται τὴν γενικὴν τῦ ἐπαίνυ ἐκ ὑπάρχοντα Ε'ννοιαν, κατὰ τὸν β΄. κανόνα τῦ (ΤΟΖ.)

„ Α'λλὰ τὸ διηγεῖσθαι ἑκατέρᾳ τῇ περιςάσει ἐςὶ κοινόν, ἐπείπερ ἐν ἑκατέρᾳ διή-
„ γησις ἐςὶ τελειοτήτων τῶν ἐν ἑκατέρᾳ μερικῶν διορισμῶν· ἡ γὰρ εὐσέβεια, ἢ ἡ
„ ἐπιμέλεια, ἡ σοφία, ἢ ἡ ὑπεροχή, ἢ τὰ λοιπὰ κατηγορούμενα, ἐςὶν γενικῷ
„ ὀνόματι τῶν τελειοτήτων ἐξαγγελλόμενα, εἴγε τῶν μερικῶν διορισμῶν ἐλευθερωθῶ-
„ σιν. Ε'πείπερ ἂν τὸ διηγεῖσθαι ἢ αἱ τελειότητες κατηγορούμεναι ἐςὶ τῷ ἐπαίνῳ ὡ-
„ σαύτως ἀεὶ ἀνήκοντα, εἰκότως ταῦτα ὡς οὐσιώδη ἄτ' ἂν προσδιδόμενα τῇ ἐπαίνυ
„ λαμβάνεται (ΤΟΕ.) Ε'πεὶ δὲ τὰ προσδιδόμενα ἢ οὐσιώδη τῷ ὁρισμῷ ὀφείλει παρα-
„ λαμβάνεσθαι (ΡΝΘ.), πρόδηλον, ὅτι ἡ καθόλου διακεκριμμένη Ε'ννοια, ἤτοι ὁ ὁρισ-
„ μὸς τῦ ἐπαίνυ οὕτω διαμορφῦται.

„ Ε'παινός ἐςι διήγησις τῶν τελειοτήτων, ἢ τὸ ἐπαινεῖν ἕτερον, ἐδὲν ἄλλο ἐςίν, εἰμὴ τὰς
„ τῦ ἑτέρυ τελειότητας διηγεῖσθαι. Ο''τε δὲ μία ἢ δευτέρα περίςασις ἐκ ἀπόχρη εἰς
„ κατάληψιν τῆς οἰκειότητος, ἢ ἀνοικειότητος, πλείες περιςάσεις κατ' ἀρέσκειαν λαμβά-
„ νειν χρεών· αἱ δὲ γυμνασίαι μιᾷ μόνῃ περιςάσει ἀρκεῖσθαι δύνανται· ὁ περίπυςος Βόλ-

„ φιος

„ φιος ἐν τῇ Λατιν. Λογ. σελ. 492. κατὰ τὰς προτεθέντας κανόνας, γενικὴν Ε῎ννοιαν
„ τῦ κλέπτυ ἀπὸ τῶν ὑςέρων ἐξάγει· ϗ ὁ περικλεὴς Σλοσσέριος τῷ αὐτῷ τρόπῳ ἐκ
„ μοναδικῆς περιςάσεως καθόλυ Ε῎ννοιαν τῆς ἐλευθερίας εἰδοποιεῖ ἐν τῇ διαλέξει περὶ
„ γνησίας Ε'ννοίας τῆς ἐλευθερίας ἐν Οὐϊτεμβέργᾳ· 1725.

## ΤΟΗ'.

Ο'ρᾷς ἦν τανῦν τίνι τρόπῳ αἱ καθόλυ διακεκριμέναι Ε῎ννοιαι, ἤτοι οἱ ὁρισμοὶ ἀπὸ τῶν ὑςέρων, ἢ διὰ τῆς πείρας διαμορφῦσθαι εἰώθασιν. Εἰς τῦτο δὲ εἴπερ τι ἄλλο ἡ ἀφαίρεσις καὶ ἡ ἐπανάληψις ἀπαιτεῖται, ὡς ἀνωτέρω ἔφθημεν ἀποδείξαντες (ΡΙΑ'.). Ε'πεὶ γὰρ ἐν τῷ διαμορφῦν τὰς Ε'ννοίας ἐκ τῶν ὑςέρων, ὕτω προβαίνομεν, ὥςε τὰ κατὰ συμβεβηκὸς ὄντα καὶ δυνάμενα μεταβάλλεσθαι, παραλείπει καὶ μὴ ἅμα ἐν τῇ θεωρίᾳ λαμβάνειν (ΤΟΖ'.) Ο'τε δὲ μὴ θεωρῦμεν τινὰ παραλείποντες, ἀφαιρεῖν λεγόμεθα ταῦτα ἀπὸ τῶν ἐννενημένων ἡμῖν, καὶ ἐν τῇ ἡμετέρᾳ θεωρίᾳ λαμβανομένων καὶ μὴ παραλειπομένων (ΡΙΑ'.) καταφανὲς ἐςι τὴν τέχνην τῦ ἀφαιρεῖν ἐν ταῖς ἀπὸ τῶν ὑςέρων εἰδοποιηθησομέναις ἐννοίαις συμβάλλειν τὰ μάλιςα.

## ΤΟΘ'.

Νῦν ἤδη διασκεψόμεθα, τίνι λόγῳ διὰ τῆς πείρας, ἤτοι ἐκ τῶν ὑςέρων. ἐπὶ τὰς καθόλυ κρίσεις ἐρχόμεθα. Η' πεῖρα ὑποκείμενον ἔσχηκε τὰ καθ' ἕκαςα (ΤΝΒ'.) καὶ ἑπομένως αἱ ἐποπτικαὶ κρίσεις, αἱ τῇ πείρᾳ διαμορφύμεναι (ΤΟ'.) καθ' ἕκαςά εἰσι (ΤΟΒ'.), αὗται δὲ εἰ καθόλυ γενέσθαι ὀφείλυσι προσεκτέον σοι, εἴγε τὸ κατηγορύμενον ἐν τῇ ἐποπτικῇ κρίσει προσδιδόμενον ἢ ὑσιῶδες τῦ προσλαμβανομένυ ἐςί· ὁσάκις γὰρ τὸ κατηγορύμενον προσδιδόμενον ἢ τῦ προσλαμβανομένυ καὶ ἐκ τῆς ὑσίας ἤτοι φύσεως τῦ ὑποκειμένυ ἐξήρτηται· τοσάκις ἡ ἀπόφανσις καὶ ἑπομένως ἡ κρίσις ἔςαι καθόλυ (ΣΘ'.)· Ε'πεὶ δὲ διὰ τῆς πείρας ἐκεῖνα εἶναι τῦ προσλαμβανομένυ προσδιδόμενα, ἢ ὑσιώδη παρατηρῦμεν τὰ ἀεὶ ὡσαύτως τῷ προσλαμβανομένῳ πράγματι ἐνυπάρχοντα, καὶ σωζομένυ τῦ πράγματος ἀπ' ἐκείνυ ἀφαιρεῖσθαι ὐ δύναται. (ΤΟΔ'.) Ε'πὶ τὴν καθόλυ ἐποπτικὴν κρίσιν ἀφίξῃ διὰ τῆς πείρας

παρα-

παρατηρῶν τὸ τῆς ἐποπτικῆς κρίσεως κατηγορέμενον ἀεὶ ὡσαύτως τῷ αὐτῷ ἐνυπάρχειν, καὶ ἀπ' ἐκείνε ὐκ ἐξεῖναι χωρίζεσθαι.

„ Παρ. χάρ. Διὰ τῆς πείρας δηλῦται τὴν θερμότητα τῦ πυρὸς ὑπάρχειν ὡς προσδιδόμε-„ νον (ΤΟΕ'.), ἡ τοίνυν ἀπόφανσις τὸ πῦρ ἐςὶ θερμὸν καθόλε ἐςί· τῇ πείρᾳ ἐςὶ κατά-„ δηλον τὸν κηρὸν ἐσθ' ὅτε εἶναι ὑγρὸν, ἐπεὶ δὲ τὸ ὑγρὸν εἶναι τῷ κηρῷ ὐκ ἀεὶ ἢ ὡσαύ-„ τως ἐνυπάρχει, ἢ ἑπομένως εἰς τὰ συμβεβηκότα, ἤτοι τρόπος τῦ κηρῦ ἀνακτέον „ ἐςὶ, (ΤΟΔ'.) Οὐ δύναται ἐντεῦθεν κρίσιν ἤτοι πρότασιν καθόλε ἐπενεγκεῖν, πᾶς „ κηρὸς ἐςὶν ὑγρός. Ὅρα τὰ ἀνωτέρω εἰρημένα περὶ τῆς τῶν μερικῶν προτάσεων εἰς „ καθόλε μεταβολῆς (ΣΙϚ'.)

## ΤΠ'.

Ὁ Φιλόσοφος ὀφείλει τὰς αἰτίας καὶ τὲς λόγες τῶν πραγμάτων ἐπιγινώσκειν (ΚΒ'.)· ἐν τοῖς μάλιςα ὖν συμβάλλει τὸ εἰδέναι τὸν τρόπον, καθ' ὃν διὰ τῆς πείρας ἀνιχνεύεσθαι δυνατὸν, εἴπερ τὸ ἕτερον τῦ ἑτέρε αἰτία ἐςί· σημειωτέον ὖν ἐνταῦθα τὰς ἑπομένας θέσεις.

Α'. Εἴπερ ἐπὶ τῇ ἀντικειμένε Α'. ὡς τὰ μάλιςα τῷ ἀντικειμένῳ Β'. συναπτομένε μεταβολή τις παρατηρεῖται ὁ ἀποχρῶν λόγος τῆς ἐν τῷ Α'. Συμβαινέσης μεταβολῆς εἰκότως ἐν τῷ β'. ἐπιζητεῖται, ὥσθ' ὕτω τὸ ἀντικείμενον Β. τῆς ἐν τῷ Α'. ἐπακολεθέσης μεταβολῆς ὀρθῶς αἰτίαν καλεῖσθαι.

Β'. Ἐκ τῦ παρατηρῆσαι τινα ἀείποτε συνυπάρχειν, εἴτεν ἀλλήλοις συνέπεσθαι, ὐ παραχρῆμα ἐποίσεις· ἄρα, θάτερον τῦ ἑτέρε αἰτία ἐςί· παραδείγμασι τὰς θέσεις διασαφήσομεν.

„ Παρατηρῶν τὸν κηρὸν πρότερον σκληρὸν ὄντα, μαλακὸν γίνεσθαί τε ἢ τήκεσθαι, τοῖς „ τῦ Ἡλίε ἀκτῖσιν ἐκτεθειμένον, ὀρθῶς τὴν τῦ Ἡλίε θερμότητα τῆς τῦ κηρῦ τήξεως „ αἰτίαν ὑπολαμβάνεις. Τεθέντος δ' ἅμα φαινομένε Κομήτε πόλεμον γίνεσθαι, ἢ τύ-„ πῳ τὸν κομήτην ἐπακολεθεῖν, ἀφ' οἱασδηποτῦν συνυπάρξεως ἢ ἐπακολεθήσεως τῦ πο-„ λέμε, ὐκ ἂν συναγαγεῖν δύνασαι· ἄρα ὁ Κομήτης αἰτία πολέμε.„

## ΤΠΑ΄.

*Ἐξ ἁπάντων τέτων δηλᾶται, τὰς ἐκ τῆς ὀρθῶς γινομένης πείρας εἰδοποιεμένας προτάσεις, εἶναι βεβαίας.*

Δεικν. Ὁποιασδηποτῦν προτάσεις διὰ τῆς πείρας διαμορφῦμεν ἐν ταύταις τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκειν μάλιςα παρατηρῦμεν (ΤΞΘ΄.)· ἐν ὁποιαισδηποτῦν προτάσεσι τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκειν παρατηρῦμεν, ἀληθεῖς ταύτας γινώσκομεν (ΤΙΗ΄.) εἰ ὁποιασδήποτε προτάσεις ἀληθεῖς εἶναι γινώσκομεν, ταύτας ἢ δύνασθαι εἶναι ψευδεῖς, οἴδαμεν (κατὰ τὴν ἀρχὴν της Ὀντολογ.)· ὁποιασδήποτε δὲ προτάσεις ἕτω ἀληθεῖς εἶναι οἴδαμεν, ὥςε τὸ ἐκείναις ἀντικείμενον, τὸ ψεῦδος φημὶ χώραν ἔχειν μὴ δύνασθαι· κατανοῦμεν βεβαίως αὗται ἡμῖν εἰσὶν ἀληθεῖς (ΤΜΗ΄.); ἄρα αἱ προτάσεις αἱ διὰ τῆς πείρας ὀρθῶς γινομένης εἰδοποιήμεναι ἡμῖν βέβαιαι εἰσίν.

„ Ὁ αὐτὸς ἐςὶ λόγος κατὰ τῶν προτάσεων, ἅσπερ διὰ τῆς πείρας ψευδῆς εἶναι οἴδαμεν.
„ Ταύτας γὰρ ἐκ ἐξεςιν ἅμα ὑπολαμβάνειν ὡς ἀληθῆς· ὅθεν ἕπεται εἶναι ἡμῖν βε-
„ βαίως ψευδῆς. Π. χ. τῷ πυρὶ ἀνήκει τὴν θερμότητα διὰ τῆς πείρας δηλῦται· ἀ-
„ ληθῆ ἐν εἶναι πρότασιν κατανοῦμεν τὴν τὸ πῦρ ἐςὶ θερμὸν λέγεσαν, ᾗ ἑπομένως
„ ἡ αὐτὴ ἐςὶ ὑμῖν βέβαιος.

## ΤΠΒ΄.

Ὅ, τιδήποτε τοιγαρῦν τῇ κατὰ τὰς ἀνωτέρω παραδοθέντας κανόνας γινομένῃ αἰσθάνσει ἀνήκει, βέβαιον ἐςί (ΤΠΑ΄.)

## ΤΠΓ΄.

*Ἐκ τέτε ἔτι δηλᾶται τὰς ὁρισμὰς τὰς ἐκ τῆς πείρας ᾗ συγκομιδῆς τῶν Ἀτομικῶν περιςάσεων κατὰ τὰς ἀνωτέρω (ΤΟΖ΄.) παραδοθέντας κανόνας, εἰδοποιεμένες δεῖν εἶναι βεβαίες.*

Δεικν. Ἐπεὶ γὰρ τὰ ἐκ τῆς πείρας γινωσκόμενα βέβαια ἐςὶ (ΤΠΕ΄.) ἕπεται τὰς ἐκ τῆς κατὰ τὰς ἀνωτέρω παραδοθέντας κανόνας γιγνομένης πεί-

ρας

ρας ὀρθῶς διαμορφωμένους ὁρισμοὺς εἶναι ἔστι καὶ βεβαίους· ἐκ γὰρ τοῦ βεβαίου οὐκ ἔσθ' ὅπως μὴ ὀρθῶς ἐξέρχεσθαι βέβαιον.

## ΤΠΔʹ.

### Τὰ ἀξιώματα τοιγαροῦν, καὶ τὰ αἰτήματα ὡσαύτως βέβαια εἶναι ἐκ τούτων ἔξεσαι κατανοεῖσθαι.

Δεικν. Ἐπεὶ γὰρ τὰ ἀξιώματα καὶ τὰ αἰτήματα προτάσεις εἰσὶν ἀπὸ μοναδικοῦ ὁρισμοῦ ἀμέσως προῤῥέουσαι (ΣΚΒʹ. ΣΚΓʹ.) καὶ ἐν αὐταῖς παρακεχρημμα τῶν ὅρων καταληφθέντων δηλοῦται τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκειν, ἢ μή, οἱ δ' ὁρισμοὶ εἰσὶ βέβαιοι (ΤΠΓʹ.), δῆλον ὅτι τὰ ἀξιώματα κτλʹ.

## ΤΠΕʹ.

Ταῦτα μὲν οὖν περὶ τοῦ τῆς ἀφίξεως εἰς τὴν βεβαιότητα πρώτου ἐρείσματος τῆς πείρας ἀμέλει, ἤτοι τῆς ἐκ τῶν ὑσέρων γνώσεως, καθ' ἣν διὰ τῆς αἰσθήσεως τῷ ὑποκειμένῳ ἀνήκειν τὸ κατηγορούμενον παρατηροῦμεν, ὥςε περὶ τῆς τοῦ πράγματος ἀληθείας ἀμφιβάλλειν μὴ δύνασθαι (ΤΠΑʹ.) ἡ δ' ἑτέρα ὁδὸς ἡ εἰς τὴν βεβαίαν ἀλήθειαν ἐπάγουσα ὁ λόγος ἐςὶν, ὅςις ἐπείπερ οὐδὲν ἄλλο ἐςὶν, εἰμὴ δυνάμις τοῦ διακεκριμένως γινώσκειν τὴν τῶν καθόλου ἀληθειῶν συνάφειαν (ΙΓʹ.) ῥᾷςα κατανοεῖται, διὰ τοῦ λόγου ἤτοι τῆς ἐκ τῶν προτέρων δείξεως εἰς τὴν βεβαιότητα ἡμᾶς ἀφικνεῖσθαι, ὅτε τὴν πρότασιν, ἧς τινος τὴν βεβαιότητα ἀξιοῦμεν κατέχειν ταῖς ἑτέραις προτάσεσιν ὡς ἀρχαῖς ἀναμφιλέκτοις συνάπτομεν, ὡς ἂν ἡ τοῦ ἐν τῇ προτάσει τῇ ἡμῖν βεβαίᾳ εἶναι ὀφειλούσῃ, ὑποκειμένου καὶ κατηγορουμένου συνάφεια μάλιςα καθορᾶται.

„ *Παρ. χάρ.* Θῶμεν ἐθέλειν σε γνῶναι, ἂν ἡ πρότασις αὕτη, ἡ ἀνθρωπίνη ψυχὴ ἐςὶν
„ ἀθάνατος, βεβαίως ἐςὶν ἀληθής· οὐκ ἂν ἤδη ἐπὶ τὴν αἴσθησιν καὶ τὴν πεῖραν κατα-
„ φυγεῖν δύνασαι, ἀλλὰ τὴν βεβαιότητα τῆς προτάσεως ταύτης ἐκ τῶν προτέρων γι-
„ νώσκειν χρεών. Τουτέςιν ὀφείλεις αὐτὴν ἑτέραις προτάσεσιν, ὥσπερ οἰκείαις ἀναμφι-
„ λέκτοις συνάπτειν ἀρχαῖς, ὥςε ὀρθῶς διανοούμενον ἐξ ἑτέρων βεβαίων προτάσεων πα-
„ ράγειν αὐτήν.

 ΤΠϚʹ.

## ΤΠϚ΄.

Ὁσάκις πρότασίν τινα ὡς συμπέρασμα ἐκ προκειμένων βεβαίων καὶ ἀναμφιβόλων ὀρθῶς συλλογιζόμενοι παράγομεν, τοσάκις τὴν πρότασιν δεικνύειν λεγόμεθα, ὥςε μηδὲν ἄλλο τὴν δεῖξιν εἶναι, εἰμὴ σύνδεσμον, ἢ συνάφειαν διανοημάτων, ἐν οἷς ὐχ ἑτέρα προκειμένη, εἰμὴ βεβαία παραλαμβάνεται.

„ Τὰ δὲ διανοήματα ἅτ' ἂν συλλογισμοὶ, λέγονται συνδεδεμένοι, τῦ ἐν τῷ ἀνωτέρω „ συλλογισμῷ συμπεράσματος. ἀεὶ γινομένε προκειμένης τῦ ἑπομένε· παραδείγματα „ τῆς συναφείας ταύτης ὅσον ὐδέπω ἐπάξομεν.

## ΤΠΖ΄.

Αἱ βέβαιαι αὗται προκείμεναι, ἐξ ὧν τὸ συμπέρασμα, ἤτοι ἡ ἀποδειχθησομένη παράγεται πρότασις, καλῦνται ἀρχαὶ τῦ ἀποδεικνύειν.

## ΤΠΗ΄.

Ἐξ ὗ δηλῦται ὅτι ἐν ἁπάσῃ δείξει εἰς δύο ταῦτα προσέχειν ὀφείλεται. α΄. εἰς τὰς τῦ ἀποδεικνύειν ἀρχὰς β΄. εἰς τὴν συνάφειαν τῦ συμπεράσματος πρὸς τὰς ἀρχάς· τὸ α΄. ἀπαιτύμενον, ὑλικὸν τῆς ἀποδείξεως, καὶ τὸ β΄. εἰδικὸν τῆς ἀποδείξεως λέγομεν.

## ΤΠΘ΄.

**Ἐπὶ τὰς ἀρχὰς τῆς ἀποδείξεως εἰκότως ἀνάγομεν τὰς πείρας, τὺς ὁρισμὺς, τὰ ἀξιώματα, καὶ τὰ αἰτήματα.**

Δεικν. Ἐπεὶ γὰρ αἱ πεῖραι βέβαιοι εἰσὶ (ΤΠΑ΄.) ὡσαύτως καὶ οἱ ἐκ τῆς πείρας ὀρθῶς εἰδοποιύμενοι ὁρισμοὶ (ΤΠΓ΄.) ὐδὲν δ' ἧττον τὰ ἀξιώματα

καὶ

καὶ τὰ αἰτήματα βεβαίως ἔχει (ΤΠΔ΄.) εὔδηλον, ὅτι αἱ πεῖραι, οἱ ὁρισμοί, τά τε ἀξιώματα καὶ αἰτήματα, βεβαίως ἔχει (ΤΠΔ΄.) φανερὸν, ὅτι αἱ πεῖραι, οἱ ὁρισμοὶ. τά τε ἀξιώματα καὶ αἰτήματα δύνανται ἀντὶ προκειμένων βεβαίων λαμβάνεσθαι· αἱ δὲ βέβαιαι προκείμεναι, ἐξ ὧν ἡ ἀποδειχθησομένη πρότασις ὀρθῶς καὶ κατὰ κανόνα παράγεται, ἀρχαὶ τῆ ἀποδεικνύειν καλῦνται (ΤΠΖ΄.)· πρόδηλον ἄρα, τὰς πείρας, τὰς ὁρισμὰς τά τε ἀξιώματα καὶ αἰτήματα ὀρθῶς ἀνάγεσθαι εἰς τὰς τῆ ἀποδεικνύειν ἀρχάς.

„ Ἔνθεν τοι ὁ περίπυςος Βόλφιος ἐν τῇ Λατιν. Λογ. σελ. 397. ὁρίζεται τὴν ἀπόδειξιν τοιαύτην εἶναι ἐπίδοσιν, καθ᾽ ἣν ἐν τοῖς συλλογισμοῖς τοῖς πρὸς ἀλλήλας
„ συνδεδεμένοις ἐχ ἑτέραις χρώμεθα προκειμέναις, ἢ ὁρισμοῖς, πείραις ἀναντιῤῥή-
„ τοις, ἀξιώμασι, ἢ προτάσεσιν πρότερον ἀποδεδειγμέναις.

## ΤΥ΄.

Ἐνθεῦθεν ὁρᾷς, ἐκ ἀποδεικνύειν αὐτίκα τὰ ἑαυτῷ καθομολογημένα, τὸν ταῦτα ἐξ ἀρχῶν ἀβεβαίων καὶ ἀμφιβόλων παράγοντα, ὥσθ᾽ ἕτω τὴν ὁποιανδηποτῦν ἐμπίδωσιν (α) τῆς προτάσεως ἢ συγχέειν δεῖν τῇ τῆς αὐτῆς ἀποδείξει, εἰς ἣν βέβαιοι ἀπαιτῦνται ἀρχαὶ, ὧν περὶ τῆς ἀληθείας ἀμφιβάλλειν ἐκ ἔξεσιν. (ΤΠϚ΄.)

Ὁ τὴν ἀποδειχθησομένην πρότασιν, ἤτοι συμπέρασμα ἐξ ὁρισμῶν καὶ ἀξιωμάτων παράγων, ἐκ τῶν προτέρων ταύτην δεικνύειν λέγεται.

„ Οὕτω παρ. χάρ. Ἐκ τῶν προτέρων ἀποδεικνύειν ἐθέλοντί σοι, ὅτι ὁ Θεὸς ἐθέλει τὸ
„ βέλτιστον, ἅπασα ἡ σὴ δεῖξις τοῖσδε τοῖς ὁρισμοῖς καὶ τοῖς ἀξιώμασι στηριχθή-
„ σεται.

Ὁρισ-

---

(α) Ἐμπέδωσις καὶ δεῖξις ἀλλήλων διενηνόχατον, ὡς γένος καὶ εἶδος. Ἐμπέδωσις γὰρ περιεκτικωτέρα δείξεως· ὅθεν δεῖξις ἡ ἐκ βεβαίων ἀρχῶν παραγομένη. Ἐμπέδωσις δὲ καὶ ἀρχαῖς ἀβεβαίοις δύναται γίνεσθαι· ὅταν δὲ ἀρχαῖς βεβαίοις γίνεται, τότε δεῖξις ἐστί.

Ο'ρισμὸς Α'. Ο' Θεὸς ἐςὶν ὂν ἐντελέςατον.

Α'ξίωμα Α'. Τὸ ἐντελέςατον ὂν ἔχειν ὀφείλει ἐντελεςάτην θέλησιν.

Ο'ρισμὸς Β'. Ε'ντελεςάςη θέλησίς ἐςιν, ἡ τὸ βέλτιςον μόνον ἐθέλυσα.

Α'ξίωμα Β'. Ο' ἐντελεςάτην ἔχων τὴν θέλησιν μόνον ἐθέλει τὸ ἄριςον.

Ε'κ τύτων δὴ τῶν ὁρισμῶν καὶ ἀξιωμάτων ἡ πρότασις αὕτη ἐκ τῶν προτέρων ἀποδειχθήσεται.

Πᾶν ἐντελέςατον ὂν, ἐντελεςάτην ἔσχηκε θέλησιν (κατὰ τὸ Α'. ἀξί.)

Α'λλ' ὁ Θεὸς ἐντελέςατον ὂν ἐςιν (κατὰ τὸν Α'. ὁρισ.)

Α'ρα ὁ Θεὸς ἐντελεςάτην ἔσχηκε θέλησιν.

Πᾶν τὸ ἔχον ἐντελεςάτην τὴν θέλησιν, ἐθέλει τὸ ἄριςον (κατὰ τὸ Β'.ἀξι.)

Α'λλ' ὁ Θεὸς ἐντελεςάτην ἔχει τὴν θέλησιν (κατὰ τὸν ἀνωτέρω συλλογισμόν.)

Α'ρα ὁ Θεὸς, ἐθέλει τὸ ἄριςον.

Ε'κ τῶν προτέρων ἀπόδειξις κἀκείνη ἡ ἐμπέδωσις λέγεται, καθ' ἣν τὸ ἀποτέλεσμα ἐκ τῆς ἑαυτῦ αἰτίας ἀποδεικνύω.

## ΤΥΒ'.

Ο'τε πρότασιν ἐξ ἀναμφιλέκτυ πείρας ἀποδεικνύω, ἡ δεῖξις ἐκ τῶν ὑςέρων ἀκύει.

„ Οὕτω παρ. χάρ. Οἱ τὸ ἐνδεχόμενον τῦ κόσμυ δεικνύειν βυλόμενοι, ἔτι δὲ καὶ οἱ τὴν πρό-
„ τασιν ταύτην, ἀδύνατον ἐςὶ τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι· ἐπὶ τὴν πεῖραν ἀνακα-
„ λεῖν εἰώθασι, τυτέςιν ἐκ τῶν ὑςέρων ἀποδεικνύειν. Ε'κ τῶν ὑςέρων γὰρ ἡ δεῖξις
„ λέγεται ὅτε ἐκ τῦ ἀποτελέσματος τὴν αἰτίαν δεικνύω. Ο'τε παρ. χάρ. τὴν ὕ-
„ παρξιν τῦ Θεῦ ἐκ τῆς τῦ κόσμυ ἀποδεικνύομεν, ἐκ τῶν ὑςέρων ταύτην ἀποδεικνύο-
„ μεν, ὅτι ἐκ τῦ ἀποτελέσματος τὴν αἰτίαν συνάγομεν.

## ΤΥΓ'.

Η' δεῖξις ἔτι διαιρεῖται εἰς Δεικτικὴν, εἴτ' ὖν εὐθεῖαν, καὶ εἰς Α'παγωγικὴν, ἤτοι πλαγίαν. Ο'ρθὴ δεῖξις ἐςὶν ἡ μέχρι τέλυς ἀναπτυχθεῖσα.

Ο'

Ο῾ Βέλφιος ταύτην ἐν τῇ Λατινικῇ Λογ. σελ. 142. ὅτως ὁρίζεται· δεῖξις εὐθεῖα, ἢ Δεικτική ἐστιν, ἐν ᾗ ἐκ τῆς τῦ ὑποκειμένυ Ἐννοίας τὸ κατηγορούμενον ἀνήκειν τῷ ὑποκειμένῳ συνάγεται.

„ Τοιαύτη δεῖξις ἐςὶν ἡ ἐν τῷ (ΤΥΛ.) ὅτε ἐκ τῆς τῦ Θεῦ Ἐννοίας διακεκριμένης ἀναπτυχθείσης τὸ θέλειν τὸ βέλτιςον τῷ Θεῷ ἀνήκειν συνήγομεν.

## ΤΥΔ΄.

Δεῖξις πλαγία, ἢ Ἀπαγωγική ἐςι, καθ᾽ ἣν τὴν πρότασιν τὴν τῷ ἀποδειχθέντι ἡμῖν συμπεράσματι ἀντικειμένην ὡς ἀληθῆ λαμβάνομεν, κἀντεῦθεν ἄτοπόν τι, ἢ ψευδὲς συνάγομεν ἀντιφάσκον τῇ ἀποδειχθείσῃ προτάσει.

„ Ἡ δεῖξις αὕτη λέγεται ἔτι, Ἀπαγωγὴ εἰς ἄτοπον ἢ ἀδύνατον. Τοιαύτη ἐςὶν ἡ ἀνωτέρω δοθεῖσα (ΣΞΘ.) Ἔνθα πλαγίως ἀποδεικνύομεν τὴν πρότασιν ταύτην ἐν τῷ α. σχήματι ἡ μείζων ἀεί ποτε ἐςὶ καθόλυ. Σαφηνείας δὲ χάριν καὶ τόδε ἐπάξομεν τὸ παράδειγμα πλαγίας· παρ. χάρ. Ἀποδεῖξαι θέλων ταύτην τὴν πρότασιν ὃ δὲν ἑαυτὸ παραγαγεῖν δύναται, τὴν ἀντικειμένην αὐτῇ πρότασιν λαμβάνεις ὡς ἀληθῆ, καὶ ἐκ ταύτης ἄτοπόν τι παράγεις. Ἔςι δὲ ἀντικειμένη πρότασις αὕτη „ Τὶ παραγαγεῖν ἑαυτὸ δύναται.“ Ἡ πλαγία ἂν δεῖξις ὕτως ἀποτελεῖται. Θῶμεν παράγειν τὶ ἑαυτό. Τῦτο δὴ ὀφείλει ἅμα εἶναι, καὶ μὴ εἶναι· εἶναι μὲν, ὅτι ὐκ ἂν εἶχεν ἄλλως παραγαγεῖν ἑαυτό· μὴ εἶναι δὲ ὅτι δὴ ἑαυτὸ παράγει, καὶ χαρίζεται ὕπαρξιν. Ἐπειδὴ ἄτοπον καὶ ἀδύνατόν ἐςιν εἶναι τὶ ἅμα καὶ μὴ εἶναι (κατὰ τὴν ἀρχ. τῆς ἀντιφάσεως) ἄτοπον ἔτι, καὶ ἀδύνατον τὸ παράγειν τὶ ἑαυτό. Ἀληθὴς ὖν ἔςαι ἡ ἀντικειμένη πρότασις, ὐδὲν ἑαυτὸ παραγαγεῖν δύναται. Οἶδα μέν τινας τῷ τοιύτῳ τῦ δεικνύειν μικρὸν ἐνεργείας ἀποδιδόντας, καὶ δραςικότητος, ὡς δ᾽ ἔγωγε ὑπολήψεως ἔχω ὐκ ὀλίγη τύτῳ πρόσεςι δύναμις. Ἐπειδὴ γὰρ ἐν ταύτῃ τῇ πλαγίᾳ δείξει δείκνυται τὸ ψευδῆ καὶ ἄτοπον εἶναι τὴν τῷ ἀποδειχθέντι συμπεράσματι ἀντικειμένην πρότασιν, ἐπάναγκες ἐςὶ τὴν εἰς δεῖξιν παραληφθεῖσαν πρότασιν ὀφείλειν εἶναι ἀληθῆ.

## ΤΥΕ΄.

Ἐπείπερ ἐν ἁπάσῃ δείξει τὸ ἀποδειχθησόμενον συμπέρασμα, διὰ τῦ τῶν Συλλογισμῶν πρὸς τὰς οἰκείας προκειμένας ἤτοι ἀρχὰς ἀλυσιδωτῦ συν-

δέσμυ

δέσμε ὀρθῶς ὀφείλει συνάπτεσθαι (ΣΤΕ΄.) καταμανθάνομεν, ὅτι ὁ σύνδεσμος ὄντως, ἢ οὕτως ἐκτελεῖται, ὥςε ἀπὸ τοῦ ἀποδειχθησομένου ἀναβαίνειν, ἢ ἀπὸ τῶν ἀρχῶν καὶ ἀναμφιβόλων προκειμένων, ἐπὶ τὸ ἀποδειχθησόμενον συμπέρασμα εἴτουν πρότασιν καταβαίνειν. Ὧν ὁ μὲν ά. τοῦ δεικνύειν τρόπος ἀναλυτικὸς λέγεται, ἐν ᾧπερ ἀναλύομεν τὸ συμπέρασμα εἰς τὰς οἰκείας πρώτας ἀρχάς· ὁ δὲ β΄. συνθετικὸς, ἐν ᾧπερ ἐκ τῶν ἁπλουςάτων καὶ πρώτων ἀρχῶν, συντίθεται καὶ ἀνακύπτει τὸ ἀποδειχθησόμενον συμπέρασμα, ἤτοι πρότασις.

„ Λάβωμεν παρ. χάρ. τὴν πρότασιν ταύτην „ ὁ Θεὸς ἀμοιρεῖ παθῶν· ταύτην οὖν ἀνα-
„ λυτικῶς ἀποδείξομεν, ὥςε ἀπὸ τοῦ ἀποδειχθησομένου συμπεράσματος ἢ προτάσεως
„ διὰ ἀλυσιδωτοῦ συνδέσμου τῶν διανοημάτων ἐνέρχεσθαι καὶ προβαίνειν, μέχρι τῶν πρώ-
„ των ἀρχῶν, ἤτοι τῶν Ὁρισμῶν καὶ ἀξιωμάτων, οἷς τισιν ἡ ἀποδειχθησομένη ἐρείδε-
„ ται πρότασις.

Α΄. Πᾶν, ὅ, τι ὀρέξεως ἀμοιρεῖ αἰσθητικῆς, παθῶν ἀμοιρεῖ (κατὰ τὸν Ὁρισμ. τῶν παθῶν.)
Ἀλλ' ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.
Ἄρα, ὁ Θεὸς παθῶν ἀμοιρεῖ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Β΄. Πᾶν ὅ, τι συγκεχυμένων παραςάσεων ἀμοιρεῖ, αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ (κατὰ τὸν ὁρισμ. τῆς αἰσθητ. ὀρέξεως.)
Ἀλλ' ὁ Θεὸς συγκεχυμένων παραςάσεων ἀμοιρεῖ.
Ἄρα ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Γ΄. Πᾶν ὅ, τι μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ, συγκεχυμένης παραςάσεως ἀμοιρεῖ (ἡ πρότασις αὕτη ἐςὶν ἀξίωμα.)
Ἀλλ' ὁ Θεὸς μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ,
Ἄρα ὁ Θεὸς συγκεχυμένων παραςάσεων ἀμοιρεῖ.

Ἐμ-

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Δ΄. Πᾶν τὸ ἔχον ἐντελέςατον νῦν, μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ (κατὰ τὸν ὁρισμ. τῦ ἐντελεςάτυ νοός.)

Ἀλλ᾽ ὁ Θεὸς ἔσχηκεν ἐντελέςατον νῦν.

Ἄρα ὁ Θεὸς μάλιςα εὐκρινέςατα πάντα ἑαυτῷ παριςᾷ.

## Ἐμπέδωσις τῆς ἐλάττονος.

Ε΄. Πᾶν τὸ ἐντελέςατον ὄν, ἐντελέςατον ἔσχηκε νῦν (ἡ πρότασις αὕτη ἐςὶν ἀξίωμα.)

Ἀλλ. Ὁ Θεὸς ἐςὶν ἐντελέςατον ὂν (κατὰ τὸν ὁρισμ. τῦ Θεῦ.)

Ἄρα, ὁ Θεὸς ἐντελέςατον ἔσχηκε νῦν.

„ *Αὕτη ἡ δεῖξις ἀναλυτικὴ δεῖξις ταυτησὶ τῆς προτάσεως „ ὁ Θεὸς παθῶν ἀμοιρεῖ· ἀπὸ*
„ *γὰρ τῆς ἀποδειχθησομένης προτάσεως συμπεράσματος ὕσης τῦ πρώτυ Συλλογισ-*
„ *μῦ, προέβημεν ἐπὶ τὰς ἀρχὰς, τὰς Συλλογισμὰς συνδέοντες ἀλυσιδωτῶς, ὡς᾽ ἀεὶ*
„ *τὴν ἐλάττονα τῦ ἡγεμένυ συμπέρασμα γίνεσθαι τῦ ἑπομένυ.*
„ *Τὴν αὐτὴν πρότασιν συνθετικῶς ἀποδεικνύναι βυλόμενος, ἐκ τῶν ἀρχῶν, ἀμέλει τῶν*
„ *Ὁρισμῶν ϗ Ἀξιωμάτων μέχρι τῦ ἀποδειχθησομένυ συμπεράσματος καταβαίνεις διὰ*
„ *νοήμασιν ἀλυσιδωτοῖς, τῦ συμπεράσματος τῦ προτέρυ ἀεὶ ὀφείλοντος ἐλάττονα*
„ *γίνεσθαι τῦ μετ᾽ αὐτὸν Συλλογισμῦ τὸν ἑπόμενον τρόπον.*

Α΄. Πᾶν ἐντελέςατον ὄν, νῦν ἔσχηκεν ἐντελέςατον (ἡ πρότασις ἐςὶ ἀξιωματική.)

Ἀλλ. Ὁ Θεὸς ἐςὶν ὂν ἐντελέςατον (κατὰ τὸν ὁρισμ. τῦ Θεῦ.)

Ἄρα, ὁ Θεὸς ἔσχηκε νῦν ἐντελέςατον.

Β΄. Πᾶν τὸ ἔχον ἐντελέςατον νῦν μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ (κατὰ τὸν ὁρισμὸν τῦ ἐντελεςάτυ νοός.)

Ἀλλ᾽ ὁ Θεὸς ἔσχηκεν ἐντελέςατον νῦν (κατὰ τὸν α. συλλογ.)

Ἄρα ὁ Θεὸς μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ.

Γ΄. Πᾶν ὅ,τι μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ, παραςάσεων συγκεχυμένων ἀμοιρεῖ (ἐςὶν ἀξίωμα.)

Ἀλλ᾽ ὁ Θεὸς μάλιςα διακεκριμένως πάντα ἑαυτῷ παριςᾷ (κατὰ τὸ β΄. συλλ.)

Ἄρα ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ.

Δ΄. Πᾶν τὸ ἀμοιροῦν συγκεχυμένων παραστάσεων, ἀμοιρεῖ ὀρέξεως αἰσθητικῆς (κατὰ τὸν ὁρισ. τῆς αἰσθητικ. ὀρέξ.)

Ἀλλ' ὁ Θεὸς συγκεχυμένων παραστάσεων ἀμοιρεῖ (κατὰ τὸν γ΄. συλλ.)

Ἄρα ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ.

Ε΄. Πᾶν τὸ αἰσθητικῆς ὀρέξεως ἀμοιροῦν, παθῶν ἀμοιρεῖ (κατὰ τὸν ὁρισμ. τῶν παθῶν.)

Ἀλλ' ὁ Θεὸς αἰσθητικῆς ὀρέξεως ἀμοιρεῖ (κατὰ τὸν δ΄. συλλογ.)

Ἄρα, ὁ Θεὸς παθῶν ἀμοιρεῖ.

## ΤΥϛ΄.

### Ἐκ τούτων ὁρᾷς τὴν τῶν Συλλογισμῶν χρῆσιν ἐν τῷ δεικνύειν ἀναποφευκτον εἶναι.

Δεικν. Ἐπεὶ γὰρ πᾶσα δεῖξις διὰ συνεχοῦς τῶν Συλλογισμῶν ἀλυσιδωτοῦ συνδέσμου ἀποτελεῖται (ΤΞΗ΄.), πρόδηλον τὴν τῶν Συλλογισμῶν χρῆσιν ἐν τῷ δεικνύειν εἶναι ἀνοικονόμητον.

„ Οἱ τὴν τοῦ δεικνύειν ἕξιν ἑαυτοῖς περιποιησάμενοι, οὕτω πολλάκις δεικνύουσι πρότασίν τινα, ὥστε μηδένα Συλλογισμὸν ἐν τῷ νῷ διαμορφοῦν φαίνεσθαι, καὶ τὰς ἐνεργείας ἁπάσας, ἃς ὁ νοῦς ἐνεργεῖ μὴ κατὰ μέρος ἑαυτοῖς συνειδέναι. Καίτοι δὲ τοὺς περὶ τὸ δεικνύειν ἐξησκημένους πολλάκις μίαν καὶ ἑτέραν τῶν προτάσεων τῷ νῷ κατέχοντας, μήτε ῥήμασι ταύτην ἐκτιθεμένους, πάντα γε μὴν διὰ Συλλογισμῶν ἀποδεικνύειν αὐτοὺς τῷ ὄντι δηλοῦται τοῖς τὴν δεῖξιν αὐτῶν ἀναλύουσιν. Ἐν τοῖς τοῦ περιπύστου Βολφίου πχρ. χάρ συγγράμ. πάνυ ἐλαχίστας εὑρίσκεσθαι δείξεις ὑποτοπάσειας τοῖς συλλογιστικοῖς συνᾳδούσας κανόσιν. Ἀλλ' ἡ τῶν δείξεων τούτων ἀνάλυσις οὐκ ἄνευ χαρᾶς καὶ ἡδύτητος γινομένη, πᾶν τοὐναντίον δείκνυσι.

## ΤΥΖ΄.

Κυκλικὴ δεῖξίς ἐστιν ὁπηνίκα τὶς εἰς δεῖξιν τῆς Α΄. προτάσεως, χρῆται τῇ προτάσει Β΄. αὕτη δὲ ἡ Β΄. οὐ δύναται δειχθῆναι δίχα τῆς Α΄.

„ Πρ.

„ *Παρ. χάρ. Κυκλικὴν ἁμαρτάνοις ἂν δεῖξιν, ὥσπερ τήν· ἢ ὁ Θεὸς ἐςὶν ἀΐδιος πρότασιν,*
„ *ἀποδείξεις ἐκ τῆς, ὁ Θεὸς ἐςὶν ὂν ἀναγκαῖον· ἀποδείξεων δ' ἔτι τὴν ὁ Θεὸς ἐςὶν ὂν*
„ *ἀναγκαῖον, ὡς ἐπικυρίαν λάβῃς τὴν, ὁ Θεὸς ἐςὶν ἀΐδιος· τῷ ὄντι γὰρ οὕτως ἀπο-*
„ *δείξεις τὴν ὁ Θεὸς ἐςὶν ἀΐδιος δι' ἑαυτῆς, ὅτι ὁ Θεὸς ἐςὶν ἀΐδιος.*

## ΤΞΗ΄.

### Ἡ Κυκλικὴ δεῖξις ἐπιμελῶς φευκτέα ὡς οἷόν τε.

*Δεικν.* Ὁ γὰρ τὴν Κυκλικὴν δεῖξιν πλημμελῶν, τὴν πρότασιν Α΄. διὰ τῆς προτάσεως Β΄. καὶ τὴν Β΄. διὰ τῆς Α΄. δείκνυσι, καὶ ἑπομένως τὴν Α΄. διὰ τῆς Α΄. δι' ἑαυτῆς δηλονότι. Ἐπεὶ δὲ οὐδεμία δύναται εἶναι ἅμα δεικνύουσα πρότασις καὶ δεικνυομένη (ἄλλως γὰρ ἂν ἅμα εἴησαν ἀρχαὶ, καὶ τὸ ἐκ τῆς ἀρχῆς αἰτία καὶ ἀποτέλεσμα κατὰ τὴν αὐτὴν ἀναφορὰν) δῆλον ἄρ' ὅτι ἡ Κυκλικὴ δεῖξις γελοία ἐςὶ, καὶ ἑπομένως φευκτέα ὡς οἷόν τε.

## ΤΞΘ΄.

### Ὁποιαδηποτοῦν πρότασις ὀρθῶς καὶ κατὰ κανόνα ἀποδέδεικται, βεβαίως ἐςὶν ἀληθής.

*Δεικν.* Ὁποιαδηποτοῦν γὰρ πρότασις ὀρθῶς καὶ κατὰ κανόνα ἀποδειχθῇ, τῇ πείρᾳ αὐτὴ ἐρείδεται. Τοῖς ὁρισμοῖς, καὶ τοῖς ἀξιώμασιν (ΤΠΘ΄.) Ἐπεὶ δὲ αἱ πεῖραι, οἱ ὁρισμοὶ, καὶ τὰ ἀξιώματα βέβαιά ἐςι (ΤΠΒ΄. καὶ ἑπόμενον) πρόδηλον ὅτι αἱ προτάσεις αἱ ὀρθῶς ἐκ τούτων παραγόμεναι, βέβαιοι ἔτι εἰσὶ, καὶ βεβαίως ἀληθεῖς, εἴγε αἱ τοῦ ἀποδεικνύουσαι ἀρχαὶ ὦσι βέβαιοι· ἐκ γὰρ ἀληθῶν προκειμένων οὐκ ἔςιν ὅπως κατὰ κανόνα μὴ ὀρθὸν ἀποῤῥεῖν συμπέρασμα. Εἶχεν ἂν καὶ οὕτω δειχθῆναι ἡ αὐτὴ πρότασις. Ἐν ἁπάσῃ προτάσει ὀρθῶς καὶ κατὰ κανόνα δεικνυομένῃ, τὴν τοῦ κατηγορουμένου καὶ ὑποκειμένου συνάφειαν διακεκριμένως ὁρῶμεν, καὶ τὸν ἀποχρῶντα λόγον, δι' ὃν ἐςὶν ἀληθὴς γινώσκομεν, θεωροῦντες ταύτην, ὥσπερ ἐξ οἰκείων παραγομένην ἀρχῶν. Ἐν ὁποιαδήποτε δὲ προτάσει τὸν ἀποχρῶντα λόγον, τῆς τοῦ ὑποκειμένου καὶ κατηγορουμένου συναφείας διακεκριμένως ἐπιγινώσκομεν,

περὶ τῆς ἀληθείας τῆς προτάσεως ταύτης βέβαιοι ἐσμὲν, (ΤΜΗ.) ὥστ' ἔστω τὴν πρότασιν ταύτην, μὴ δύνασθαι μὴ εἶναι βεβαίαν ἡμῖν ὡς ὀρθῶς καὶ κατὰ κανόνα ἀποδειχθεῖσαν.

## Υ.

Τὴν ἀπόδειξιν τοιγαροῦν ἀρίστην εἶναι ὁδὸν τῆς εἰς τὴν βεβαίαν ἀλήθειαν ἀφίξεως, ἐκ τῶν εἰρημένων ἀρκούντως δηλοῦται.

## ΥΑ.

Ἐπείπερ οὖν τήν τε πεῖραν καὶ τὴν δεῖξιν τῆς βεβαιότητος εἶναι στηρίγματα ἀπεδείχθη (ΤΠΑ. καὶ Υ.) ἀλήθεια ἡμῖν βεβαία δύναται λέγεσθαι ἡ ἐν ἀμφιβόλῳ αἰσθάνσει, (ἤτοι πείρᾳ) ἢ σαφεῖ ἀρχῇ στηριζομένη. Ὅρα Εὐγενίου Λογικ. σελ. 119. βεβαίως δὲ ψευδὲς, τὸ ἀναμφιβόλῳ αἰσθάνσει, ἢ σαφεῖ ἀρχῇ μαχόμενον.

## ΥΒ.

Ἀπαιτούμενον εἰς τὴν ἀλήθειαν φαμὲν, τὰ δι' ὧν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀποδίδοσθαι διορίζεται.

» *Παρ. χάρ. Εἰς τὴν ἀθανασίαν τῶν ψυχῶν ἀπαιτεῖται α. Ἡ ἀφθαρσία. β. Ἡ στάσις*
» *τῶν διακεκριμένων ἰδιῶν. γ. τὴν ψυχὴν διασώζειν τὴν μνήμην τῆς παρελθούσης στά-*
» *σεως. Διὸ δὴ εἰδὼς τὴν τοῦ ἀνθρώπου Λογικὴν ψυχὴν μετὰ τὸν θάνατον μὴ ἀπόλ-*
» *λυσθαι, ἀλλὰ διαμένειν, καὶ ἅμα ἐν τῇ στάσει τῶν διακεκριμένων ἰδιῶν περιστρέφεσθαι, καὶ*
» *τὴν μνήμην ἑαυτῆς καὶ τῆς παρελθούσης στάσεως διασώζειν πάντα παρεῖναι, γινώσκεις*
» *τὰ εἰς ἀθανασίαν τῆς Λογικῆς τοῦ ἀνθρώπου ψυχῆς ἀπαιτούμενα.*

## ΥΓ.

Ἐκ τούτου εὔδηλον γίνεται, ὡς τῷ πάντα παρεῖναι εἰδότι τὴν ἀλήθειαν ἀπαιτούμενα, βεβαίως γινώσκειν χρεὼν τὴν ἀλήθειαν.

Δείξ. Εἰ γὰρ ὁ πάντα τὰ εἰς τὴν ἀλήθειαν ἀπαιτήμενα παρι νώσκων, πάντα οἶδε παρεῖναι, δι' ὧν τὸ κατηγορήμενον τῷ ὑποκε ῆκον διορίζεται, ὁ δὲ πάντα παρεῖναι εἰδώς, δι' ὧν τὸ κατηγορημ ὑποκειμένῳ ἀποδοτέον διορίζεται, καθορᾷ τὸν διορίζοντα λόγον, δι νοεῖται τί δήποτε τὸ κατηγορήμενον τῷ ὑποκειμένῳ ἀνήκει· ὁ δὲ δ μένως καθορῶν τὸν λόγον τὸν τῷ ὑποκειμένῳ ἀνήκειν ἀποτελοῦντα τηγορήμενον βεβαίως τὴν ἀλήθειαν οἶδε (ΓΜΗ.), ἄρα ὁ πάντα τ τούμενα κτλ'.

„ Παρ. χάρ. Εἰς τὴν ἀλήθειαν ταύτην ἡ ψυχὴ ἐστὶν ἀθάνατος. ἀπαιτεῖται τρ
„ α. Ἡ ἀφθαρσία. β. Ἡ διαμονὴ ἐν τῇ τῶν διακεκριμένων ἰδεῶν στάσει. γ
„ μη καὶ ἡ ἀνάμνησις τῆς προτέρας στάσεως, καὶ ἡ παραβολὴ τῆς παρούσης σ
„ προτέρᾳ. Ὁ τοίνυν ταῦτα πάντα εἰδὼς τὰ τῇ ἀνθρωπίνῃ ψυχῇ μετὰ τὸν τ
„ θάνατον ἀπαιτούμενα, παρεῖναι, οὗτος οἶδε βεβαίως τὴν ψυχὴν εἶναι ἀθάνατ
„ τούτων κατανοεῖς, ὀρθῶς ἡμᾶς κατανοῆσαι (ΤΜΘ.) ἀλήθειαν εἶναι βεβαία
„ δότι τὸν ἀποχρῶντα λόγον, δι' οὗ ἀνήκει τῷ ὑποκειμένῳ τὸ κατηγορημ
„ γὰρ ἀπαιτούμενα τῇ ἀληθείᾳ πάντα διορίζει, καὶ ἐπιτελεῖ τὸ κατηγορημένον
„ κειμένῳ ἀνήκειν, καὶ ἑτοιμένας τὸν ἀποχρῶντα συνιστῶσι λόγον, ἐξ οὗ κατανο
„ νεῖται, διατί ποτε τὸ κατηγορήμενον ἀπονέμεται τῷ ὑποκειμένῳ.

## ΥΔ'.

Ἐντεῦθεν διὰ τῶν ἀντικειμένων συνάγεται, τινὰ μόνον ἀπαι τὸν μὴ ἀποχρῶντα συνιστᾶν λόγον, διατί ποτε τὸ κατηγορήμενον τῷ μένῳ ἀποδοτέον.

„ Ὁ τὴν ψυχὴν εἰδὼς διὰ τὴν ἑαυτῆς ἁπλότητα, ἐξ οἰκείας φύσεως καὶ ἐσωτερικῆς ἀρχῆς
„ ἄφθαρτον εἶναι, ἀγνοεῖ δὲ εἴπερ ἡ ψυχὴ ἐν στάσει ἐστὶν Ἰδεῶν διακεκριμένων, καὶ εἴπερ
„ τὴν μνήμην τῆς προτέρας αὐτῆς στάσεως διασώζει, τινὰ μόνον ἔγνω τῶν εἰς τὴν ἀθανα-
„ σίαν τῆς ψυχῆς ἀπαιτουμένων, καὶ ἑπομένως οἶδε μὲν λόγον, δι' ὃν ἡ ψυχὴ ἀθάνατος
„ λέγεται, οὐχὶ δὲ τὸν ἀποχρῶντα. Ἐκ τούτων οὖν οἶμαι δύναται πᾶς τις κατανοεῖν,
„ τί ποτ' ἐστὶ πιθανὴ ἀλήθεια, περὶ ἧς δηλώσει τὸ Κεφάλαιον τέταρτον.

# ΚΕΦΑ'ΛΑΙΟΝ Δ.

## ΠΕΡΙ' Α'ΛΗΘΕΙ'ΑΣ ΠΙΘΑΝΗ'Σ

## ΠΑΡΑ'ΓΡΑΦΟΝ ΤΕ'.

Ω'σπερ βεβαίως εἶναι ἡμᾶς περὶ ἀληθείας ἢ ψεύδης προτάσεώς τινος ὑπόμεν, ὅτε τὴν οἰκειότητα, ἢ ἀνοικειότητα τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον διακεκριμένως γινώσκομεν, μηδενὸς φόβου τοῦ ἀντικειμένου χώραν ἀπέχοντος (ΤΜΗ.), καὶ πάντα τὰ εἰς ἀλήθειαν παρεῖναι ἀπαιτούμενα οἴδαμεν (ΤΓ.) οὕτως ἐκ τοῦ ἐναντίου πρότασις ἔςαι ἡμῖν πιθανὴ, ἐν ᾗ τὸ Κατηγορούμενον διά τινα μόνον εἰς ἀλήθειαν ἀπαιτούμενα, καὶ ἑπομένως διὰ λόγον μὴ ἀποχρῶντα. Ω'ςε πιθανῶς κρίνειν ὀρθῶς ἡμᾶς λέγεσθαι, ὅτε ἔκ τινων ἀπαιτουμένων εἰς τὴν ἀλήθειαν ἤτοι ἔκ τινων περιςάσεων τὴν τοῦ πράγματος ὕπαρξιν συμπεραίνομεν.

„ Ο' ἐντινι νέῳ, παρ. χάρ. παρατηρῶν α'. Α'γχίνοιαν ὑπερέχουσαν ϗ ταχεῖαν β'. Τὴν μανθάνειν ἐπιθυμίαν, γ'. Πόνον ἀκάματον δ'. Τῶν εἰς κτῆσιν τῆς παιδείας ἐπικαιριῶν εὐπορίαν ε'. Πρόθυμον ϗ πιςὴν διδασκαλίαν, ϗ διὰ ταύτας ἤδη τὰς περιςάσεις κρίνων τὸν παῖδα τοῦτον ἔσεσθαί ποτε ἄνδρα σοφὸν ϗ εἰς κόσμον ἀποβῆναι τῆς τῶν σοφῶν πολιτείας οὗτος πιθανῶς κρίνει. Οἶδε γὰρ μόνον τινὰ εἰς ἀλήθειαν ἀπαιτούμενα, ἀγνοεῖ γὰρ εἴπερ ἡ τῆς ἀγχινοίας ἀκμὴ νόσῳ, ἢ ἑτέρῳ συμβάματι διαφθαρῆναι δυναμένη διαμενεῖ συνεχῶς, καὶ εἴπερ ὁ νέος, ἐπὶ τὰς κακίας εὐκατάφορος τὴν ἐπιμέλειαν συνεχίσει.

„ Ο' Α'ριςοτέλης πάλιν πιθανὸν ἀπεκάλεσε, τὸ τοῖς πᾶσιν δοκοῦν, ἢ τοῖς πλείοσιν, ἢ τοῖς σοφοῖς. Ταύτην δὲ τὴν τῆς πιθανότητος Ε'ννοιαν ἀποδοκιμασίαν εἶναι, ἐν τῇ ἀναπτύξει ἀποδείξει.

„ Ο' περιφανὴς Ρυδιγέρος ὁ ἐν τῇ περὶ πιθανοῦ διδασκαλίᾳ θεωρίας ἀρίςας ἐπιφέρων ϗ πρὸ πάντων ἐξαρπάζων τὴν νίκην, τὴν πιθανότητα γενικῶς καλεῖ διανόημα, ἐν ᾧ ἐκ τῆς πλειόνων αἰσθάνσεων συνελεύσεως ἐν ὑποθέσει τινὶ τῇ αἰσθήσει ἐκ ἀπαντώσῃ ἀμέσως συμπεραίνομεν διὰ βεβαιώσεως ἐ πάσης ἐξαιρέσεως κρείττονος. Ο'ρα περὶ αἰσθήσεως ἀληθοῦς ϗ ψευδῆς βιβλίῳ Γ'. Κεφ. Α'. σελ. 10 Η' δὲ συνέλευσις τῶν

„ πολ-

„ πολλῶν αἰσθήσεων ἐν ὑποθέσει τινὶ συνίςαται, ἐν τῷ τὴν ὑπόθεσιν εἶναι ὥσπερ ἀρ-
„ χὴν, ϗ πλείς αἰσθήσεις ὡς ἀποτέλεσμα ἐκ τῆς οἰκείας αἰτίας, ϗ συμπεράσματα
„ ἐξ αὐτῶν ἀναπτύσσεσθαι· ἡ γὰρ ὑπόθεσις πρότασίς ἐςιν, ἥνπερ ὡς ἀληθῆ λαμβά-
„ νομεν, ὅτι αἱ ἰδιότητες ϗ διαθέσεις τῦ πράγματος ἁρμόζοντος ἐξ αὐτῆς ἀναπτύσ-
„ σονται. *Ἡ κατὰ τὸν Βόλφιον* ὑπόθεσις ἐςὶ λῆψις τῶν εἶναι μὴ ἀποδειχθῆναι δυ-
„ ναμένων, ὡς ὄντων εἰς ἀπόδοσιν λόγε. *Παρ. χάρ. Εἴτις τῶν ἰατρῶν* ταύτην προσ-
„ λάβῃ τὴν πρότασιν, τὴν ψυχὴν, ἐνεργητικῶς ϗ φυσικῶς ἐνεργεῖν εἰς τὸ σῶμα,
„ ϗ τὸ σῶμα ἐνεργητικῶς ϗ φυσικῶς ἐνεργεῖν εἰς τὴν ψυχὴν, ὅτι τὰ φαινόμενα ἐν τῷ
„ ἀνθρωπίνῳ σχήματι προσφυῶς ἔτι δύναται ἐξηγεῖσθαι, τότε δὴ ἡ λῆψις αὕτη τῆς
„ προτάσεως τῶν μήπω ἀποδειχθῆναι δυναμένων, ῥηθείη ὑπόθεσις· εἶδε παρ. χάρ. *Οἱ*
„ περὶ τὸν *Κοπέρνικον* τὴν πρότασιν λαμβάνεσι ταύτην, ἡ *Γῆ* κινεῖται. *Ἡ* ὑπόθε-
„ σις αὕτη *Κοπερνικεία* καλεῖται, ὅτι ἐκ ταύτης αἰσθήσεως ϗ φαινόμενα ἐν τοῖς ὐρα-
„ νίοις μάλιςα σώμασιν οἰκειότατα δύναται ἐξηγεῖσθαι. *Ἥτις* πιθανή ἐςιν, ὅτι ὐδε-
„ μία αἴσθησις ϗ φαινόμενον διαμάχεται ταύτῃ, ἀλλ' ἄριςα αὐτῇ συμφωνεῖ· φαινομέ-
„ νων δέ τινων ταύτης σαφῶς διαμαχομένων, ἔςαι ψευδής.

## Υϛ´.

Ἐκ τῦ ἐν τῷ (ΥΕ´.) ὑποτιθέντος ὁρισμῦ δηλῦται.

Α´. Τοσῦτον εἶναι πιθανωτέραν τὴν πρότασιν, ὅσον πλείω ἀπαιτέμενα εἰς ἀλήθειαν πάρεςιν, δι' ἅπερ τῷ ὑποκειμένῳ τὸ κατηγορήμενον ἀπονέμεται.

Β´. Πᾶν πιθανὸν ὀφείλειν εἶναι καὶ δυνατόν.

Ἐπεὶ γὰρ ἐπὶ πάσης πιθανότητος τὸ ζήτημα ἐςὶ περὶ τῆς τῦ πράγματος ὑπάρξεως (ΥΕ´.), Πᾶσα δὲ ὕπαρξις ὑποτίθησι δυνατότητα (κατὰ τὰς μεταφυσικὰς ἀρχὰς) πρόδηλόν ἐςι πᾶν πιθανὸν, ὀφείλειν εἶναι καὶ δυνατόν.

Γ´. Οὐ πᾶν δὲ δυνατὸν εἶναι πιθανὸν ἐντεῦθεν ὡσαύτως μανθάνεις. Ἐπεὶ γὰρ ἀπὸ τῦ δύνασθαι εἰς τὴν ὕπαρξιν ὐδεμία ἐςὶ συνέπεια (κατὰ τὰς μεταφυσικὰς ἀρχὰς) ἐν δὲ τῇ πιθανότητι τῦ πράγματος ἢ τῦ φαινομένυ ὑποτίθεται ὕπαρξις (ΥΕ´.) πρόδηλον ὅτι τὸ καθαρῶς δυνατὸν, ὁ παραχρῆμα ἐςὶ πιθανὸν, τὰς προτάσεις ταύτας παραδείγμασι σαφηνίσομεν. Παρ. χάρ. Εἴπερ ἐν τῷ Δημητρίῳ μειρακίῳ ὄντι παρατηρήσειας τῦ μανθάνειν ἐπιθυμίαν πιςὴν, καὶ πρόθυμον ὡσαύτως διδασκαλίαν, ἀγχίνοιαν ὑπερβάλλουσαν, τῶν ἐπικυριῶν εὐπορίαν, πιθανώτερον ἔςαι τὸν Δημήτριον ὑπάρξειν σοφὸν,

φὸν, ἅπερ ὅτι μόνην ἐν ἑαυτῷ τὴν τοῦ μανθάνειν ἐπιθυμίαν παρατηρεῖς. Οὐδεμία δὲ τῆς ἀγχινοίας δεξιότητα, οὐδεμίαν ἐπικουρίαν, καὶ οὐδεμίαν διδασκαλίαν. Ταῦτα πρὸς τὴν α. πρότασιν.

Οὐ πᾶν τὸ δυνατὸν εἶναι πιθανὸν διὰ τοῦ παραδείγματος τοῦδε γνώσῃ. Δυνατὸν παρ. χάρ. ταύτῃ σε τῇ ὥρᾳ χίλια χρυσᾶ νομίσματα λαβεῖν παρὰ τοῦ φίλου Νικολάου, οὐ γὰρ περιέχει ἀντίφασιν, ἀλλ᾽ οὐκ ἔστι πιθανὸν διὰ τὸ μηδέπω περιστάσεις τινὰς, οὔτε φαινόμενα φαίνεσθαι, δι᾽ ἅπερ δύναιο κρίναι, ὡς λήψῃ παρὰ τοῦ Νικολάου χίλια χρυσᾶ νομίσματα. Τεθήτω πρῶτον, τὸν Νικόλαον εἶναι πλούσιον· δεύτερον τὸν Νικόλαον ὀφείλειν σοι χίλια χρυσᾶ νομίσματα· τρίτον ὑποσχεθῆναι πιστῶς ἀποτίσειν τῇ ὥρᾳ ταύτῃ τὸ ὀφειλόμενον· οὕτω δή τινες φαίνονται περιστάσεις, δι᾽ ἅσπερ δύνασαι πιθανῶς κρίνειν τῇ ὥρᾳ ταύτῃ χίλια χρυσᾶ νομίσματα λήψεσθαι. Πιθανὸν οὖν ἐστὶ λήψεσθαί σε τὸ ὀφειλόμενον τῶν χρημάτων κεφάλαιον, ὅτι δὲ πιθανὸν ἐστὶν, ἔσται πάντως καὶ δυνατόν. Λίαν δὲ ἀκριβῶς τὸ δυνατὸν ὀφείλει τοῦ πιθανοῦ διακρίνεσθαι, ὅτι ἐν τοῖς ἠθικοῖς ἡ διαφορὰ αὕτη ἐν τοῖς μάλιστα ἡμῖν ἐστὶ χρήσιμος. Ἄλογον παρ. χάρ. ἐλπίδα εἶναι διδάσκομεν ἐν τοῖς ἠθικοῖς τὴν ἐρειδομένην τοῖς δυνατοῖς, λογικὴν δὲ τὴν ἐρειδομένην τοῖς πιθανοῖς.

## ΥΖ΄.

Μέχρι τοῦδε περὶ τῆς πιθανῆς προτάσεως· συλλογισμὸν δὲ πιθανὸν λέγομεν, ἐν ᾧ ἡ ἑτέρα τῶν προκειμένων ἐστὶ πρότασις πιθανή. Οἱ ἰδιῶται παρ. χάρ. οἱ κατὰ πιθανὴν συνείδησιν τὰς αὐτῶν ἐνεργείας ἄγοντες, καὶ τὸ ἀγαθὸν, ἢ κακὸν τῶν ἐνεργειῶν ἐκ διανοημάτων ἐσωτερικῶν ὁριζόμενοι, οὕτω πολλάκις διανοοῦνται.

„ Πᾶν ὅ, τι ὁ ποιμὴν (ἤτοι ὁ ἱερεὺς) ὁ τῆς τοῦ θείου θελήσεως ἔμπειρος καὶ τῶν ἠθῶν διορ-
„ θωτὴς ὑποδύεται, θεμιτόν ἐστι.
„ Ἀλλ᾽ ὁ ποιμὴν τὴν ὄρχησιν ὑποδύεται.
„ Ἄρα, ἡ ὄρχησίς ἐστι θεμιτή.

Ὁ συλλογισμὸς οὗτος πιθανός ἐστι, ὅτι ἡ μείζων πιθανή. Ἐκάλουν δὲ τὸν συλλογισμὸν τοῦτον οἱ πάλαι διαλεκτικὸν καὶ τοπικόν· τόποι γὰρ παρὰ τοῖς ἀρχαίοις ἦσαν τῶν πιθανῶν ἐπιχειρημάτων, ὥσπερ ταμεῖα. Περὶ ὧν

δὴ τόπων τοπικῶν λεγομένων, ὅ,τι χρὴ καὶ ὑπολαμβάνειν, καὶ εἴτις τῷ φιλοσόφῳ, ἢ τῷ ῥήτορι ἐκ τούτων ὠφέλεια, ἐν τῇ ἀναπτύξει δηλωθήσεται.

## ΥΗ΄.

**Ἡ διαφορὰ τοιγαροῦν ἡ μεταξὺ τοῦ ἀποδεικτικοῦ καὶ τοῦ πιθανοῦ, ἤτοι διαλεκτικοῦ συλλογισμοῦ εὑρισκομένη, οὐκ ἐν τῷ εἴδει, ἀλλ' ἐν τῇ ὕλῃ ζητητέα ἐστί.**

Δεικν. Ἐπεὶ γὰρ ἐπὶ τῆς ἀποδείξεως, ἤτοι τοῦ ἀποδεικτικοῦ Συλλογισμοῦ βέβαιοι καὶ ἀναμφίλεκτοι προκείμεναι μόνον παραλαμβάνονται. (ΤΠς΄.) Ὥσπερ ἐν τῷ πιθανῷ ἢ διαλεκτικῷ συλλογισμῷ, πιθαναί (ΥΖ΄.)· Αἱ δὲ προκείμεναι τὴν ὕλην τῶν συλλογισμῶν συνιστῶσι (ΣΜς΄.)· Ἕπεται ἤδη τὴν τοῦ ἀποδεικτικοῦ καὶ πιθανοῦ διανοήματος διαφορὰν ἐν τῇ ὕλῃ θεωρεῖσθαι, μηδ' ἄλλῳ τινὶ τὸν ἀποδεικτικὸν καὶ διαλεκτικόν, ἢ πιθανὸν συλλογισμὸν διαφέρειν ἀλλήλων, εἰμὴ ταῖς ἀρχαῖς.

## ΥΘ΄.

**Ἡ πρότασις ἡ πιθανῶς ἡμῖν οὖσα ἀληθής, δύναται εἶναι ψευδής.**

Δεικν. Ἐπεὶ γὰρ πρότασις ἡμῖν πιθανῶς ἐστὶν ἀληθής, ἐν ᾗ τὸ Κατηγορούμενον ἀπονέμεται τῷ ὑποκειμένῳ διά τινα μόνον εἰς τὴν ἀλήθειαν ἀπαιτούμενα, καὶ διὰ λόγον μὴ ἀποχρῶντα (ΥΔ΄.)· Εὐχερῶς ὁρᾷς δύνασθαι ἔτι τὸ Κατηγορούμενον τὸ διά τινα εἰς ἀλήθειαν προσαπαιτούμενα, καὶ διὰ λόγον μὴ ἀποχρῶντα, τῷ ὑποκειμένῳ ἀπονεμόμενον, διαμάχεσθαι τῷ ὑποκειμένῳ· οὔπω γὰρ ὁλοτελεῖς λόγοι πάρεισιν οἱ ἀναγκαίως τὸ Κατηγορούμενον τῷ ὑποκειμένῳ ἀνήκειν παραδηλοῦντες.

Εἴπερ οὖν τὸ Κατηγορούμενον τὸ διὰ λόγον μὴ ἀποχρῶντα ἐν προτάσει πιθανῇ τῷ ὑποκειμένῳ ἀπονεμόμενον, δύναται ἔτι διαμάχεσθαι τῷ ὑποκειμένῳ, καὶ ὅτε τῷ ὑποκειμένῳ διαμάχεται τὸ Κατηγορούμενον, ψευδὴς ἡ πρότα-

σις

τις λέγεται (ΤΛ'.)· Εὔδηλον, ὅτι ἡ πρότασις ἡ πιθανὴ ἡμῖν ἦσα ἀληθὴς, δύναται εἶναι ψευδής.

„ *Παρ. χάρ.* Ο' ἰδιώτης κρίνει τὴν ὄρχησιν εἶναι θεμιτὴν, ὅτι ὁ ποιμὴν ἢ τὸ δίκτυρον ἀδὰς
„ τῦ ἀγαθῦ τε καὶ πονηρῦ, ὀρχεῖται. Ε'πὶ ταύτης ἂν τῆς προτάσεως, ἡ ὄρχησίς ἐστι θεμι-
„ τὴ, ὁ ἰδιώτης τὸ *Κατηγορήμενον*, τὸ θεμιτὴν εἶναι, διὰ λόγου ἀπονέμει μὴ ἀποχρῶντα,
„ ἔστι γὰρ ἐπισφὴ τὴν *Κρίσιν*, ἡ ὄρχησις ἐστὶ θεμιτὴ, ὅτι ὁ ποιμὴν ὀρχεῖται.
„ *Δύναται* τοιγαρῦν ἡ τῦ ἰδιώτε πρότασις, ἡ ὄρχησις ἐστὶ θεμιτὴ ἡ πιθανῶς ἦσα αὐτῷ
„ ἀληθὴς τῷ πράγματι εἶναι ψευδής. *Καὶ ταῦτα μὲν περὶ πιθανότητος ἐν γένει, νῦν*
„ δὲ ἤδη εἰς διάληψιν τῶν εἰδῶν τῆς πιθανότητος κατὰ μέρος μεταβησόμεθα. Κἀν-
„ ταῦθα ταῖς σαφαῖς τῦ *Περιφανῦς Ρ'ηδιγέρε* θεωρίαις ἑπόμενοι, πρῶτον τὴν ἱστορικὴν
„ πιθανότητα. β'. Τὴν φυσικὴν, γ'. Τὴν πολιτικὴν. δ'. Τὴν πρακτικὴν, ὅπερ καὶ
„ τελευταῖον, διακεκριμένως ἐκθησόμεθα.

## ΥΙ'.

Εἰς τὴν ἀλήθειαν, ἢ διὰ πείρας, ἢ διὰ δείξεως ἀπὸ τῶν προτέρων δηλαδὴ ἀφικνέμεθα (ΤΝ'.)· Ε'πεὶ δὲ ὔτε πάντων πειρᾶσθαι καὶ ἐκ τῶν ὑστέρων εὑρίσκειν δυνάμεθα, ὔτ' ἔτι τὰς συναφείας πάντων τῶν ἡμῖν καθομολογημένων πρὸς τὰς ἑαυτῶν πρώτας ἀρχὰς διοπτεύειν δυνάμεθα, ταύτῃ τοι πιστευτέον ἡμῖν πολλοῖς ἔτι, ὧν ἕτεροι πεῖραν ἔλαβον, ἢ παρ' ἑτέρων ἀναφέρονται.

## ΥΙΑ'.

Ε'κ τύτε ὁρᾷς διὰ τὸ πεπερασμένον τῦ ἡμετέρε νοὸς ὀρθῶς γεννᾶσθαι τὴν πίστιν (τὴν φιλοσοφικὴν δηλαδὴ) ὐδὲν ἄλλο ὖσαν, εἰμὴ συγκατάθεσιν προτάσει διδομένην διὰ μαρτυρίαν ἑτέρε.

## ΥΙΒ'.

Τῆς πίστεως ὖν συγκαταθέσεως ὔσης, ἥντινα προτάσει τινὶ ἀπονέμομεν διὰ μαρτυρίαν ἑτέρε (ΥΙΑ'.) Εὔδηλόν ἐστιν, ὅτι ὁ λόγος, δι' ὃν ἐν τῇ πίστει ἔχομέν τι ὡς ἀληθὲς, ἡ τῦ διηγεμένε προσώπε, ἀξιοπιστία ἐστί.

## ΥΙΓ.

Ἐπεὶ δὲ τὰ διηγούμενα πρόσωπα δι᾽ ἄγνοιαν καὶ δεξιότητος ἔλλειψιν δύνανται, καὶ διὰ κακίαν ἐθέλουσιν ἡμᾶς πολλάκις ἐξαπατᾶν, καὶ ὡς ἀληθὲς τὸ ψεῦδος παρεισαχθῆν, ἀπαιτεῖται προφυλακάς τινας παραδοῦναι, καὶ δεῖξαι, τί ποτ᾽ ἐστι τὸ πιθανῶς ἀληθές, καὶ τί τὸ πιθανῶς ψευδὲς ἐν τῇ διηγήσει τῶν γενομένων, ἤτοι τῶν ἱστοριῶν. Τοὺς κανόνας τοιγαροῦν τῆς ἱστορικῆς πιθανότητος, ἐν ᾗ ὡς ὑπόθεσις λαμβάνεται ἡ τοῦ μάρτυρος ἀξιοπιστία καταμαθῆσαι χρεών.

## ΥΙΔ.

Ἐπὶ πάσης τοιγαροῦν ἀνθρωπίνης πίστεως καὶ ἱστορικῆς πιθανότητος ταῖς ἑπομέναις περιστάσεσι προσεκτέον.

Α΄. Τῷ μάρτυρι, ἤτοι τῷ προσώπῳ τῷ διηγουμένῳ γενόμενόν τι.

Β΄. Τῷ ἀναφερομένῳ πράγματι.

Γ΄. Τῷ τρόπῳ τοῦ διηγεῖσθαι.

## ΥΙΕ.

Τῶν μαρτύρων, ἤτοι τῶν διηγουμένων προσώπων, οὐχ ἡ αὐτή ἐστιν ἀξιοπιστία, καὶ ἑπομένως τῇ τῶν διηγουμένων τὸ γενόμενον διαφορᾷ προσέχειν ὀφείλεται.

## ΥΙϚ.

Ὅσον τῇ διαφορᾷ τῶν μαρτύρων ἀνήκει, ἡ διαφορὰ θεωρεῖται. ά. Τῷ λόγῳ τοῦ νοός. β. Τῷ λόγῳ τῆς θελήσεως καὶ γ΄. Τέλος τῷ λόγῳ τῶν αἰσθήσεων.

ΥΙΖ.

## ΤΙΖ'.

Τῷ λόγῳ τοῦ νοὸς, ἄλλοι μὲν εἰσι μάρτυρες συνεχεῖς καὶ ἐχέφρονες, καὶ τῇ τῆς κρίσεως δωρεῇ κεκαλλωπισμένοι· ἄλλοι δὲ ἁπλοῖ, ἄφρονες, καὶ ὄχλος, ὡς εἰπεῖν, βορβορώδης.

## ΤΙΗ'.

Τῷ λόγῳ τῆς θελήσεως οἱ μάρτυρές εἰσιν, ἢ οὐδετέρου τῶν μερῶν, ἢ τοῦ ἑνὸς μᾶλλον ἔνοχοι, καὶ καλοῦνται ἐνεχόμενοι· ὡσαύτως εἰσὶν, ἢ χρηστοὶ, ἢ ἀδόκιμοι, καὶ τοῖς ψεύδεσιν εἰθισμένοι.

## ΤΙΘ'.

Τῷ λόγῳ τέλος τῶν αἰσθήσεων οἱ μάρτυρες εἰσιν, ἢ μάρτυρες αὐτόπται, οἱ τὸ γενόμενον ἐνώπιον κατιδόντες, ἢ εἰσι μάρτυρες ὠτακουσαὶ, οἱ γενόμενόν τι εἶναι παρ' ἄλλων λαβόντες. Καὶ οἱ ὠτακουσαὶ αὖθις ἢ εἰσι σύγχρονοι, τουτέστι τῷ αὐτῷ χρόνῳ ἔζων, καθ' ὃν γενόμενόν τι συνέβη, ἢ εἰσι νεώτεροι παρὰ τῶν συγχρόνων, ὅ, τι οὖν διηγοῦνται, παραδεξάμενοι.

„ Ταύτης δὲ τῆς διαφορᾶς τῶν μαρτύρων προκατασκευασθείσης, νῦν ἐκ ταύτης ἀχειρὰς κανόνες καὶ νόμοι τῆς Ἱστορικῆς πιθανότητος διαμορφωθήσονται.

## ΤΚ'.

### Οἱ Κανόνες οὖν καὶ οἱ νόμοι τῆς Ἱστορικῆς πιθανότητος ταῖς προτάσεσι ταυταις ἀκριβέστατα περιέχονται.

Α'. Πιθανωτέρα ἐστὶν ἡ μαρτυρία τοῦ συνεχοῦς ἀνδρὸς, καὶ κρίσιν τέλειον ἔχοντος, ἤπερ τοῦ ἁπλοῦ καὶ ἀγροίκου, ὁπηνίκα πράγματα διηγῶνται, προσοχήν τινα ἀπαιτοῦντα καὶ κρίσιν.

„ Ὅταν παρ. χάρ. γίγνεται περὶ τῶν τῆς φύσεως φαινομένων, ἢ ἰδίᾳ τις καὶ παράδοξος
„ ἀνδρὸς πεπαιδευμένου δόξα ἀπομνημονεύεται, τότε δὴ ἀσφαλέστερον τῷ Κάτω πιστώ-
„ σας, ὅτινος ἡ ἀξιότης καὶ ἀκρίβεια τῆς Κρίσεως ἐγγυησάσθω, ἤπερ τῷ Τιτίῳ πολυ-
„ σάρκῳ

,, σάρκα ὄντι ῥινὸς, ϗ ἁπλῶ ἐς τὰ μάλιςα, ϗ διὰ ταῦτα προσοχῇ τῇ ὀφειλομένη τὰ
,, ἐν τοῖς φυσικοῖς φαινόμενα, ϗ τὴν ἀνδρὸς σοφῦ τινος δόξαν ἀδαμῶς ἐννοῦσαι πι-
,, ςευόμενα.

Β'. Ὅτε δὲ τὰ περὶ ὧν ἡ διήγησις μόνην τὴν τῶν αἰσθήσεων καὶ ὀ πλεί-
ςην τὴν προσοχὴν ἀπαιτεῖ, ἡ τῦ ἰδιώτυ καὶ ἀγροίκυ μαρτυρία τῆς αὐτῆς ἀξιῦ-
ται πίςεως, τῇ τῦ σοφῦ καὶ ἐχέφρονος· μάλιςα δ' ἐνίοτε μείζονος ἅπερ ἀ-
μέλει ταῖς διαθέσεσιν ὑποψία παρῇ, καὶ τῶν ἑαυτῦ μερῶν ὁ σοφὸς σπυδὴν
καταβάλλεται.

,, Παρ. χάρ. Ὅτε ὁ ἰδιώτης ϗ ἁπλῦς διηγεῖται τὸν Τίτιον κονδύλυς ἐντρῖψαι τῷ Καΐῳ,
,, τότε δὴ ἡ τύτυ μαρτυρία τῶν ἄλλων ἴσων ὄντων τὴν αὐτὴν ἔσχηκε τιμὴν, ἥνπερ
,, ϗ ἡ τῦ Σεμπρονίυ ἀνδρὸς τῶν πεπαιδευμένων διήγησις. Μάλιςα δ' ἔτι τῦ πεπαιδευ-
,, μένυ ϗ ἐντρεχῦς ἀνδρὸς τὰς συνεπείας τῆς διηγήσεως ἐπιγινώσκοντος, ϗ τὴν ἀλήθειαν
,, ὡς τὰ πολλὰ κρύπτοντος, ἐν πολλαῖς περιςάσεσι τῷ ἁπλῷ ϗ ἰδιώτῃ τὰς τῦ γενο-
,, μένυ ἀγνοῦντι συνεπείας, ϗ ἑπομένως τὸ γενόμενον πιςῶς διηγυμένῳ πιςεύομεν ἀ-
,, σφαλέςερον.

Γ'. Ὅτι δὲ τῷ μάρτυρι, ὃν περ τῇ τῶν μερῶν αὐτῦ σπυδῇ ἐνασχο-
λεῖσθαι, ἔκτινων περιςάσεων συνάγομεν, μικρὰν πίςιν ἔχειν ὀφείλομεν, ἐκ-
διδάσκει ὁ λόγος, ὁπηνίκα ἀντικειμένως τῷ λόγῳ μεῖζον ἀπονέμεται τῆς
διηγήσεως περιςάσεων συμπέρασμα.

,, Ἐθέλοντί σοι εἰδέναι, ὥσπερ ὁ μάρτυς τῇ τῶν ἑαυτῦ μερῶν σπυδῇ ἐνασχολύμενος ϗ
,, ἀγάπῃ, ἢ μίσει φερόμενος ἀπεργάζεταί τι. Προσεκτέον ἐπὶ πολλὰς περιςάσεις τὴν
,, πατρίδα ἀμέλει, τὴν θρησκείαν, τὴν αἵρεσιν, τὴν οἰκίαν κτλ'.

,, Ἐὰν παρ. χάρ. ἐκ τῶν ἐφημερίδων, ἢ χρονικῶν τῶν παρά τινος τῦ Γαλλικῦ ἔθνυς ὄν-
,, τος συγγεγραμμένων καταναῇς τὺς Γερμανὺς διωχθῆναι ὑπὸ τῶν Γάλλων, ϗ τὸ
,, τρόπαιον τὺς Γάλλυς λαβεῖν, ἀπατηλὴ ἡ τῦ συγγραφέως πίςις ἐςίν. Ἐντεῦθεν
,, ὡσαύτως γινώσκεις, εἰ πιςευτέα εἰσὶν ὅσα περ οἱ Παπιςαὶ καθαπτόμενοι τῦ Λυθήρυ
,, περί τε τῆς ἐκείνυ γεννήσεως ϗ τελευτῆς διαγγέλλυσι· πλὴν ἐν τῇ ἀναπτύξει.

Δ'. Ἡ ἀξιοπιςία τῦ αὐτόπτυ μάρτυρος κρείσσων ἐςὶ τῆς τῦ ὠτακυςῦ
μαρτυρίας, κἀκείνῳ ἀείποτε ἀσφαλεςέρα ἡ πίςις ὀφείλεται, ἤπερ τῷδε.

,, Ὁ λόγος πρόχειρος, ὅ, τιδήποτε γάρ τις ἐξ ἀκοῆς, ἢ φήμης λάβῃ ὡς τὰ πολλὰ τῦτο
,, παραπολὺ τῆς ἀληθείας ἀπέχει. Ὅτε γὰρ ὁ Καΐος διηγεῖται πρᾶξίν τινα τῷ
,, Τιτίῳ προςιθέναι τι παρ' ἑαυτῦ τῇ διηγήσει φιλεῖ, ϗ ὁ Τίτιος τῦτ' αὐτὸ διηγύμενος
,, τῷ Σεμπρονίῳ παρ' ἑαυτῦ ὡσαύτως τῇ διηγήσει τὶ ἀναμίγνυσι, ϗ ὁ Σεμπρόνιος

ἤδεις

„ αὖθις ὁμοίως, ὥςε τὸ γινόμενον μὴ φαίνεσθαι εἶναι τοῦτον. ἡ γὰρ φήμη αὐξάνουσα
„ προβαίνει, κἀντεῦθεν ὁ ὠτακουςὴς μάρτυς ἐ τῆς αὐτῆς τῷ αὐτόπτῃ ἀξιοῦται πίςεως.

Ε'. Εἰδ' ὅμως ἐνίοτε τινὰ καὶ τῷ ὠτακουςῇ ἀπονέμοιμεν πίςιν, ἐπεικῶς προσέχειν ὀφείλομεν, εἴπερ ὁ τοιοῦτος μάρτυς συνεχὴς ἐςίν, ἢ ἐκ τῦ ὄχλυ τῦ βορβορώδυς· εἰ μὲν τὸ α'. ἀσφαλέςερον πιςεύεται, εἰ δὲ τὸ β'. ἐν ὑπονοίᾳ μείζονι ἡ πίςις ἔςαι σοι.

ς'. Ἐν τῇ μαρτυρίᾳ τῇ δι' ὠτακουςῦ μάρτυρος παριςανομένῃ ἐρευνητέον τὰ μάλιςα τὸν πρῶτον τὸν τὴν διήγησιν ἐξαγγείλαντα, ὅπως τε καὶ ἐκ τίνων αἰτιῶν ἡ φήμη ἐπηύξησεν, οὕτω γὰρ ἐπιμελῶς ἀνιχνευομένης τῆς πρώτης κατὰ τὴν Ἱςορίαν ἀρχῆς, εὐχερῶς ἐπιγνώσῃ, τίνα χρὴ τῷ ὠτακουςῇ πίςιν ἀπονέμειν.

Ζ'. Ἡ τῶν συγχρόνων μαρτύρων διήγησις πιθανωτέρα κρίνεται τῆς τῶν πολλῷ χρόνῳ εἰσέπειτα ἐπιγενομένων.

Η'. Εἴπερ τὸ αὐτό, ὅπερ ὁ σύγχρονος μάρτυς διηγεῖται, πλείονες τῷ αὐτῷ τρόπῳ καὶ ταῖς αὐταῖς περιςάσεσι διεξέρχονται, οὐκ ὀλίγον ἔτι τῇ πιθανότητι τῆς μαρτυρίας ἀπὸ τῦ συγχρόνυ ἐκφερομένης προςίθεσθαι δύναται.

„ Οὗτοί εἰσιν οἱ κρατῦντες Κανόνες, ὓς χρὴ ἔχειν πρὸ ὀφθαλμῶν, ἄγε μέλλοιμεν μὴ ἐξαπατᾶσθαι ἐν τῷ πιςεύειν. καὶ ταῦτα μὲν ὡς ὁρᾷς ἀφορῶσι τὸν μάρτυρα· νῦν δὲ
„ προφυλακάς τινας τῷ λόγῳ τῦ γενομένυ, ἤτοι τῦ περὶ ὃ ἡ διήγησις παρατηρεῖσθαι
„ ὀφειλομένας, συντόμως καταριθμήσομεν.

## ΥΚΑ'.

Α'. Διηγήσεως ὅσης περὶ γενομένυ τινός, ἐν ᾧ περιςάσεις ἁπάντων ἀλλήλαις διαμαχόμεναι, ὐδεμία πάρεςι πιθανότης.

„ Ὁσάκις γὰρ αἱ περιςάσεις τῦ γινομένυ ἀντιφάσκυσιν, τοσάκις τὰ ἀδύνατα ἐπιφέρεται.
„ Ἐπεὶ δὲ πᾶν πιθανὸν ὀφείλει εἶναι δυνατόν (λς'.)· Κατανοεῖται ἤδη ὅτι ἡ μάχη, ἤτοι
„ ἡ ἀντίφασις τῶν περιςάσεων χώραν ἔχυσι τὴν δυνατότητα ἐχ εὑρίσκεσθαι, ἐ ἐπομένως ἐ δὲ τὴν πιθανότητα.

Ὅτε

Β'. Ὅτε τις ἀσύνηθές τι ἢ θαυμάσιον γενόμενον διηγεῖται, καὶ εἴπερ ἐςὶ τοῦτο πιθανῶς ἀληθὲς εἰδέναι δι' ἐφέσεως ἔχῃς ἐπὶ τὰ ἑπόμενα πρόσεχε.

Α'. Ὅτε τὸ θαυμαςὸν πρᾶγμα εἷς καὶ μόνος διεξέρχεται μάρτυς οὐ πολλή τις αὐτῷ πίςις ὀφείλεται· δύναται γὰρ, ὡς τὰ πολλὰ συμβαίνειν ἐξαπατᾶσθαι τῇ φαντασίᾳ.

Β'. Ὁπηνίκα δὲ τὸ αὐτὸ θαυμάσιον καὶ ἀσύνηθες πλείους τινὲς ἄλλως τε καὶ εὐδόκιμοι διηγῶνται ἄνδρες ταῖς αὐταῖς περιςάσεσιν ἀναφέροντες, καὶ μεθ' ὅρκου βεβαιῶσιν, ὡς τὸ γεγενημένον ἰδόντες, πολλῷ πιθανώτερόν ἐςι τῇ ἀληθείᾳ ὑπάρξαι τὸ περὶ οὗ ἡ διήγησις.

## ΤΚΒ'.

Ὅσον δὲ ἐπὶ τὸν τρόπον τοῦ διηγεῖσθαι ἀνήκει, σημείωσαι ὧνπερ ἱςορικῶς ἡ διήγησις γίνεται, πλείονος ταῦτα ἀξιοῦσθαι πίςεως τῶν ποιητικῶς καὶ ῥητορικῶς φερομένων. Ἐν γὰρ τῇ Ἱςορικῇ διηγήσει ἁπλᾶ πάντα εὑρίσκεται καὶ γυμνὰ κόσμου καὶ ἀλλοτρίας περιβολῆς· τὰ δὲ ποιητικῶς ἢ ῥητορικῶς ἀπομνημονευόμενα πλείςων ὅσον ἀποχωροῦντα εὑρήσεις τῆς ἀληθοῦς καὶ κυρίας ἁπλότητος. Καὶ πάντα χρώμασι φιλοτίμως καὶ περιέργως ἐπιζητουμένοις διακοσμούμενα ὄψει. Ὥςε τὴν ἀλήθειαν πολλοῖς χρίσματι καὶ ἐπιπλάςῳ φύσει κεκαλυμμένην μόλις, ἢ οὐδεπωσοῦν φαίνεσθαι.

## ΤΚΓ'.

Τὰ μὲν δὴ μέχρι τοῦδε περὶ τῆς Ἱςορικῆς πιθανότητος διαληφθέντα, ἐπὶ τὴν ἀνθρωπίνην μόνην μαρτυρίαν τε καὶ ἀξιοπιςίαν ἀξιοῦμεν ἀνάγεσθαι· τὰ γὰρ τῇ θείᾳ μαρτυρίᾳ ἐμπεδούμενα τοσοῦτον ἐςὶ βεβαιότερα, ὅσον ὁ ἀληθέςατος Θεὸς οὐδαμῶς οἶδε ψεύδεσθαι.

„ Ἐκ τούτου τέλος ξυνορᾶν ἔχῃς τὰ γενόμενα μόνον πιςοῦσθαι· τὰ γὰρ καθόλου δόγ-
„ ματα (α) τὴν ἑαυτῶν ἐκ τοῦ. ὀρέξεων βεβαιότητα ἔχει. Εἰ δέτις τοῖς καθόλου δόγ-
„ μασι διὰ τὴν τοῦ ἑτέρου μόνον μαρτυρίαν πιςεύει μετρὰ φροντίζων περὶ τῶν ἐσωτερικῶν
„ λόγων τῶν ἀναγκαζόντων τὴν συγκατάθεσιν, οὗτος ἤδη τῷ τῆς ἀξιοπιςίας προκειμέ-
„ νῳ, περὶ οὗ ἀνωτέρω (ΤΛς'.), προκαταλήψεται.

Ἐν-

(α) Καθόλου δόγματα, οἷον ἐςὶν ἡ ψυχὴ ἀθάνατος· οὐ δεῖ τοίνυν ἄλλως ἢ δι' ἀποδείξεως βεβαιοῦσθαι, τοῖς τοιούτοις δόγμασι, καὶ μὴ λέγειν, οὕτως ἔφη ὁ Βόλφιος, ἢ ἄλλος τις σοφός;

„ Ἐντεῦθεν ἔτι δηλοῦται, ὅσον ἁμαρτάνουσιν οἱ ἐν τῇ ἐμπεδώσει ἀληθείας τινός, μαρτυ-
„ ρίαις ἔνθεν κἀκεῖθεν ἐπιπονώτερον ζητημέναις εἰς βεβαίωσιν χρώμενοι, πλείω τῇ ἀξιο-
„ πιςίᾳ, πίςιν, ἢ τοῖς ἐπιχειρήμασιν ἀπονέμοντες

## ΥΚΔʹ.

Νῦν δὲ ἐπὶ τὴν Ἑρμηνευτικὴν πιθανότητα μεταβαίνομεν· ἡ Ἑρμηνευτικὴ δ' αὕτη πιθανότης χρησιμεύει ἡμῖν ἐν τῷ ἐξηγεῖσθαι, ἤτοι τὴν Ἔννοιαν συγγραφέως τινὸς ἐξάγειν. Συμβαίνει δ' ὡς τὰ πολλὰ τὸν λόγον συγγραφέως τινὸς πολλαπλασίας δέχεσθαι ἐξηγήσεις, ὧνπερ τίς ἐςιν ἡ πιθανωτέρα ἐκ τῶν νόμων τῆς Ἑρμηνευτικῆς πιθανότητος διοριςέον ἐςίν.

## ΥΚΕʹ.

Ἑρμηνευτικὴ πιθανότης ἐςὶν, ὅτι ἀπό τινων τῶν ἐν τῷ συγγράμματι τοῦ συγγραφέως περιςάσεων παρ. χάρ. τῆς τῶν λόγων σημασίας κειμένης τῆς συναφείας, τῆς τοῦ συγγραφέως ἡλικίας, τοῦ τέλους, καὶ τῆς διαθέσεως, τὸν τοῦ συγγραφέως νοῦν συμπεραίνω.

„ Νοῦς τοῦ συγγραφέως ἐςὶν ἡ Ἔννοια αὐτοῦ, ἥνπερ διὰ τῶν λόγων εἰς τὰς ψυχὰς τῶν
„ ἀναγινωσκόντων καὶ ἀκουόντων ὁ συγγραφεὺς, ἢ ὁ λέγων παραγαγεῖν βούλεται. Ὅτε
„ ἐξ ἀρχῶν κανονικῶν περὶ τῆς Ἐννοίας τοῦ συγγραφέως, εἰς ἣν ἐκεῖνος ἀφορᾷ κοίνειν,
„ καὶ περὶ τὴν ἀπόδειξιν ἐκείνης ἐνασχολοῦμαι, τὸν συγγραφέα Ἑρμηνεύειν λέγομαι. Καὶ,
„ Ἑρμηνεία ἐςὶν Ἐνέργεια, καθ' ἣν ξυνίεμεν τὸν τοῦ συγγραφέως νοῦν.

## ΥΚϚʹ.

Ἵνα μᾶλλον διακεκριμένως εἰδέναι ἔχῃς, ὅπως αὐτῇ παρακολουθεῖν τεκμαιρόμενος δύνασαι τὰς ἑπομένας προτάσεις σημειῶσαι, ὡς Κανόνας τῆς Ἑρμηνευτικῆς πιθανότητος.

Α΄. Ἐπείπερ ὁ τῶν συγγραφέων νοῦς διὰ λόγων σημαίνεται (ΤΚΕ΄.) ἑπόμενον ἐςὶ τὸν βουλόμενον συνιέναι τὸν τῶν συγγραφέων νοῦν, τὴν διάλεκτον δι' ἧς περ ὁ συγγραφεὺς τὸν οἰκεῖον ἀνέπτυξε νοῦν ἀκριβῶς γινώσκειν, καὶ τοὺς ἰδιωτισμοὺς τῆς διαλέκτου εἰδέναι σαφῶς, ὅθεν.

Β΄. Τῶν Ἑρμηνέων τοὺς ταῖς ἄλλων ςροφαῖς, ἤτοι μεταφοραῖς πεποιθότας, ἐν τῷ ἐξάγειν τὴν κατάληψιν τοῦ κατὰ τὸν συγγραφέα νοός, ἁμαρτάνειν καὶ ὀλισθαίνειν ἐπάναγκες, ὡς οὐκ ἐπαΐοντας τῆς φωνῆς, ᾗπερ τῶν συγγραφέων τις κέχρηται.

Γ΄. Ἐν τῷ Ἑρμηνεύειν προσεκτέον μάλιςα ἐπὶ τὴν τοῦ συγγραφέως διάθεσιν, τὴν αἵρεσιν, τὸ ἐπάγγελμα, τὴν ἡλικίαν, τὸν σκοπόν, ἐνθέν τοι.

Δ΄. Πρεπωδέςατον ἐπὶ τὸ τοῦ ἑρμηνευθησομένου συγγραφέως σύςημα ἐπιμελῶς διακρίνειν ἐκ τῶν οἰκείων αὐτοῦ ἐννοιῶν φυλαττομένης μήποτε ἐκ τῶν ἡμετέρων ἐννοιῶν περὶ τοῦ τῶν συγγραφέων λόγου ἡ κρίσις γίγνοιτο.

„ Ἄριςα οὖν ὁ Κληρικὸς ἐν τῇ Κριτικῇ τέχνῃ μερ. Β. Κεφ. Β. Παραγ. ζ΄ καὶ ια. Δεῖ, „ φησὶν, ὥσπερ ἐπιλανθανομένους ἡμᾶς τῶν ἡμετέρων ὑπολήψεων, ζητεῖν τίποτ' οἱ πά- „ λαι διδάσκαλοι ἐνενόουν, οὐχ ὅπερ ἡμῖν δοκεῖ ἐκείνους ἐννοεῖν ὀφείλειν, ἵνα ὦσι σοφοί.

Ε΄. Ἐξ οὗ ἔτι κατάδηλον γίνεται, δεῖν ἡμᾶς οὔτε ἀγάπῃ, οὔτε μίσει προσωπικῷ, ἢ προκρίμασί τισι τῆς Ἑρμηνείας κατεχομένους ἐφάπτεσθαι.

ς΄. Ἐν τῷ Ἑρμηνεύειν τὰ ἡγούμενα καὶ τὰ ἑπόμενα παραβλητέα ἐπιμελῶς, ἵνα μὴ εἰ δέον τὸ τοῦ συγγραφέως νῷ παρακολουθεῖν βουλομένοις σοι, ἐκτὸς τῆς αὐτῶν πλοκῆς οἱ τοῦ συγγραφέως λόγοι ἐννοηθῶσιν.

„ Ὅθεν οὐδὲν θαυμαςὸν τὰ μάλιςα ἀπατᾶσθαι ἐν τῷ ἑρμηνεύειν τοὺς εἰς κατάληψιν τοῦ „ νοὸς συγγραφίας τινὸς, πολλάκις ῥήματα τοῦ συγγραφέως παρ' ἑτέρου τινὸς τῷ „ συγγραφεῖ, ἴσως ἐχθραίνοντος προφερόμενα, καὶ ἐκτὸς κείμενα τῆς αὐτοῦ συμπλο- „ κῆς, εἰς ἐπικουρίαν λαμβάνοντας. Γίνεται δὲ τοῦτο ἐν ταῖς ἀμφισβητήσεσι μάλιςα, „ ὅπερ διὰ πολλῶν ἐνώπιον ἀποδείξω.

Ζ΄. Οἱ τοῦ Συγγραφέως τόποι, παραβληθήτωσαν παράλληλοι προσεχέςερον, εἴγε μέλλοις εὐτυχῶς ἀνιχνεύειν, τίποτ' ἐςὶν τοῦ Συγγραφέως νοῦς πιθανότερον ἀληθής.

„ Πολ-

„ Πολλάκις γὰρ τὸ ἐνὶ τόπῳ ἀσαφέστερόν πως τῷ Συγγραφεῖ εἰρημένου, ἐν ἑτέρῳ σαφέ-
„ στερον προφέρεται, ὥσθ᾽ οὕτω τὰ ἀσαφέστερα ἐκ τῶν σαφεστέρων ἀναπτύσσεσθαι.

Η΄. Τῇ γραμματικῇ καὶ κυρίᾳ σημασίᾳ τῶν λέξεων ἐπὶ τοσοῦτον προσφύεσθαι χρή, ἐφ᾽ ὅσον ἡ γραμματικὴ κυρία σημασία ταῖς περιστάσεσι ταῖς κατὰ λόγον οἰκειότερον ἀνήκει, ἤπερ ἄλλη τις καταχρηστική.

Θ΄. Ἡ ἐπιεικεστέρα καὶ ὑγιεστέρα ἑρμηνεία προκριτέα τῆς ἀπεχθοῦς, μήτ᾽ εὐχερῶς προληπτέον ἀντιφάσκειν τινὰ ἑαυτῷ, ὅπερ ἡ ἐν τῷ ἑρμηνεύειν ἀπαιτεῖ ἐπιείκεια.

„ Οὐ σχολή μοι πλείους Κανόνας ἐπαγαγεῖν· ἰδιαίτερον καὶ γὰρ περὶ τῆς τοῦ ἑρμηνεύειν
„ τέχνης ἐν συνόψεων ἤδη ἐκτιθέντι μάθοιτι. Ταύτας δὲ τὰς θέσεις παραδείγ-
„ μασι θεολογικοῖς τε καὶ φιλοσοφικοῖς δαψιλέστερον σαφηνίσαι ἐνῆν.

## ΥΚΖ΄.

Νῦν ἤδη μεταβαίνομεν ἐπὶ τὴν φυσικὴν πιθανότητα, ἥτις ἐστὶν ὁπηνίκα ἐκ πολλῶν φαινομένων, εἴτ᾽ οὖν αἰσθάνσεων συνάγομεν αἰτίαν τινὰ φυσικήν, καὶ τρόπον καθ᾽ ὃν παράγεται τὸ ἀποτέλεσμα. Ὅρα Ῥουδιγέρου περὶ αἰσθήσεως ἀληθοῦς, καὶ ψευδοῦς βιβλ. Γ΄. κεφ Ε΄.

„ Οὕτω παρ. χάρ. πιθανόν ἐστι τὸν τῆς θαλάσσης ῥοῦν καὶ ἀναῤῥοῦν ἀπὸ τῆς θλί-
„ ψεως τῆς Σελήνης ἐξαρτῆσθαι, ὅτι πολλὰ φαινόμενα πάρεστι τὰ πείθοντα τὴν τῆς
„ Σελήνης θλῖψιν ὡς αἰτίαν τιθέναι τοῦ κατὰ τὴν θάλασσαν ῥόος καὶ ἀνάῤῥοος. Ὅρα
„ Ἀμβεργέργε Φυσικὴν §. ΨΜΖ. καὶ ἑπόμενον ἡ πιθανότης αὕτη ἐστὶ Φυσική.

## ΥΚΗ΄.

Περὶ τὴν Φυσικὴν τοιγαροῦν πιθανότητα τὰς ἑπομένας προφυλακὰς σημειώσασθαι ἀξιῶ.

Α΄. Εἴπερ αἰτίαν τινὰ πιθανὴν Φυσικὴν ἐξαγαγεῖν βούλοιο, ἀπαιτεῖται τὸ φαινόμενον δεδοκιμασμένον λαμβάνεσθαι, καὶ τὴν αὐτοῦ ἔννοιαν σαφῆ γοῦν διαμορφοῦσθαι. Ἐνταῦθα τοίνυν σημειοῦσθαι ἐπάναγκες τὰς περὶ τὴν πεῖ-

ραν ἀνωτέρω (ΤΝΔ΄. καὶ ἑπόμενον) παραδοθέντας Κανόνας, ἥς τινας δὲ ἐπὶ τῇ τῶν πειρῶν παρατηρήσει, μὴ ἔχων πρὸ ὀφθαλμῶν εὐχερῶς ἔκγονον τῆς φαντασίας, καὶ ἑπομένως χίμαιραν ἀντὶ τῆ ἀληθῆς φαινομένη ἕξεις.

Β΄. Ὁμοία προφυλακὴ προσληπτέα, ἐπὶ τῶν φαινομένων τῶν ἀπὸ τῆς καταλέξεως ἑτέρων τινῶν λαμβανομένων. Ἔνθεντοι προσληπτέοι εἰς ἐπικουρίαν οἱ περὶ τῆς Ἱςορικῆς πιθανότητος (ΥΚ΄.) παραδοθέντες Κανόνες.

Γ΄. Εἴπερ ὦσι τὰ φαινόμενα ἀκριβῶς δεδοκιμασμένα πᾶσαι αἱ δυναταὶ τῆ φαινομένη αἰτίαι ἀνιχνευτέαι εἰσί.

Δ΄. Ἐξ ἁπάντων τῶν δυνατῶν αἰτίων παραληπτέα τὰ ταῖς λοιπαῖς περιςάσεσιν ἀνήκοντα οἰκειότατα.

## ΥΚΘ΄.

Τόγε ἐπὶ τὴν πολιτικὴν πιθανότητα τὴν ἤδη ἐκτεθησομένην ἀνῆκον, εἰδέναι χρὴ ὡς συνίςαται αὕτη, ὁπηνίκα ἐκ πολλῶν τινῶν φαινομένων ἐν προσώπῳ τινὸς, τὰ τῶν τρόπων ἤδη συνάγομεν.

„ *Παρ. χάρ.* Ὁπηνίκα ἐν τῷ *Καΐῳ* τὴν τῆ σώματος ςάσιν, ἥς ἀλαζονικὴν τεταγμένην
„ σεμνὸν βάδισμα, ἱπποβάμονα ῥήματα (ὑπερηφάνης λόγης) σπεδῶντα περὶ τὸ
„ κόσμιον, ϗ λοιπὰ τοιαῦτα παρατηρῶ, ἐκ τῶν τοιύτων δὴ περιςάσεων πιθανῶς
„ συνάγω, τὸν *Καΐον* εἶναι φιλόδοξον, ἤτοι τὸν *Καΐον* κατὰ τὸν ἑχόμενον κανόνα
„ ἐνεργεῖν.
„ Πᾶν ὅ, τιᾶν μοι περιποιεῖται τιμὴν, τῦτο παρ᾽ ἐμοὶ ἀγαθὸν, ϗ τῦτο ἐπιποθῦμαι.
„ ὡσαύτως ὁπηνίκα ἐν τῷ *Δημητρίῳ* παρατηρῶ Ἱλαρότητα τῆ προσώπε, σπεδὴν περὶ τὸ ἡδὺ, ἀποςασίαν, ἀσωτίαν, ἥς τὴν ἀργίαν ἐπιῤῥοὴν, ϗ τῆ πόνε φυγὴν, ἐκ
„ τύτων ἤδη τῶν αἰσθάνσεων, ἤτοι φαινομένων πιθανῶς συνάγω τὸν *Δημήτριον* εἶναι
„ φιλήδονον, ἤτοι αἱματώδη ϗ κατὰ τυτονὶ ἐνεργεῖν τὸν κανόνα.
„ Πᾶν ὅ, τι μοι καθ᾽ ἡδονὴν ἐςὶ ϗ θέλγει τὰς αἰσθήσεις, τῦτό μοι ἐςὶν ἀγαθὸν, ϗ
„ τυτὶ ἀποδέχομαι. *Περὶ ταύτης τῆς πολιτικῆς πιθανότητος, καθ᾽ ἣν ἐκ τῶν σημείων*
„ τῶν ἐπιῤῥοιῶν τε ϗ κλίσεων τὰς τῆς ψυχῆς ῥοπάς τε ϗ κλίσεις συνάγομεν ἀδικώτερον
„ *μεθ᾽ ἐφαρμογῆς ἐν τῇ Χαρακτηριςικῇ ϗ Ἠθικῇ ἡ διάληψις γίνεται.*

## ΥΛ΄.

*Πιθανότητα τελευταῖον πρακτικὴν ὁ Ῥηδιγέρος περὶ αἰσθήσεως ἀληθοῦς καὶ ψευδοῦς βιβλ. Γ΄. κεφ. ς΄. ἐκείνην ἀποκαλεῖ, καθ᾽ ἣν ἐξ ἀρχῶν Φυσικῶν ἢ Ἠθικῶν γενησόμενόν τι προλέγομεν.*

„ *Ὅτε ἀρχηγοῦ τινος θεράπων τῇ χρήσει ϗ πείρᾳ τῶν πραγμάτων πειθόμενος, πιθανῶς*
„ *προλέγει ταύτην ἢ ἐκείνην τὴν πολιτείαν, ἤτοι διαγωγὴν πόλεως καταπεσεῖν ὡρι-*
„ *σμένας ταύτας τινὰς ἐν τῇ πολιτείᾳ, ἣν καταφάσκει ἀνακρατήσεσθαι περιστάσεις πα-*
„ *ρατηρεῖ μεμνημένος τουτονὶ ϗ ἐν ἄλλοις τισὶ τῶν πολιτειῶν ὀλεθρίων πεῖραν λαβούσαις*
„ *ἀνατροπῶν, ϗ ἑπομένως ἐκ τῆς τῶν ὁμοίων περιστάσεων παραβολῆς, ὁμοίως ἐκδέχε-*
„ *ται τὰς ἐκβάσεις ϗ τουτὶ πιθανῶς.*

„ *Αὕτη δὲ ἡ τῶν ὁμοίων ἐκβάσεων ἀπεκδοχὴ ἐν τῇ πρακτικῇ πιθανότητι, παρὰ τοῖς πο-*
„ *λιτικοῖς συμβάλλει τὰ μάλιστα. Ὅπερ πλατύτερον ἤδη ἀποδεδειχὼς ἐν τῇ ὑμῶν*
„ *διαλέξει περὶ προσδοκίας τῶν ὁμοίων συμβαμάτων ἐν τῇ Ἠθικῇ εἰς τὰ πολλὰ ἀπαν-*
„ *τώσης. Ἔνθα ϗ προφυλακάς τινας προπαρέδωκα ἐν τῇ προσδοκίᾳ τῶν ὁμοίων*
„ *συμβαμάτων, ϗ ἑπομένως τῇ πιθανότητι τῇ πρακτικῇ παρατηρητέας.*

„ *Ἐντεῦθεν ϗ τὸ ἀπὸ τῆς ἀναλογίας λαμβανόμενον ἐπιχείρημα ἀνήκει ἐπὶ τὰ ἐπιχειρή-*
„ *ματα ἀξιούμενον ἀναφέρεσθαι. Ἐπιχειροῦμεν δ᾽ ἐν τούτῳ ἀπὸ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοι-*
„ *ον, ὅτι τῶν ὁμοίων ὁ λόγος ὅμοιος. Τὸ ἐπιχείρημα τουτὶ προσλαμβάνουσί τινες τὰ*
„ *ἄλογα ζῶα, ψυχὰς ϗ ταῦτα λογικὰς ἔχειν ἐμπεδοῦν ἀξιοῦντες. Ὡσαύτως ϗ τὴν*
„ *ψυχὴν μετὰ θάνατον ἐν στάσει τῶν διακεκριμένων Ἰδεῶν περιστρέφεσθαι βεβαιοῦντες*
„ *περὶ οὗ ἐνώπιον.*

„ *Τὰ περί τε τῆς δημώδους πιθανότητος, ϗ τῆς κατ᾽ ἄνθρωπον πιθανότητος ὡς ὁ Ῥηδι-*
„ *γέρος καλεῖ, ϗ τῆς Ἰατρικῆς πιθανότητος λεχθῆναι ἔτι δυνάμενα ἐν ταῖς ἀναγνώ-*
„ *σεσιν ἐπάξομεν πρακτέον πίστει ϗ σαφηνείᾳ.*

## ΥΛΑ΄.

*Τῇ πιθανότητι συνῆπται ἡ δόξα, ἥτις ἐστὶ πρότασις μὴ ἀποχρώντως ἐμπεδουμένη, οὐκ ἀποχρώντως δὲ ἡ πρότασις ἐμπεδοῦται ἐξ ἀρχῶν οὔπω βεβαίων παραγομένη.*

„ *Παρ. χάρ. Ἡ πρότασις αὕτη, δίδονται σελῆναι, ἐστὶ δόξα. οὔπω γὰρ ἀρχαῖς βεβαίαις*
„ *ἐρειδομένη ὠχυρῶς ὁρᾶται, μὴ ἀποχρώντως ἐμπεδουμένη, ϗ ἑπομένως εἰς τὸν ἀριθ-*
„ *μὸν τῶν δοξῶν ἀναφέρεσθαι δικαία ἐστί.*

## ΤΛΒ΄.

Ἐντεῦθεν συνάγεται δυνατὸν τὴν μὲν εἶναι δόξαν πιθανήν, τὴν δὲ ἀπίθανον.

Δείκν. Ἐπεὶ γὰρ ἡ δόξα πρότασίς ἐστιν οὐκ ἀποχρώντως ἐμπεδωμένη καὶ ἀρχαῖς ἀβεβαίοις ἐρειδομένη (ΤΛΑ΄.) οὐ πάντα δὲ τὰ ἀβέβαιά ἐστι πιθανά, ἀλλά τινα τούτων ταῖς λεγομέναις Κούφαις, αἵτινες λόγου παντὸς ἀπολείπονται, ἢ χωρὶς ἐμπεδώσεως λαμβάνονται, εὐχερῶς ἤδη κατανοεῖς, οὐ πᾶσαν δόξαν πιθανὴν εἶναι, ἀλλὰ καὶ ἀπίθανον δόξαν δίδοσθαι, ὥστε τὴν δόξαν ὀρθῶς διαιρεῖσθαι εἰς πιθανὴν καὶ ἀπίθανον.

## ΤΛΓ΄.

Πᾶσα δόξα ἐστὶ μεταβλητή.

Δείκν. Ἐπεὶ γὰρ ἡ δόξα πρότασις ἐστὶ ἐμπεδώσει μὴ ἀποχρώσει, καὶ ἀβεβαίοις ἐρειδομένη ἀρχαῖς (ΤΛΑ΄.) ἐνδέχεταί τινα τὴν μὴ ἀποχρῶσαν ἐμπέδωσιν, ᾗπερ ἡ δόξα ἐρείδεται, καθορῶντα καὶ τὸ ψεῦδος γινώσκοντα, οὐκ ἔτι ταύτῃ συγκατατίθεσθαι· ἐξ οὗπερ ἤδη κατανοεῖς τὰς δόξας εἶναι μεταβλητάς.

## ΤΛΔ΄.

Ἐντεῦθεν ἤδη δηλοῦται τὰς πιθανὰς δόξας δύνασθαι πολλάκις εἶναι ψευδεῖς.

Δείκν. Ἀληθοῦς γὰρ ὄντος τοῦ δύνασθαι εἶναι ψευδῆ τὴν πιθανὴν πρότασιν (ΤΖ΄.) ὀρθῶς καταφάσκεται τὰς πιθανὰς δόξας δύνασθαι εἶναι ψευδεῖς.

# ΚΕΦΑΛΑΙΟΝ Ε.

### Περὶ τοῦ ὀρθῶς τῇ Μελέτῃ ἐγχειρεῖν, καὶ δι' αὐτῆς τὴν ἀλήθειαν ἀνιχνεύειν.

## ΠΑΡΑΓΡΑΦΟΝ ΤΛΕ.

Διείληπται μέχρι τῆδε περὶ ἀληθείας βεβαίας καὶ πιθανῆς, νῦν δὲ εἰδικώτερον ἀποδεικτέον ἡμῖν ὅπως τὰς ἡμετέρας τοῦ νοὸς ἐνεργείας διευθύνειν ὀφείλομεν εἰς εὐχερεστέραν εὕρεσιν τῶν ἀληθειῶν καὶ τῆς σαφείας αὐτῶν διακεκριμένην ἐπίγνωσιν. Ταὐτὸν δ' εἰπεῖν ὅπως ὀφείλομεν μελετᾶν· μελετᾶν γὰρ λεγόμεθα ὁπηνίκα τὰ ἡμῶν νοήματα τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου ἀνηκόντως ἐφαρμόττωμεν καὶ οὕτω διευθύνωμεν, ὥστε ἀληθείας ἐξ ἀληθειῶν, ἐννοίας ἀμέλει ἐξ ἐννοιῶν, προτάσεις ἐκ προτάσεων ἐξάγειν, καὶ Μελέτην λέγομεν τὴν τῶν ἡμετέρων νοημάτων ἐφαρμογὴν εἰς τὴν τῆς ἀληθείας εὕρεσιν ἀνηκόντως τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου

## ΤΛϚ.

Ἐκ τῶν ἐννοιῶν, ἅσπερ τῇ κρίσει τοῦ λέγειν ἐμπεδοῦσθαι ἐνώπιον ἀποδείξομεν, αἱ προτάσεις αὐταὶ κατάγονται ὡς πορίσματα.

Α΄. Τὴν ὀρθὴν μέθοδον, καὶ τὴν μελέτην αὐτὴν τοῖς νόμοις τῆς ὀρθῆς μεθόδου προσηρμοσμένην, πλεῖστον διαφέρειν. Διαφέρει, φησίν, ὁ περιφανὴς Σύρβιος, ἡ μελέτη τῆς Μεθόδου, ὡς ἡ ὁδοιπορία τῆς ὁδοῦ. Ὅρα Φιλοσοφ. Λογ. σελ. 155.

Β΄. Ἐντεῦθεν κατανοεῖν ἔξεστι πάντα τὸν ὀρθῶς μελετᾶν ἱέμενον, τοῦτο ποιεῖν ὀφείλειν, τὸ τὰ διανοήματα αὐτοῦ τοῖς τῇ ὀρθῇ μεθόδῳ ἀπαιτου-

μέ-

μένοις, ἅπερ ἀνωτέρω (ΛΓ. καὶ ἑπομένῳ) κατηριθμήσαμεν ἀνηκόντως ξυθμίζειν, καὶ τοσῦτον εὐχερέςερον ἕκαςον μελετᾷν, ὅσον ἐντελέςερον τοῖς ἐνταλμασι τῆς ὀρθῆς μεθόδε παρακολεθεῖ.

Γ'. Συνάγεται ἐκ τέτων, τὲς ὀρθῶς καὶ εὐτυχῶς μελετᾷν ἐθέλοντας πλείες ὀφείλειν ἔχειν ἀληθείας διεγνωσμένας. Πῶς γὰρ ἂν ἀληθείας ἐξ ἀληθειῶν, καὶ προτάσεις ἐκ προτάσεως ἐξαγάγῃς μὴ πρότερον ἀληθείας καὶ προτάσεις ἐπεγνωκώς. Ὧδ' ἥτως ἐντεῦθεν κατανοείν σε, ἀνθ' ὅτε οἱ πρωτόπειροι, καὶ οἱ τῶν ἀληθειῶν, καὶ τῆς ὀρθῆς μεθόδε ἀνεπιςήμονες ἥπω εἰς τὸ μελετᾷν εἰσιν ἐπιτήδειοι.

## ΤΛΖ'.

### Ὁ εὐτυχῶς μελετᾷν ἐθέλων προσοχὴν πρὸ πάντων ἐπιφερέτω, καὶ νῦν τῶν προκριμάτων ἐλεύθερον.

Δεῖκν. Ἐπεὶ γὰρ ὁ εὐτυχῶς μελετᾷν ἐφιέμενος ἐξ ἀληθειῶν ἀληθείας σπεδάσει ἐξαγαγεῖν (ΤΛΕ') ἀληθείας δ' ἐξ ἀληθειῶν ἐξάγειν ὁ δύνασαι τὴν τῶν ἀληθειῶν συνάφειαν μὴ ἐγνωκώς. Ἑπόμενόν ἐςι, τὸν εὐτυχῶς μελετήσοντα, τὰς ἀληθείας, ᾗ εἰσι πρὸς ἀλλήλας συνημμένας θεωρεῖν. Ὁ δὲ τὰς ἀληθείας κατὰ τὴν αὐτῶν συνάφειαν γινώσκειν γλιχόμενος θατέραν τῆς ἑτέρας διακρίνειν ὀφείλει, καὶ τὰ ἐν μέρει ὁποιασῦν ἀληθείας καθ' ἕκαςα ἑαυτῷ παριςᾷν, καὶ ἑπομένως ὁ εὐτυχῶς ἀξιῶν μελετᾷν ὀφείλει τὰς ἀληθείας ἑαυτῷ παριςᾷν (ΟΕ.) Ἐπεὶ δὲ ἡ διακεκριμένη παράςασις διὰ προσοχῆς πορίζεται (ΟΘ'.) Ἕπεται τὸν ἐν τῷ μελετᾷν εὐτυχῶς προβαίνειν ἐθέλοντα συνεπιφέρειν τὴν προσήκεσαν προσοχήν. Τὰ προκρίματα εἰσι κρίσεις πλάνοι (ΤΛΓ'.) καὶ ἑπομένως ἐκ συγκεχυμένων παραςάσεων ἐγείρονται (ΤΛΔ'.) Ἐπεὶ δὲ αἱ συγκεχυμέναι παραςάσεις ταράττεσι τὴν προσοχὴν (κατὰ τὰς ἀρχὰς τῆς ψυχολογ:) ἡ δὲ προσοχὴ ἐν τῷ μελετᾷν. Τα μάλιςα ἀπαιτ᾽ται (κατὰ τὰ ἀποδοθέντα) πρόδηλον, ὅτι εἰς τὸ μελετᾷν ἀπαιτεῖται νῦς προκριμάτων ἐλεύθερος.

ΤΛΗ'.

## ΤΛΗ΄.

Ὁ μελετᾷν ἐθέλων ὀφείλει πρὸ πάντων λόγον ποιεῖσθαι τῶν ἀρχῶν, αἷς τισι τὰς λοιπὰς ἀληθείας ἐπιστηρίζει.

Δεικν. Ἐπεὶ γὰρ ὁ μελετήσων τὰ ἑαυτῦ διανοήματα κατὰ τὺς κανόνας τῆς ὀρθῆς μεθόδυ ῥυθμίζειν ὀφείλει (ΤΛΕ΄.), ἐν δὲ τοῖς κανόσι τῆς ὀρθῆς μεθόδυ τὸν ἄριστον ἐπέχει τόπον ὁ διδάσκων τὰς θέσεις πάσας, καὶ τὰ διανοήματα πάντα ἐξ ἀρχῶν μόνων βεβαίων ὀφείλειν παράγεσθαι. (ΛΓΒ΄.) Κατανοεῖται ἤδη τὸν μελετᾷν ἐθέλοντα ὀφείλειν πρὸ πάντων λόγον ποιεῖσθαι τῶν ἀρχῶν, αἷς τισι τὰς λοιπὰς ἀληθείας ἐπιστηρίζει.

## ΤΛΘ΄.

Ἐκ τύτυ ἐμπεδῦται τῇ μελέτῃ ἐξαιρέτως ἀπαιτεῖσθαι τὸ ἀκριβῶς ὁρίζεσθαι, τὸ περὶ ὗ μελετῶμεν, καὶ τὺς ὅρυς ἑκάστυς ὀρθῶς διορίζεσθαι.

Δεικν. Ἐπεὶ γὰρ ὁ μελετήσων περὶ ἀρχῆς τινὸς, ἐξ ἧς περ ἄρχεται τῇ αὐτῦ μελέτῃ ὀφείλει μέριμναν καταβάλλειν (ΤΛΗ΄.) Ἐπὶ δὲ τὰς ἀρχὰς τῶν ἀληθειῶν ἀνάγονται καὶ ὁρισμοὶ (ΡΚΘ΄. καὶ ΤΠΘ΄.) Εὔδηλον, ὅτι τὰ μάλιστα εἰς τὴν ἀλήθειαν ἀπαιτεῖται τὸ ἀκριβῶς εἰδοποιεῖσθαι τὺς ὁρισμὺς τῶν περὶ ἃ μελετᾷν ἀξιῦμεν. Ἐξ ὗ περ ἅμα καταφανὲς ἕκαστον τῶν ὅρων τῶν ἐν τῇ μελετωμένῃ ὕλῃ προσφερομένων ὀρθῶς δεῖν διορίζεσθαι. Μάλιστα τῆς ὀρθῆς μεθόδυ κανόνων τῦτ᾽ ἀπαιτύντα (ΛΓ΄.)

## ΤΜ΄.

Εἰ δὲ τῦ πράγματος, ὅπερ μελετᾷς ἀκριβῆ ὁρισμὸν ἐθέλεις διαμορφῦν, τὴν πεῖραν καὶ πολλὰ συμβάσματα εἰς ἐπικυρίαν προσλάμβανε, ἐξ ὧν περ

τῆς παραβολῆς, οἱ ὁρισμοὶ κατὰ τοὺς ἐν τῷ (ΤΟΖ.) παραδοθέντας κανόνας διαμορφοῦνται.

## ΤΜΑ'.

Ὀρθῶς γενομένου τοῦ ὁρισμοῦ τοῦ ὅπερ μελετᾷς πράγματος ἕκαστα τὰ γνωρίσματα, τὰ ἐν τῷ ὁρισμῷ ἀπαντῶντα αὖθις ὅριζε, καὶ οὕτως ἐξ ἑτέρων ὁρισμῶν τῶν μερικῶν γνωρισμάτων ἀνακύψουσι διαιρέσεις. (ΡΗ'. σχολ.) ὧνπερ τὴν ἀλήθειαν καὶ ὀρθότητα ἐκ τῶν ἀνωτέρω (ΡΠΔ'.) παραδοθέντων κανόνων διακρινεῖς.

## ΤΜΒ'.

Τοὺς ὁρισμοὺς οἰκείως τοῖς ἀνωτέρω (ΡΜΗ'.) ἐκτεθεῖσι κανόσι διαμορφώσας, εὐχερῶς ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ ἑτέρας θέσεις ἐξάξεις. Ταύτας δὲ τὰς ἐξ ἑνὸς ὁρισμοῦ ἀμέσως παραγομένας προτάσεις ἀξιώματα λέγομεν (ΣΚΒ'.) Τὰ δὲ ἀξιώματα ταῦτα τὰ μάλιστα χρησιμεύει, ὁπηνίκα δι' ὀρθῶν νοημάτων ἑτέρας ἀληθείας εὑρίσκειν ὀφείλεται.

## ΤΜΓ'.

Ὁσάκις ἀξιώματα ἀμέσως παραγαγεῖν ἐκ τῶν ὁρισμῶν βούλει.

Α'. Τὸ μέρος τοῦ ὁρισμοῦ, τὸ γένος δηλ. ἢ τὴν εἰδοποιὸν διαφορὰν παράλιπε καὶ ἀνακύψουσι προτάσεις ἀξιωματικαί.

„ *Παρ. χάρ.* Λάβε μοι τὸν τοῦ νόμου ὁρισμόν, ὁ νόμος ἐστὶ ψήφισμα τοῦ ἀνωτέρου ἐπιδεσμοῦν τὸν κατώτερον. Παράλιπε εἰ τὸ γένος καὶ ἀνακύψωσιν αἱ ἀξιωματικαὶ αὗται προτάσεις ἀμέσως ἐν τῷ ὁρισμῷ τοῦ νόμου περιεχόμεναι. α. Ὁ νόμος ὑποτίθησι τὸν ἀνώτερον. β. Ὁ νόμος ἐπιδεσμεύει. γ. Ὁ νόμος δίδοται ἀπὸ τοῦ ἀνωτέρου τῷ κατωτέρῳ. Παράλιπε τὴν διαφοράν, καὶ προελεύσεται ἡ θέσις αὕτη, ὁ νόμος ἐστὶ ψήφισμα.

Β'. Α'ξίωμα ἐξάγεται, εἴπερ τὸν ὁρισμὸν ἀντιςρέψειας, ὥςε τὸ κατηγορήμενον χώραν ὑποκειμένου, καὶ τὸ ὑποκείμενον χώραν κατηγορημένου ἐπέχειν.

„ Παρ. χάρ. Ο῞,τι ποτὲ ἐςὶ ψήφισμα τοῦ ἀνωτέρου ἐπιδέον τὸν κατώτερον νόμος ἐςίν.
„ Ε῎νθαπερ σχῇς ψήφισμα τοῦ ἀνωτέρου, ᾧτινι ἐπιδεσμοῦται ὁ κατώτερος, ἐκεῖ ἕξεις
„ τὸν νόμον.

Γ'. Α'ξιώματα ἀναφαίνονται, εἴπερ τοὺς καταφατικοὺς ὁρισμοὺς εἰς ἀποφατικὰς ἰσοδυναμούσας προτάσεις ἀντιςρέψειας.

„ Παρ. χάρ. α. Ε῎νθαπερ οὐ πάρεςι ψήφισμα τοῦ ἀνωτέρου, οὐδὲ νόμος πάρεςι. β. Ε῎νθα-
„ περ οὐκ ἔςιν ἀνώτερος οὐδένα τόπον ὁ νόμος ἔσχηκεν. γ. Ο῞που οὐδεὶς νόμος, ἐκεῖ οὐδεμία
„ ἐπιδέσμωσις. δ' Ο῾ μὴ δυνάμενος ἐπιδέειν ἕτερον, οὐδὲ δύναμιν ἔσχηκε νόμους ἐπε-
„ νεγκεῖν. Πολλῷ πλείω ἀξιώματα ἀφ' ἑαυτῶν προσενεχθήσονται, ἄγε τὴν προσήκου-
„ σαν προσοχὴν ἔχῃς, καὶ τὴν τῆς μελέτης ὀξύτητα, ὡς οἷόν τε ἐπιτείνῃς.

## ΥΜΔ'.

Τῷ αὐτῷ σχεδὸν τρόπῳ ἀφ' ἑνὸς ὁρισμοῦ ἐξάγεται καὶ αἰτήματα, ἅπερ εἰσὶ προτάσεις πρακτικαὶ, ἐκ μιᾶς προτάσεως ἐννοούμεναι (ΣΚΓ'.) τουτέςι προτάσεις ἐκτιθεῖσαι τὸν τρόπον, καθ' ὃν γίνεσθαί τι ὀφείλει, ἢ δύναται· (ΣΚ'.) Τὰ δὲ αἰτήματα οἰκειότατα παράγεται ἐκ τῶν γενητικῶν ὁρισμῶν, περὶ ὧν ὅρα (ΡΟΕ'.)

„ Λάβε μοι παρ. χάρ. Τὸν γενετικὸν ὁρισμὸν τοῦ οἴκτου, οἰκτός ἐςιν ἄχθος δεινὸν ἐκ τῆς
„ τοῦ ἑτέρου ἀτυχίας γενόμενον. Ε'ντεῦθεν ἐξέρχεται τουτὶ τὸ αἴτημα. Ο῾ τὸν ἕτερον
„ εἰς ἔλεος πρὸς ἑαυτὸν ἐγεῖραι βουλόμενος, ὀφείλει τῷ ἑτέρῳ τὴν αὐτοῦ ἀτυχίαν δηλο-
„ ποιῆσαι καὶ ἀθλιότητα.

## ΥΜΕ'.

Τοιαῦτα δὴ ἀξιώματα καὶ αἰτήματα ἀφ' ἑνὸς ὁρισμοῦ ἐξάγων δι' ἀμέσων συνεπειῶν (περὶ ὧν ὅρα ΤΙΒ'.) Ε'κ τῶν προτάσεων τούτων ἑτέρας προτάσεις ἐπάξεις, καὶ γεννήσονταί σοι πορίσματα (ΣΚϚ'.)

„ *Εἴπερ ἐκ τῦ ὁρισμῦ τῦ νόμυ παρ χάρ. τόδε τὸ ἀξίωμα διεμόρφωσας (ΥΜΓ΄.) Ὁ νό-*
„ *μος ὑποτίθησι τὸν ἀνώτερον, ἐκ τύτυ τῦ ἀξιώματος δι᾽ ἀμέσυ συνεπείας παράξεις τυ-*
„ *τὶ τὸ πόρισμα, ἄρα ὁ ἴσος τῷ ἴσῳ νόμον ἐπιθῆναι ὐ δύναται, ὡσαύτως ϗ, ἄρα*
„ *ὁ ἴσος τὸν ἴσον ἐπιδεσμεύειν ὐ δύναται.*

## ΥΜϚ΄.

Ἐκ τῆς συμβολῆς πολλῶν ὁρισμῶν καὶ προτάσεων τὰ θεωρήματα καὶ προβλήματα ἐκτελεῖται· περὶ ὧν (ΣΚΔ΄. καὶ ΣΚΕ΄.) Τὸν τοίνυν ἐθέλοντα θεωρήματα διὰ τῆς μελέτης εὑρίσκειν χρὴ ὁρισμὺς προκατασκευάζειν, ἐξ ὧν τῆς συζεύξεως πρότασίς τις γεννᾶται, ἐν ᾗπερ καταφάσκεταί τι μόνον, ἢ ἀποφάσκεται, καὶ ἑπομένως ἐςὶ θεωρητική (ΣΚ΄.)

„ *Ἵνα δὲ ὁ τῦ εὑρίσκειν τὰ θεωρήματα τρόπος σαφέςερος γένηται, λάβωμεν τὸν ὁρισμὸν*
„ *τῦ Θεῦ, ὅςτις ὁρίζεται πνεῦμα εἶναι ἀνεξάρτητον, καὶ τὸν ὁρισμὸν τῦ πνεύ-*
„ *ματος, ὅπερ ἐςὶν ὐσία νοητικὴ καὶ θελητική· ἐντεῦθεν νῦν ὕτως ἐπιχειρεῖν ἔξεςι.*

*Πᾶν πνεῦμα ἐςὶ νοητικὸν ϗ θελητικόν.*

*Ὁ Θεὸς ἐςὶ πνεῦμα.*

*Ἄρα ὁ Θεός ἐςι νοητικὸς ϗ θελητικός.*

„ *Εἰ δὲ ὁρίσειας τίποτ᾽ ἐςὶ τὸ νοητικὸν, ϗ γνοίης νοητικὸν εἶναι τὸν διακεκριμένως*
„ *τὰ πράγματα ἑαυτῷ παριςῶντα, ἀνακύπτει ἤδη ἑτέρα πρότασις αὕτη.*
„ Ὁ Θεὸς τὰ πράγματα διακεκριμένως ἑαυτῷ παριςᾷ
„ Κἂν ὕτω συνεχῶς τὴν μελέτην ἐπιτελέσειῃ, καινὰς ἀεὶ ὁρισμὺς ὡς ἐπικυρίαν λαμβάνων,
„ εἰς τοιαύτας τέλος προτάσεις περιπεσῇ δι᾽ ὀρθῶν διανοημάτων ἐπιφορᾶς, ὁποίας ὐδέ-
„ ποτ᾽ ἂν προσενεγκεῖν ἤλπισας. Ἀπόπειραν ποίησαι, ϗ ὐκ ἄνευ ὑπερβαλλύσης κα-
„ τὰ ψυχὴν ἡδονῆς γνώσῃ τὴν ὀρθὴν ϗ κατὰ κανόνας διανόησιν, ϗ ἐπιμελῶς τὸν συλ-
„ λογισμὸν ὐ μικρὸν εἶναι φάρμακον εἰς τὴν εὕρεσιν τῆς ἀληθείας.

## ΥΜΖ΄.

Τῦ προβλήματος ὄντος προτάσεως πρακτικῆς ἀποδεικτικῆς (ΣΚΕ΄.) Εὐχερῶς κατανοεῖται τὴν τοιαύτην πρότασιν τῷ αὐτῷ εὑρίσκεσθαι τρόπῳ καθ᾽ ὃν τὸ θεώρημα ἀνιχνεύεται· δύο ἀμέλει ἢ πλείυς ὁρισμὺς συμπαραβάλλειν ἀλλήλοις, ἐκ τῆς τύτων συμβολῆς παράξεις τὴν πρακτικὴν πρότασιν.

„ Παρ.

,, Παρ. χάρ. *Ἐπεὶ ὁρίσας τὰ προκρίματα, ϗ ἀναπτύξας τίνος ἂν ᾖ, τὴν θέ-*
,, *λησιν ἐπανορθῶν, ῥᾷστα διὰ τῆς μελέτης, ὡς ἐπικαιρίαν προσλαμβανομένων ϗ ἄλλως*
,, *ἤδη προεγνωσμένων προτάσεων. ἡ πρακτικὴ αὕτη πρότασις ἀνακύψει, ἡ θέλησις δι-*
,, *ορθοῦται διὰ τῆς τῶν προκριμάτων ἐξαλείψεως. Ἐνίοτε, ὥσπερ ἀνωτέρω ὑπεμνήσαμεν*
,, *(ΣΚΕ') Τὸ πρόβλημα ἀντὶ ζητήματος λαμβάνεται, ἐν ᾧ πρᾶξίς τις περιέχεται,*
,, *πραχθησομένη· τὸν τρόπον δὲ δεικνύων καθ' ὃν πράγεται πρᾶξίς τις, ὅποις ἂν ἔ-*
,, *τι λύοι τὸ πρόβλημα (ΣΚΕ'.) Εἰς εὐτυχῆ δὲ ϗ ὀρθὴν τοῦ προβλήματος λύσιν ἀ-*
,, *παιτεῖται τό, τὰς αἰτίας τοῦ πραγομένου πράγματος ἐπεγνωσμένας ἔχειν. Ἔστω*
,, *πρόβλημα, οἶκτον ἑτέρου ἀνεγεῖραι, ὅπερ ἂν τὴν γένεσιν ϗ τὰς αἰτίας ἔγνως τοῦ*
,, *οἴκτου, ῥᾷστα λυθήσεταί σοι τὸ πρόβλημα. Ὁ οἶκτος ἀμέλει γεννᾶται ἐξ ἀγάπης·*
,, *οἶκτον ἂν τῷ ἑτέρῳ ἢ πρὸς σέ, ἢ πρὸς ἄλλον τινὰ ἀνεγεῖραι βουλόμενος ἐπίδειξον πρό-*
,, *τερον, ἵνα ὁ ἕτερος ἀγαπήσῃ· τότε δ' ἐπιτυχὼν τῷ ἑτέρῳ, ὅπερ ἐθέλεις ἀνεγεῖραι*
,, *τὸν οἶκτον, τὴν ἀθλιότητα ἢ ἀτυχίαν τὴν σὴν δηλοποίει· ϗ ὑπεγερθήσεται ἐκείνῳ*
,, *ἄχθος διὰ τὴν ἀτυχίαν τὴν σὴν οἶκτος καλούμενον.*

## ΤΜΗ'.

Τῶν θέσεων δὴ τούτων διὰ τῆς μελέτης εὑρεθεισῶν δι' ὀρθῆς τῶν διανοημάτων συναφείας, οὕτως αὐτὰς συζεύξεις, ὥστε κατὰ τὴν ἀπόδειξιν, οἰκείως ἀμέλει, τοῖς ἐν τῷ (ΤΥΕ'.) Παραδοθεῖσι κανόσιν, ἁρμοδίως πάντα ἐφαρμόττειν. Ἐπεὶ δὲ ὁ τρόπος τῆς τῶν συλλογισμῶν ἤτοι διανοημάτων συναφείας, ἢ ἀναλυτικός ἐστιν, ἢ συνθετικὸς (ΤΥΕ'.). Ἐντεῦθεν ἡ μελέτη διττὴ ἀναφαίνεται· ἀναλυτικὴ καὶ συνθετική. Περὶ ἧς πλείω ἐνώπιον.

## ΤΜΘ'.

Ταῦτα μὲν περὶ μελέτης εἰπεῖν ἀπόχρη τῷ προκειμένῳ σκοπῷ· πλείω δ' ἂν προσθείην, ἀλλ' ἐπείπερ μετ' οὐ πολὺ περὶ τέχνης τοῦ μελετᾷν εἰδικὸν ὑπόμνημα Ἀκαδημιακὸν ἐκδοῦναι προεθυμήθην· ὅσα γ' ἐνταῦθα παραλείπεται, ἐν ἐκείνῳ ἀναπληρώσω.

,, *Ἵνα δὲ οἱ περὶ μελέτης Κανόνες σαφέστερον νοηθῶσι, ϗ ὀρθότερον ἐφαρμοσθῶσι, πα-*
,, *ράδειγμα τῆς μελέτης ὑποβάλλω καταφανές.* Θῶμεν παρ. χάρ. *Ἐθέλων σε πραγ-*
,, *ματεύεσθαι περὶ τῶν τοῦ φίλου χαρακτήρων· ϗ τοῦτο ἔτι ποιῶν, ὥστε πάντας τοὺς χα-*
,, *ρακ-*

,, ἑκατέρας ἰδίᾳ μελέτῃ τῶν βίβλων τινὸς ἀποτιθεμένων ἰχνῶν. Τότε δὲ κατὰ τοὺς ,, κανόνας τῆς μελέτης οὕτω προβαίνει.

,, §. Α. Ἐπιμελῶς σκέψαι περὶ τοῦ ὁρισμοῦ τοῦ φίλου κατὰ τὸν ὑποτεθέντα κανόνα (Τ.ΙΘ.) ,, Ὁρισμὸν δὲ ἡ ἔννοια διακεκριμένη τοῦ φίλου προστάσσει. τὰ ἠθικὰ συμβάσματα ἐν ,, οἷς κεῖνται τοῖς φίλοις, ἀκριβῶς θεωρεῖ, καὶ ταῦτα συμβάλλων πρὸς ἄλληλα, ὡς ἐξ ,, αὐτῶν κατὰ τοὺς ἐν τῷ (ΤΟΖ.) ἐκτεθέντας κανόνας τὴν καθόλου ἔννοιαν τοῦ φίλου ἀ- ,, τυρῆσθαι. Ἀνακόντας δὲ τοῖς παραδοθεῖσι κανόσι, μελετῶσιν ὁρισμὸς τοῦ φίλου ,, παραχθήσεταί σοι ὧδε.

## Φίλος ἐστὶ πρόσωπον ἡμᾶς ἀγαπῶν.

,, §. Β. Τοῦ ὁρισμοῦ δὲ τοῦ φίλου οὕτω παρασκευασθέντος, ἀπαντῶσι τοῖς ἠθικοῖς γνωρίσ- ,, μασι τοῖς ἐν τῷ ὁρισμῷ τῷδε πρόσεχε, κατὰ τὸν κανόνα τὸν ἐν τῷ (ΥΜΓ.) ἐκ- ,, τεθέντα, καὶ ἑπομένως τὴν τῆς ἀγάπης ἔννοιαν τὰ μάλιστα διερεύνα· καὶ τίνος ἐστὶ τὸ ,, ἀγαπᾶν ἕτερον ἀνάπτυσσε. Ἔστι δὲ τὸ ἀγαπᾶν ἕτερον οὐδὲν ἄλλο, ἢ τὸ ἐκ τῆς τοῦ ,, ἑτέρου εὐτυχίας ἡδονὴν λαμβάνειν.

,, §. Γ. Ἐκ τούτων τῶν ὁρισμῶν ἀξιώματα παράγεις κατὰ τὸ (ΥΜΨ.) Ῥέουσι δὲ ἐκ τοῦ ,, ὁρισμοῦ τοῦ φίλου τὰ ἀξιώματα ταῦτα. (α.) Ὁ φίλος τὸν ἕτερον ἀγαπᾷ. (β.) Ὁ τὸν ,, ἕτερον μὴ ἀγαπῶν, οὐκ ἔστι φίλος. (γ.) Ὁ διαμωδῶς μὴ τὸ ἀγαπᾶν τὸν ἕτερον, οὗτος ,, ἐπιδείκνυται εἶναι τῷ ἑτέρῳ φίλος. (δ.) Ἔνθα οὐδεμία ἐστὶν ἀγάπη, οὐδεμία ἐστὶ φιλία. (ε.) ,, Ἐν ᾧ διαμένει ἡ ἀγάπη, ἐν τοσούτῳ καὶ ἡ φιλία. (ς.) Ὁ ἀποτελῶν τὸν ἕτερον ἀγαπᾶν ,, αὐτόν, οὗτος τὸν ἕτερον φίλον ἑαυτῷ ἀπεργάζεται. (ζ.) Τὸ τῷ ἑτέρῳ ἐνεργοῦν ἀγά- ,, πην, τὸν ἕτερον αὐτῷ ἀποδίδωσι φίλον. (η.) Πᾶν ὅ,τι κωλύει τὴν ἀγάπην, ἀναι- ,, ρεῖ τὴν φιλίαν.

,, §. Δ. Ἐκ τοῦ ὁρισμοῦ τοῦ ἀγαπᾶν παράξεις τὰ ἀξιώματα τάδε. (Α.) Ὁ τὸν ἕτερον ἀγα- ,, πῶν τῇ τοῦ ἑτέρου ἥδεται εὐτυχίᾳ. (Β.) Ὁ ἐπιδεσμωδὴς τῷ ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας ,, ἡδονὴν λαμβάνειν ἐπιδείκνυται τῷ τὸν ἕτερον ἀγαπᾶν. (Γ.) Πᾶν ὅ,τι ἡμᾶς διακωλύει ,, ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας ἡδονὴν λαμβάνειν, διακωλύεται τὸν ἕτερον ἀγαπᾶν. (Δ.) ,, Τὸ ἡδονὴν προάγον ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας, προάγει τὴν ἀγάπην. (Ε.) Τὸ ,, κωλῦον τὴν ἡδονὴν ἐκ τῆς τοῦ ἑτέρου εὐτυχίας, κωλύει τὴν ἀγάπην.

,, §. Ε. Ἐκ τούτων ἤδη τῶν ὁρισμῶν ἀλλήλοις συμβαλλομένων τὸ θεώρημα ἀποτελεῖται ,, τοδί. Ὁ φίλος χαίρει τῇ τοῦ ἑτέρου εὐτυχίᾳ.

,, *Δεῖξ.* Ὁ τὸν ἕτερον ἀγαπῶν τῇ τοῦ ἑτέρου ἥδεται εὐτυχίᾳ. (§. Δ. ἀξίωμα α.) Ἀλλ' ὁ ,, φίλος τὸν ἕτερον ἀγαπᾷ (§. Γ. ἀξίωμα α.) Ἄρα ὁ φίλος τῇ τοῦ ἑτέρου χαίρει ,, εὐτυχίᾳ.

,, §. ς. Ἐκ τούτου δὲ τοῦ θεωρήματος ἄνευ πολλῶν διανοημάτων, τὰ ἑπόμενα παράξεις ,, πορίσματα. α. Ἄρα ὁ φίλος οὐκ ἄχθεται τοῦ ἀγαπωμένου προσώπου εὐτυχοῦς ὄντος. ,, β. Ἄρα ὁ φίλος, τοῦ ἀγαπωμένου προσώπου δυστυχοῦς ὄντος, ἄχθεται.

,, §. Ζ.

„ §. Ζ΄. Ἐξ αἰτίας τῶν δὲ τῶν πορισμάτων ὑπάρχεταί σοι τὸν ἀχθόμενον ἐπὶ τῇ τοῦ ἑ-
„ τέρου εὐτυχίᾳ λέγεσθαι φθονερόν. Καὶ τὸν ἀχθόμενον ἐπὶ τῇ τοῦ ἑτέρου ἀτυχίᾳ οἰκτί-
„ ρμονα λέγεσθαι.

„ §. Η΄. Ἐντεῦθεν αἱ προτάσεις αὗται, ἤτοι θεωρήματα ἀναφαίνονταί σοι αὐτόματα.
„ Θεώρημα Α΄. ὁ φίλος οὐκ ἔστι φθονερός. Δεῖξις· ὁ ἀχθόμενος ἐπὶ τῇ τοῦ ἑτέρου εὐτυ-
„ χίᾳ ἐστὶ φθονερός (§. ζ΄) Ἀλλ' ὁ φίλος οὐκ ἄχθεται ἐπὶ τῇ τοῦ ἑτέρου, ἤτοι τοῦ ἀγα-
„ πωμένου προσώπου εὐτυχίᾳ (§. ς΄. πόρισμα α΄) Ἄρα ὁ φίλος οὐκ ἔστι φθονερός. Θε-
„ ώρημα Β΄. ὁ φίλος οἴκτῳ κάμπτεται τοῦ ἀγαπωμένου προσώπου. Δεῖξις· ὁ ἀχθόμε-
„ νος ἐπὶ τῇ τοῦ ἑτέρου ἀτυχίᾳ, οἴκτῳ κάμπτεται τῷ τοῦ ἑτέρου. (§. ζ΄.) Ἀλλ' ὁ φίλος
„ ἄχθεται ἐπὶ τῇ τοῦ ἀγαπωμένου προσώπου ἀτυχίᾳ (§. ς΄. πορισ. Β΄) Ἄρα ὁ φίλος
„ οἴκτῳ κάμπτεται τῷ τοῦ ἀγαπωμένου προσώπου.

„ §. Θ΄. Κατὰ ἐντεῦθεν ἑξῆς ταῦθις πορίσματα (Α΄.) Ἄρα ὁ βασκανίᾳ κρατούμενος οὐκ ἔστιν
„ ἐπιτήδειος εἰς φιλίας ἐπίτευξιν. (Β΄.) Ἄρα ὁ μὴ οὐδὲν οἰκτείρων τὸν ἕτερον, καὶ ἐκ τῆς
„ ἀτυχίας, ἧ δύναιτο μὴ ἐθέλων ἐξαρπάζειν αὐτόν, οὐκ ἂν ἑαυτοῦ εἴη φίλος.

„ §. Ι΄. Εἴπερ ἐν τῷ μελετᾶν περαιτέρω προβαίνων ἀξιώσαις, καὶ ἀδιακῶς ἀναπτύσσειν τί-
„ ποτ' ἐστὶ τὸ χαίρειν ἐπὶ τῇ εὐτυχίᾳ τοῦ ἄλλου, πλεῖσται προτάσεις αὐτομάτως ἀναφα-
„ νήσονται, οὐδέ ποτ' ἂν ὑποληφθῆναι, ἐντεῦθέν σοι παραχθήσεται· ἀπόπειραν, ὡς δοκῶ,
„ ποιησώμεθα, καὶ τίποτ' ἐστὶν ἡ χαρά, ἤτοι ἡ ἡδονή, τίς ἡ εὐτυχία ἀναπτύξομεν.

„ §. ΙΑ΄. Ἡδονὴ ἤτοι χαρά ἐστιν, αἴσθησις τελειότητος. Εὐτυχία δὲ ἐστι στάσις μονί-
„ μου χαρᾶς.

„ §. ΙΒ΄. Ἐντεῦθεν τὰ ἀξιώματα ταῦτα ἐξάγονται. (α΄) Ὁ ἐπί τινι πράγματι χαίρων,
„ τοῦ πράγματος, ὅπερ ἥδεται, ὥσπερ εὐτυχῆς, ἤτοι ἀγαθοῦ αἰσθάνεται καὶ ἑαυτῷ πα-
„ ρισᾷ. (Β΄.) Ὁ ἐπιδεσμευθεὶς τῷ προάγειν τοῦ ἑτέρου αἴσθησιν τελειότητος, ἐπιδέδε-
„ ται ἔτι προάγειν τὴν τοῦ ἑτέρου χαράν. (γ΄.) Τὸ ἐπιτάττον ἡμῖν αἴσθησιν τελειότητος
„ τοῦ ἑτέρου προάγειν, ἐπιτάττει προάγειν τὴν τοῦ ἑτέρου χαράν.

„ §. ΙΓ΄. Ἐκ τοῦ ὁρισμοῦ τῆς εὐτυχίας παράγεται τὰ ἐφ' ἑξῆς ἀξιώματα (α΄.) Ὁ χαί-
„ ρων ἐπὶ τῇ τοῦ ἑτέρου εὐτυχίᾳ, χαίρει τῇ τοῦ ἑτέρου στάσει ἐν μονίμῳ χαρᾷ. (β΄.) Ὁ
„ προάγων τὴν τοῦ ἑτέρου στάσιν, ἐν μονίμῳ χαρᾷ, προάγει τὴν τοῦ ἑτέρου εὐδαιμονίαν.
„ (γ΄.) Ὁ ἐπιτάττων ἡμῖν τὴν τοῦ ἑτέρου στάσιν ἐν μονίμῳ χαρᾷ προάγειν, ἐπιτάττει
„ τὴν τοῦ ἑτέρου εὐδαιμονίαν παράγειν. (δ΄.) Ὁ ἐπιδεσμευθεὶς τῷ προάγειν τῷ ἑτέρῳ τὴν
„ στάσιν τῆς μονίμου χαρᾶς, ἐπιδέδεται τὴν τοῦ ἑτέρου εὐδαιμονίαν προάγειν.

„ §. ΙΔ΄. Τῶν ὁρισμῶν τούτων τοῖς ἀνωτέρω ὁρισμοῖς, ἢ ἑτέραις προτάσεσι παραβαλλομέ-
„ νων νέα παραχθήσονται θεωρήματα· Θεώρ. Α΄. Ὁ φίλος τὴν τοῦ ἑτέρου εὐδαιμονίαν ἑαυ-
„ τῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν. Δεῖξ. Ὁ χαίρων ἐπί τινι πράγματι, τὸ ᾧ ἐπιχαί-
„ ρει πρᾶγμα, ἑαυτῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν. (§. ιβ΄. ἀξίωμα α΄.) Ἀλλ' ὁ φί-
„ λος ἐπὶ τῇ εὐδαιμονίᾳ ἥδεται τοῦ ἑτέρου (§. ι΄.) Ἄρα ὁ φίλος τὴν τοῦ ἑτέρου εὐδαιμονίαν
„ ἑαυτῷ παρίστησιν, ὥσπερ τι ἀγαθόν, Θεώρ. Β΄. Ὁ φίλος χαίρει τῇ τοῦ ἑτέρου στάσει
„ ἐν μονίμῳ χαρᾷ. Δείξ. Ὁ χαίρων ἐπὶ τῇ τοῦ ἑτέρου εὐδαιμονίᾳ, χαίρει καὶ τῇ τοῦ ἑτέρου
„ στάσει ἐν μονίμῳ χαρᾷ (§. ιγ΄. ἀξίωμα Α΄.) Ἀλλ' ὁ φίλος χαίρει ἐπὶ τῇ τοῦ ἑτέρου

„ εὐδαι-

,, εὐδαιμονίᾳ (§. ι.) Ἄρα ὁ φίλος χαίρει ἐπὶ τῇ τῦ ἑτέρυ σάσει ἐν μονίμῳ χαρᾷ. Θεώρη-
,, μα Γ. Ὁ φίλος τὴν τῦ ἑτέρυ μόνιμον χαρὰν ὥσπερ τι ἀγαθὸν ἑαυτῷ παρίςησι
,, Δεῖξ. Ὁ χαίρων ἐπί τινι πράγματι, ὥσπερ τι ἀγαθὸν ἐκεῖνο παρίςησιν ἑαυτῷ (§.
,, ιβ΄. ἀξίωμ. Α.) Ἀλλ᾽ ὁ φίλος τῇ τῦ ἑτέρυ χαίρει μονίμῳ χαρᾷ (κατὰ τὸ προ-
,, λαβὸν θεώρημα) ἄρα ὁ φίλος τὴν τῦ ἑτέρυ μονιμὸν χαρὰν, ὥσπερ ἀγαθὸν τι ἑαυτῷ
,, παρίςησι.

,, §. ΙΕ΄. Τύτων δὲ τῶν θεωρημάτων διὰ τῆς μελέτης παραχθέντων, ὁ τῆς ὀρέξεως νό-
,, μος μάλιςα ἀπαντήσει σοι, καθ᾽ ὅν περ ἡ ψυχὴ παντὸς τυτὶ ὀρέγεται, καὶ προά-
,, γειν σπυδάζει, ὅπερ ἑαυτῇ ὥσπερ ἀγαθόν τι παρίςησι.

,, §. Ις΄. Ὅθεν καιναὶ ἤδη προτάσεις προέρχονται αἱ ἑπόμεναι. Θεώρ. Α΄ Ὁ φίλος τῆς
,, τῦ ἑτέρυ εὐδαιμονίας, καὶ ἑπομένως τῆς τῦ ἑτέρυ μονίμυ χαρᾶς ὀρέγεται, καὶ προά-
,, γειν σπυδάζει. Δεῖξ. Ὅ,τι δήποτῦν ἡμῖν, ὥσπερ τι ἀγαθὸν παρίςαμεν, τύτυ ὀρε-
,, γόμεθα, καὶ προάγειν σπυδάζομεν (§. ιε.) Ἀλλ. ὁ φίλος τὴν τῦ ἑτέρυ εὐδαιμονίαν καὶ
,, ςάσιν τῆς μονίμυ χαρᾶς, ὥσπερ ἀγαθὸν ἑαυτῷ παρίςησι (§. ιδ΄. Θεωρ. β΄ καὶ Γ΄.)
,, Ἄρα ὁ φίλος τῆς τῦ ἑτέρυ εὐδαιμονίας καὶ ἑπομένως τῆς μονίμυ χαρᾶς ὀρέγεται καὶ
,, προάγειν σπυδάζει.

,, §. ΙΖ΄. Ἐξ ὧ τὰ πορίσματα ταῦτα αὐτόματα ἀνακύπτει. α. Ἄρα ὁ φίλος τυτὶ πᾶν
,, φυλάττεται τῷ ἑτέρῳ μὴ ἐνοχλεῖν. β. Ἄρα ὁ φίλος ὐδεμίαν ἀφορμὴν παραλείπει,
,, δι᾽ ἧς περ τὴν ἡδονὴν καὶ χαρὰν τῦ ἀγαπωμένυ προσώπυ προάγειν δυνατά.

,, §. ΙΗ΄. Προβαίνων δὲ περαιτέρω καὶ τὴν ἔννοιαν τῆς μονίμυ χαρᾶς ἀναπτύσσων, εὑρή-
,, σεις μόνιμον εἶναι χαρὰν, ἡδονὴν ἐξοχωτέραν, ἐκ τῆς κτήσεως τῶν ἀληθῶν τελειο-
,, τήτων γιγνομένην.

,, §. ΙΘ΄. Ἐντεῦθεν ῥεῖ τὸ ἀξίωμα τόδε. Ὁ τὴν τῦ ἑτέρυ μόνιμον προάγων χαρὰν,
,, προάγει τὰς τῦ ἑτέρυ τελειότητας.

,, §. Κ΄. Ἰδὲ νῦν καινὴ πρότασις ἐκ τύτων παραγομένη.

,, Θεώρημα. Ὁ φίλος τὰς τῦ ἑτέρυ τελειότητας προάγει.

,, Δεῖξ. Ὁ τὴν τῦ ἑτέρυ μόνιμον προάγων χαρὰν, προάγει τὰς τῦ ἑτέρυ τελειότητας
,, (§. ιθ΄.) Ἀλλ. ὁ φίλος τὴν τῦ ἑτέρυ μόνιμον προάγει χαρὰν (§. ις΄.) Ἄρα ὁ φί-
,, λος τὰς τῦ ἑτέρυ τελειότητας προάγει.

,, §. ΚΑ΄. Ἐνταῦθεν ὑπάρχεται σοι ὁ νόμος τῆς φύσεως τῇ προτάσει ταύτῃ πληρούμε-
,, νος. Τὰς σὰς καὶ τὰς τῶν ἄλλων τελειότητας δίωκε· κἀντεῦθεν αὐτομάτως αἱ ἐφεξῆς
,, προτάσεις προέρχονται.

,, §. ΚΒ΄ Ἄρα ὁ φίλος φυλάττει τὸν νόμον τῆς φύσεως (§. Κ΄. καὶ ΚΑ΄.) Ἄρα ἡμᾶς
,, ὀφείλομεν τὴν φιλίαν περιποιεῖσθαι. Ἄρα ὁ τὰς ἀνθρώπυς ἐχθραίνων αὐτῷ ἀντίκειται
,, ἐντελῶς τῷ νόμῳ τῆς φύσεως. Ἄρα τῇ θείᾳ θελήσει σύμφωνόν ἐςι τὸ τοῖς ἑτέροις
,, γίνεσθαι φίλος.

,, Προτάσεις ἐκ τύτων ἔτι, τὸν ἀριθμὸν νικῶσαι, διὰ τῆς μελέτης παράγεσθαι δύνανται,
,, τύτυ ἀεὶ παρατηρυμένυ, τὰς ἀπαιτύσας ἐννοίας ἀεὶ ὁρίζεσθαι. Καὶ τὰς ὑπεπομέ-

,, νας

,, ναις προτάσεις ταῖς ἡγημένως ὀρθῶς συνάπτεσθαι. Τὰ δ' ἐνταῦθα ἔτι σημειωθῆ-
,, ναι δυνάμενα, ἡ ὑπόθεσις αὕτη, πολλάκις, περὶ ἧς τὴν μελέτην ποιῆς, ϗ αἱ λοι-
,, παὶ τῆς ὑποθέσεως περιστάσεις διδάξουσί σε κατὰ τὴν διαφορὰν τοῦ μελετωμένου πράγ-
,, ματος, διάφορος πολλάκις ἀπαιτεῖται ἡ τάξις, ϗ ἑπομένως ἄλλος τις τῶν διανοημά-
,, των πρὸς τὴν τάξιν σχηματισμός.

# ΚΕΦΑΛΑΙΟΝ ϛ.

ΠΕΡΙ

## ΤΟΥ ΤΡΟΠΟΥ ΤΟΥ ΑΝΑΓΙΝΩΣΚΕΙΝ ΚΑΙ ΔΙΑΚΡΙΝΕΙΝ ΤΑΣ ΒΙΒΛΟΥΣ.

### ΠΑΡΑΓΡΑΦΟΝ ΥΝ.

Ὥσπερ εἰς τόδε παραδέδοται πρῶτον ἡ τῆς ἀληθείας φύσις ἐν γένει (Κεφ. Α.) εἶτα ἡ τῆς ἀληθείας διαφορὰ (Κεφ. Γ.) καὶ μετὰ ταῦτα εἰδικώτερος τρόπος τῇ ἀνιχνεύεσθαι ταύτην (Κεφ. Ε.), οὕτως ἐνταῦθα ἐνστησόμεθα τὸν λόγον, καθ᾽ ὃν εἰς γνῶσιν τῶν ἀληθειῶν τῶν παρ᾽ ἄλλων εὑρημένων ἐρχόμεθα.

„ Οὐ δυνάμεθα δήπου ἀφ᾽ ἑαυτῶν τὰ πάντα εὑρεῖν, ὅθεν κ᾽ τὰ παρ᾽ ἄλλοις διανοηθέντα
„ παραλαμβάνειν χρεών, κ᾽ διὰ τῶν ἄλλων τῶν πολλὰς ἤδη ἀληθείας εὑρόντων εἰς γνῶ-
„ σιν ἀνιέναι τῶν χρησίμων ἀληθειῶν. Σαφέστατα γὰρ ὁ περίφημος Ὀλμάνος, φησὶν
„ ἐν τῇ Λογ. φιλοσ. σελ. 354. Ὁ μηδὲν προσδέχεσθαι κ᾽ εἰς τὰς οἰκείας χρήσεις
„ μεταφέρειν ἐθέλων, μὴ τὸ οἰκεῖα φιλοπονίᾳ πρῶτον ἀποκαλυφθὲν, οὗτος τὸ αὐ-
„ τὸ ποιήσειεν ἄτοπον, ὥσπερ ἂν εἴτις μηδ᾽ ἐσθῆσι, μηδ᾽ ὑποδήμασι, μήτε οἰκοδομαῖς, μήτε
„ τῷ ἄρτῳ τέλος αὐτῷ χρῆσθαι πρότερον κ᾽ ἀπολαύειν ἐθέλοι, μὴ τὴν τέχνην τοῦ ταῦ-
„ τα πάντα ἀπεργάζεσθαι κ᾽ προπαρασκευάζειν οἰκείῳ πόνῳ, κ᾽ χωρὶς τινος ἄλλων δι-
„ δασκαλίας εὑρίσκειν ἐκμάθοι.

## ΥΝΑ΄.

Δέον ἦν εἰς τὴν τῶν ἀληθειῶν γνῶσιν ἐλθεῖν τῶν παρ' ἄλλοις εὑρεθεισῶν (ΥΝ΄.) αἱ δὲ τῶν ἄλλων ἀλήθειαι περιέχονται ἐν ταῖς βίβλοις, τῆς Λογικῆς ἔργον ἐςὶ Κανόνας καὶ προφυλακὰς παραδῦναι, δι' ὧν τὰ τῶν ἄλλων συγγράμματα διακρίνειν δυνάμεθα,

## ΥΝΒ΄.

Αἱ βίβλοι περιέχουσιν ἤτοι γενόμενα, ἢ δόγματα τὐτέςι καθόλη θέσεις. Αἱ μὲν Ἱςορικαὶ λέγονται, ἐν αἷς προτάσεις μερικαι περιέχονται, αἱ δὲ καλῦνται Δογματικαί, ὥσθ' ὕτω τα συγγράμματα πάντα ὀρθῶς διαιρεῖσθαι εἰς Δογματικά, και Ἱςορικά.

## ΥΝΓ΄.

Ἐπεὶ δὲ ἐν τῷ Δογματικῷ Συγγράμματι τὰ τῶν ἄλλων δόγματα μόνον ἐπαριθμῦνται, ἐνίοτε δὲ και τὰ ἐπιχειρήματα διαλαμβάνεται, οἷς περ ἄλλοι χρῶνται, ἤτοι δόγματα ἀλλήλοις συςηματικῇ τάξει συνάπτονται, καινὴ ἐντεῦθεν ἀνακύπτει τῆς δογματικῆς βίβλυ διαίρεσις. Ἡ μὲν γὰρ δογματικὴ Ἱςορικὴ, ἡ δὲ δογματικὴ ἐπιςημονικὴ βίβλος λέγεται.

„ *Τάξει δ' ἐνταῦθα τοιαύτῃ προβαίνομεν. α΄. Ἐκτιθέντες, τίνες προφυλακαὶ περὶ τὴν ἀνάγνωσιν ϗ διάκρισιν τῆς Ἱςορικῆς βίβλυ παρατηρητέαι εἰσίν. β΄. Ἀριθμῦντες τὺς κανόνας, ὥσπερ ἀνάγκη εἰδέναι, εἰς τὴν τῶν δογματικῶν βίβλων ἀνάγνωσίν τε, καὶ βάσανον.*

## ΥΝΔ΄.

Ο Γενικὸς Κανὼν, ὃς ἐν ἁπάσῃ ἁπλῶς ὁποιωνδηποτοῦν συγγραμμάτων ἀναγνώσει καὶ διακρίσει παρατηρεῖσθαι ὀφείλει, ταύτῃ τῇ προτάσει ἀποπληροῦται. Ὁ ἀναγνωσόμενος καὶ διακρίνων σύγγραμμά τινος τὰς αὐτὰς ἐννοίας τοῖς τοῦ συγγραφέως λόγοις συζευγνύτω, ἅσπερ ὁ συγγραφεὺς τοῖς αὐτοῖς συζευγνύναι ἠξίωσε.

Δεῖξ. Ὁ γὰρ σύγγραμμά τι ἀναγινώσκειν ἐθέλων, ἵνα ἐπὶ τὴν ἀλήθειαν τὴν προεχομένην ἐκείνῳ ἀφίκηται, ὀφείλει τὸ σύγγραμμα πάντως κατανοεῖν. Ἐπεὶ δὲ τὸν τοῦ συγγραφέως νοῦν ξυνίεμεν, τὰς αὐτὰς ἐννοίας τοῖς τοῦ συγγραφέως λόγοις, ἅσπερ ἐκεῖνος συζεῦξαι τούτοις ἠθέλησε συζευγνῦντες (ΡΚΒ΄.) Ἑπόμενόν ἐστιν, ὅτι ὁ ἀναγινώσκων καὶ διακρίνων, τότε τοῦ τοῦ ἑτέρου νοὸς συνιέναι λέγεται, ἡνίκα τὰς αὐτὰς ἐννοίας τοῖς ἐκείνου συζώγῃ ῥήμασιν, ἅσπερ συζώγνυσιν ὁ ἕτερος τοῖς αὐτοῖς.

## ΥΝΕ΄.

Ἐντεῦθεν γενικῶς ἕπεται, ἐν τῇ ἀναγνώσει καὶ διακρίσει βίβλου τινὸς ἐπιμελῶς προσεκτέον εἶναι, τοῖς ὁρισμοῖς δι᾽ ὧνπερ ὁ συγγραφεὺς τὰς προσληφθείσας φωνὰς διορίζει, ἢ γοῦν τὴν τῆς φωνῆς τῆς μὴ ὁριζομένης σημασίαν ἐξεταστέον, ἥνπερ αὐτὴ ἡ τοῦ λέγειν χρῆσις δίδωσι. (ΡΜΓ΄)

## ΥΝϚ΄.

Εἰδικῶς τῇ τοῦ Ἱστορικοῦ συγγράμματος ἀναγνώσει ἀπαιτεῖται προσοχὴ καὶ συνεχὴς ἐπανάληψις, ἐξ οὗπερ ἕπεται τῶν γινομένων τὰ ἀπομνημονευόμενα παραδίδοσθαι ῥᾷστα τῇ μνήμῃ.

## ΥΝΖ'.

Ε'ν δὲ τῷ κρίνειν τὸ Ι'ςορικὸν σύγγραμμα τρισὶ τούτοις μάλιςα προσεκτέον σοι. Α'. Εἴγε τὰ περὶ ὧν ἡ διήγησις εἰσὶν ἀληθῆ. Β'. Εἴπερ ἐν τούτοις ἡ τάξις ὀρθῶς φυλάττεται. Γ'. Εἴπερ τὸ Ι'ςορικὸν σύγγραμμα τῷ τέλει καὶ τὸ σκοπῷ ἀποκρίνεται, ἤτοι εἴπερ εἴη ὁλοτελές.

## ΥΝΗ'.

Εἰ δὲ περὶ τῆς ἀληθείας τῶν ἐν Ι'ςορικῷ συγγράμματι ἀναφερομένων κρίνειν ὀρθῶς ἐθέλοις, τοὺς ἀνωτέρω ἐν τῷ ( ΥΚ'. ) εἰδικῶς ἀναπτυχθέντας κανόνας τῆς Ι'ςορικῆς πιθανότητος εἰς ἐπικουρίαν προσλάμβανε, ἐξ ὧνπερ ἡ τοῦ γενομένου ἀλήθεια ὀφείλει διαγινώσκεσθαι.

## ΥΝΘ'.

Περὶ τῆς τάξεως τοῦ Ι'ςορικοῦ συγγράμματος διακρίνειν ἐθέλοντι, ταῖς τοῦ χρόνου περιςάσεσιν, ὡς οἷόν τε ἐπιμελέςατα προσεκτέον εἶναι σοι ἀξιῶ, καὶ ἑπομένως τῆς χρονολογίας ἀπρὶξ ἀντέχεσθαι.

## ΥΞ'.

Τέλος δὲ, εἴπερ εἴη τὸ Ι'ςορικὸν σύγγραμμα ὁλοτελὲς, βασανίζειν ἐθέλοντι ἐπὶ τὸ τέλος τὸ εἰς ἀπαρτισμὸν τῶν Ι'ςορικῶν βίβλων ἀφορᾶσθαι ὀφεῖλον, τοῦ νῦν προσεκτέον σοι.

„ Τὸ τέλος κατὰ τὴν διαφορὰν τῆς Ι'ςορίας ποικίλον ἐςί. Τῆς Φυσικῆς Ι'ςορίας, ἐν ᾗ
„ τὰ ἔργα τῆς φύσεως ἀναφέρονται, τέλος καὶ σκοπός ἐςι, τὰ σπανιώτερα τῶν ἀντικει-
„ μένων ἀκριβῶς διαγράφειν, καὶ πάντα τὰ εἰς ἔννοιαν φαινόμενα τινὸς ἀδικῶς συντρέχον-
„ τα καθ' ἕκαςα διαλαμβάνειν, καὶ τὴν τῶν μερικῶν ὡσαύτως συνάφειαν ἐκτιθέναι. Τῆς
„ Ε'κκλησιαςικῆς Ι'ςορίας, ἐν ᾗπερ αἱ Ε'κκλησιαςικαὶ πράξεις καὶ μεταβολαὶ ἀπομνη-
„ μονεύονται, τέλος ἐςὶ τὴν κατὰ πάντας τοὺς χρόνους διαγράφεσθαι ςάσιν τῆς Ε'κκλη-
„ σίας. Κατὰ τὰ μέσα καὶ τὰς ὁδοὺς, δι' ὧνπερ τὰ τῆς Ε'κκλησίας ἄνθος ἐγένετο εἰς ἐ-
„ παύ-

„ ταύξησιν, ἀδικῶς ἀριθμεῖσθαι. Πρὸς δὲ τὰ τῆ αὐξης διακωλύματα καταλέγεσθαι· ϗ
„ τέλος τὰς μεταβολὰς κατά τε τὰς διδασκαλίας ϗ τὰς πλάνας ὄντως ἐκτίθεσθαι, ὥςε
„ ἐκ τέτων τὰς ἀρχὰς τῆς Ἐκκλησιαςικῆς φρονήσεως παράγεσθαι δύνασθαι. Τῆς Πολι-
„ τικῆς Ἱςορίας σκοπός ἐςὶ παραδείγματα τοῖς ὀφθαλμοῖς ϗ ταῖς ψυχαῖς ὑποβάλ-
„ λεσθαι, δι' ὧν περ τὰ παραγγέλματα τῆς Πολιτικῆς βεβαιῶνται. Καὶ τὰ εἰς αὔξησιν
„ τῆς πολιτικῆς φρονήσεως συμβαλλόμενα. Ἐν τῇ Πολιτικῇ τοιγαρῦν Ἱςορίᾳ Α'. Ἀ-
„ ναγκαῖόν ἐςι τὴν τῆς Κοινότητος διαγράφεσθαι ςάσιν κατὰ πάντας τὲς χρόνες. Β'. Τὰς
„ ἐπαυξήσεις ϗ τὰς μεταςροφὰς σαφηνίζεσθαι ὑποσυναπτομένων πανταχῦ τῶν αἰτίων
„ δι' ἃ ἡ τῶν κοινῶν πραγμάτων εὐτυχεςέρα ςάσις, ἢ πτώσεις παρήχθησαν τῶν αὐτῶν.
„ Γ'. Ἐντεῦθεν τὰ ἔργα τῶν βασιλέων, τῶν ἔργων τὰς συνέπειας, τὰς ἀρχὰς τῆς ἐπι-
„ ςασίας, τὰς συνθήκας ϗ σπονδὰς ϗ γάμους ἀδικῶς ἀριθμεῖσθαι. Τῆς ἐπιςημονικῆς τε
„ τελευταῖ ἡ Ἱςορίας, ἐν ᾗ τὰς τῶν ἐπιςημῶν ϗ βιβλίων, ἢ ζωῆς τύχας, ϗ τὰ τῶν πε-
„ παιδευμένων ἔργα καταριθμεῖσθαι ὀφείλεται, σκοπιμώτατον τέλος ἐςὶ, τὴν γνῶσιν τῶν
„ ἀληθειῶν τῶν παρὰ τοῖς ἀρχαίοις εὑρεθεισῶν ἐκ ταύτης πορίζεσθαι ϗ βοηθήματα χορη-
„ γεῖσθαι, δι' ὧνπερ ἡ εὑρετικὴ τέχνη ἐπαυξεσθαι δύναιτο· Θεῖ ἂν Α'. Ἐν τῇ ἐπιςημονι-
„ κῇ Ἱςορίᾳ τὰ συγγράμματα ϗ τὰς ὑποθέσεις αὐτῶν ἀριθμεῖσθαι, ϗ τὴν ἐν αὐτοῖς
„ προσληφθεῖσαν μέθοδον ἐπισκοπεῖσθαι, ϗ τίνι λόγῳ ϗ ἀφορμῇ αὕτη κἀκείνη ἡ ἀ-
„ λήθεια ἀνιχνεύθη προσεξετάζεσθαι. Β'. Διαγράφεσθαι τὲς βίες τῶν πεπαιδευμένων ἐ-
„ πιμελῶς ϗ πάντα πιςῶς παραδίδοσθαι τὰ εἰς σαφεςέραν κατάληψιν τῶν ἀξιῶν ϗ τυ-
„ χῶν ἐγνωσμένων τῶν πεπαιδευμένων συντείνοντα.

## ΥΞΑ'.

Μέχρι τῦδε περὶ τῶν Ἱςορικῶν συγγραμμάτων καὶ προφυλακῶν τῶν περὶ τὴν ἀνάγνωσιν καὶ βάσανον τῶν αὐτῶν παρατηρητέων εἰρήται· νῦν δὲ τὰ εἰς ἀνάγνωσιν καὶ διάκρισιν τῶν δογματικῶν συγγραμμάτων ἀφορῶντα ἐπάξομεν.

## ΥΞΒ'.

Ὁ ἐπιςημονικὸν δογματικὸν σύγγραμμα ἀναγινώσκειν βυλόμενος, πρὸ πάντων τὸν τῦ Συγγραφέως σκοπὸν διαγνώτω, τῦτο δὲ ἐκ τῆς ἐπιγραφῆς τῦ συγγράμματος, καὶ μάλιςα ἐκ τῦ προοιμίυ γενέσθαι δύναται.

ΥΞΓ'.

## ΥΞΓʹ.

Ἔτι ὁ ἐπιστημονικὰ Δογματικὰ συγγράμματα ἐφιέμενος ἀναγινώσκειν, πάσας τὰς ἐν ἑκάστῃ τῶν περιόδων ἀληθείας, εἰς ὡρισμένα τινὰ ἀπογράφοντα τῶν προτάσεων εἴδη, καὶ εἴγε τοῖς ὁρισμοῖς, ἢ τοῖς ἀξιώμασι καὶ τοῖς θεωρήμασι καὶ προβλήμασιν ἀνήκουσιν ἐπιμελῶς διασκοπείτω.

## ΥΞΔʹ.

Ἐν τῇ ἀναγνώσει ἔτι τῶν Δογματικῶν συγγραμμάτων σημειώσασθαι ἀξιῶ ὡς οἷόν τε ἐπιμελέστατα ἑκάστῳ τῶν ὅρων προσέχειν, καὶ τίνας αὐτοῖς ὁ συγγραφεὺς Ἐννοίας συζεύγνυσιν, ἀκριβῶς διασκέπτεσθαι.

## ΥΞΕʹ.

Ἐν τῇ ἀναγνώσει τελευταῖον τοῦ Δογματικοῦ καὶ ἐπιστημονικοῦ Συγγράμματος τὰς προηγουμένας ἀληθείας συνήθεις σεαυτῷ ποίησον, πρὶν ἢ αὐτοῦ τῆς περαιτέρω ἀναγινώσκων, καὶ τὰς δείξεις συνεχῶς ἀνάλυσαι εἰς συλλογισμούς. Περὶ δὲ τῆς τῶν δείξεων ἀναλύσεως εἴρηται ἀνωτέρω (§. ΤΥϚʹ.)

## ΥΞϚʹ.

Εἰς ἀνάκρισιν τῶν δογματικῶν συγγραμμάτων συμβάλλει τὰ μάλιστα, αʹ. προσέχειν, εἴγε τὸ σύγγραμμα ὑπάρχει σαφές· βʹ. εἰ τὸ αὐτὸ ἐστὶ τάξει ἀπηρτισμένον· γʹ. εἴπερ ἐστὶ στερεὸν σύγγραμμα· δʹ. εἰ τέλος ἐστὶν ὁλοτελὲς καὶ κατὰ σκοπὸν βάλλον.

## ΥΞΖʹ.

Σαφὲς λέγεται τὸ σύγγραμμα, ὁπηνίκα τοὺς ὅρους πάντας ἀκριβῶς ὁρίζεται, οὐ δὲ φωνὰς τῆς τοῦ λέγειν χρήσεως ἀλλοτρίας καὶ πλανωμένας προσλαμβάνει.

ΥΞΗʹ.

## ΥΞΗ'.

Περὶ τῆς σαφηνείας τοιγαροῦν τοῦ Συγγράμματος κρίνειν ἐθέλοντι πρωτωδέστατόν ἐστι τὸν νοῦν ἐπιστρέφειν ἐπὶ τοὺς τῶν ὅρων ὁρισμούς. Τούτων γὰρ παρόντων καὶ κατὰ τοὺς ἀνωτέρω (ΡΝ'.) παραδοθέντας τοῦ ὁρίζεσθαι ἐπιφερομένων Κανόνας, οὐκ ἂν ἀσαφείας τὸ σύγγραμμα αἰτιάσαιο.

„ *Συμβαίνει δ' ἐνίοτε τῶν συγγραφέων τινὰς ὑπεράγαν χρῆσθαι τοῖς ὁρισμοῖς, καὶ τῶν*
„ *φωτῶν ἀναπτύξεις πλείους προσλαμβάνειν, ἤπερ εἰς ἀπόδειξιν ἀπαιτοῦνται τῶν ἑπομέ-*
„ *νων προτάσεων. Ἐκ τούτου δὲ οὐκ ἀσαφεῖς μὲν ἐκεῖνοι γίνονται, περιττὰ δὲ τοῖς*
„ *οἰκείοις ἀναμιγνύντες λίαν μακρὸν ἀποτελοῦσι τὸ σύγγραμμα. Μακρὸν γὰρ λίαν*
„ *σύγγραμμα λέγεται τὸ πλεῖω περιέχον τῶν ἀνηκόντων τῷ οἰκείῳ σκοπῷ. Ἄλλοι*
„ *δ' ἔλαττον, ἤπερ ἔδει ὁρίζονται ἤτοι οὐδεμιᾷ, ἢ μὴ ἐξηκριβωμένῃ τῇ ἀναπτύξει τῶν ὅρων*
„ *χρώμενοι, ἐξ ὅπερ οὐκ ἔξεστι μὴ προσελθεῖν τῷ συγγράμματι τὴν ἀσάφειαν. Ἀσαφὲς*
„ *γὰρ σύγγραμμα λέγεται, ἐν ᾧπερ ἢ οὐδόπωσοῦν ὁρισμοὶ προσλαμβάνονται, ἢ γοῦν*
„ *πλανωμένοις καὶ ἀορίστοις ἐννοίαις ἐφησυχάζομεν. Ταῦτα περὶ τῆς τοῦ συγγράμματος*
„ *σαφηνείας.*

## ΥΞΘ'.

Τάξει συγγεγραμμένον τὸ ἐπιστημονικὸν δογματικὸν βιβλίον λέγεται, ὁπηνίκα πᾶσαι αἱ Ἔννοιαι καὶ προτάσεις οὕτω συντάττονται, ὥστε εἰς πληρεστέραν κατάληψιν καὶ δεῖξιν τῶν ἑπομένων συμβάλλεσθαι· ὅρα (ΛΓ'.)

„ *Ἡ δὲ τάξις αὕτη κατὰ τὸν διάφορον τοῦ Συγγραφέως σκοπὸν ποικίλλεσθαι δύναται, ἐν*
„ *γὰρ τῷ δογματικῷ Ἱστορικῷ βιβλίῳ ἐκείνη ὡς τὰ πολλὰ ἡ τάξις παρατηρεῖται, καθ'*
„ *ἣν πάντα τὰ εἰς μίαν ἀφορῶντα ὑπόθεσιν εἰς ἓν συσσωρεύονται· καὶ αὕτη λέγεται τά-*
„ *ξις τῆς Σχολῆς. Ἐν δὲ τῷ Ἐπιστημονικῷ Δογματικῷ Βιβλίῳ, ἐν ᾧπερ αἱ ἀλή-*
„ *θειαι συστηματικῇ συνάπτεσθαι μεθόδῳ ὀφείλουσιν, (ΤΝΓ'.) ἐκείνη παρατηρη-*
„ *τέα ἡ τάξις, καθ' ἣν ἀεὶ προκατασκευάζονται τὰ ἐξ ὧν ἐννοεῖσθαι καὶ ἀναπτύσσε-*
„ *σθαι τὰ ἑπόμενα δύνανται (ΛΓ'.) ἥτις Φυσικὴ τάξις λέγεται.*

## ΥΟ'.

Περὶ τῆς τάξεως τοίνυν τοῦ ἐπιστημονικοῦ βιβλίου κρίσιν ἐπάγειν βουλόμενος, σκόπει μάλιστα εἴγε ὀρθῶς καὶ κατὰ Κανόνα αἱ πεῖραι, οἱ ὁρισμοὶ, καὶ τὰ ἀξιώματα, ὡς ἀρχαὶ ἀποδείξεως ἀναμφίβολοι (ΤΠΘ'.) προσλαμβάνονται, καὶ ἐκ τούτων θεωρήματα καὶ προβλήματα προσηκόντως ἀποδεικνύονται.

ΥΟΑ'.

## ΤΟΑ'.

Ε'πὶ τὴν θριαμβεύουσαν ἀρετὴν τοῦ ἐπιστημονικοῦ δογματικοῦ συγγράμματος ἤτοι ἐντέλειαν καὶ στερεότητα μεταβαίνομεν. Στερεὸν δὲ ἢ ἐντελὲς τὸ δογματικὸν σύγγραμμα καλεῖται, ὅτι ἐν αὐτῷ πᾶσαι αἱ προτάσεις ἰσχυραῖς κρατύνονται δείξεσιν, ὥστε μηδὲν ἕτερον παρὰ τὰς ἀναμφιβόλους πείρας, ὁρισμούς τε καὶ ἀξιώματα προσλαμβάνεσθαι ἀναπόδεικτον.

## ΤΟΒ'.

Ο' τοίνυν περὶ τῆς στερεότητος, ἢ ἐντελείας τοῦ δογματικοῦ συγγράμματος κρίσιν ἐπενεγκεῖν ἐφιέμενος, ἀκριβῶς, Α'. προσεχέτω ἐφ' ἑκάστην τῶν προτάσεων, εἴγε κατὰ τοὺς ἐν τῷ (ΤΠΗ'.) ἐκτεθέντας Κανόνας στερρῶς ἀποδεδειγμένοι εἰσί. Β'. Εἴπερ ἀρχαὶ προσλαμβάνονται βέβαιοι περὶ ὧν τῆς ἀληθείας ἀμφιβάλλειν οὐκ ἔξεστι. Γ'. Εἴπερ ἡ ἀποδεικτικὴ μέθοδος ἐπιτηδείως προσλαμβάνεται, καὶ πάντες σώζονται οἱ τῆς μεθόδου Κανόνες, οὓς περ ἀνωτέρω (ΛΓ'.) ἐξεθέμεθα. Τῶν γὰρ τῆς ἀποδεικτικῆς μεθόδου Κανόνων μὴ σωζομένων, ἐπιπόλαιον τὸ σύγγραμμα λέγεται. Δ'. Εἴπερ ἡ Κυκλικὴ πλημμελεῖται δεῖξις, περὶ ἧς ὅρα (ΤΥΖ'.)

„ Ο' δὲ μάλιστα διακρινοῦν τὴν τοῦ ἐπιστημονικοῦ δογματικοῦ συγγράμματος στερεότητα, πά-
„ σαν ἀναγινωσκέτω τὴν βίβλον, ἐν συνεχεῖ συναφείᾳ, καὶ προσεχέστερον τὴν τῶν ἀλη-
„ θειῶν συνάφειαν καὶ ἀλυσιδωτὸν σύνδεσμον θεωρείτω. Ε'ξ οὗ περ δύναται κατανοη-
„ θῆναι μὴ ἔχειν ἐπιτηδείως εἰς ἀνάκρισιν ἐπιστημονικῶν δογματικῶν συγγραμμάτων.
„ τοὺς περὶ τὴν ἀνάγνωσιν ἀσχολημένους τῶν πεπλασμένων μύθων, ἢ περὶ λέξεων μαθήσεις,
„ καὶ γραμματικῶν Κανόνων τῇ μνήμῃ ἀποταμιεύουσιν, μὴ δὲ δύνασθαι τοὺς τοιούτους πολλῶν
„ προτάσεων συμπλοκὴν διακεκριμένως γινώσκειν.

## ΤΟΓ'.

Εἰ δὲ τελευταῖον τὸ δογματικὸν σύγγραμμα ὁλοτελὲς εἴη, ἢ μὴ ἐκ τοῦ τέλους τοῦ συγγραφέως διακρινεῖς. Εἰ μὲν γὰρ ἐπίτευξιν τούτου τὸ σύγγραμμα ἐξαρκοῦν, ὁλοτελές· μὴ ἐξαρκοῦν δέ, ἐλλιπές ἐστι.

## ΥΟΔ'.

### Ε'ξ ἁπάντων τέτων κατανοεῖται, ὅτι τὸ δογματικὸν ἐπιστημονικὸν σύγγραμμα, συστηματικῶς ὀφείλει συγγράφεσθαι.

Δεικν. Ε'πεὶ γὰρ σύστημα λέγομεν τὸ τῶν ἀληθειῶν πρὸς ἀλλήλας καὶ πρὸς τὰς οἰκείας ἀρχὰς συνημμένως ἄθροισμα (κατὰ τὸν ὁρισμὸν), ἕπεται, ὅτι ὁποιαιδηποτῦν ἀλήθειαι πρὸς ἀλλήλας καὶ πρὸς τὰς οἰκείας ἀρχὰς συνημμέναι εἰσὶ, συστηματικῶς διαληπτέαι εἰσίν. Ε'πεὶ δὲ αἱ ἀλήθειαι αἱ τῇ ἐπιστημονικῇ δογματικῇ περιεχόμεναι βίβλῳ πρός τε ἀλλήλας καὶ πρὸς τὰς οἰκείας ἀρχὰς συνημμέναι εἰσὶ, (ΥΟΑ'.) πρόδηλον, ὅτι τὸ δογματικὸν ἐπιστημονικὸν σύγγραμμα συστηματικῶς ὀφείλει συγγράφεσθαι.

„ *Ε'ν τῷ τέλει τῦτ' ἔτι ὀφείλομεν· τίποτ' ἐστιν ἀνδραποδιστὴς, τίς ἐπιτομεὺς καὶ τίς περισυλλη-*
„ *τής. Περισυλλητὴς μὲν λέγεται ὁ τὰ τῇδε κἀκεῖσε σποράδην κείμενα, συνάγων εἰς ἓν,*
„ *οὐδενὸς γινομένου λόγου τῆς συναφείας ἢ τάξεως. Α'νδραποδιστὴς δὲ, ὁ τὰ παρ' ἄλλων*
„ *ἐρανισθέντα παρ' ἑαυτῦ εὑρῆσθαι τοὺς ἄλλους πείθων· καὶ ἐπιτομεὺς ὁ ἐκ συγγράμματος*
„ *πυκνοτέρου καὶ ἐπιμηκεστέρου τὰ τῷ οἰκείῳ σκοπῷ συλλέγων ἀνήκοντα, καὶ ἐκ Μείζονος*
„ *ἔλαττον σύγγραμμα συντιθείς.*

# ΚΕΦΑ'ΛΑΙΟΝ Ζ'.

## Περὶ τȣ͂ τρόπȣ τȣ͂ τȣ̀ς ἄλλȣς ἐλέγχειν.

### ΠΑΡΑ'ΓΡΑΦΟΝ ΤΟΕ'.

Παραδέδοται ἡμῖν μέχρι τȣ͂δε παραγγέλματα, ὧν περ ἡμῖν δεῖ τὴν ἀλήθειαν ἀφ' ἑαυτῶν ἀνιχνεύησιν, ἤπερ ἄλλων ἀνιχνευθεῖσαν γινώσκειν καὶ διακρίνειν ἐθέλητι· νῦν ἤδη διὰ βραχέων, τίνι λόγῳ τοῖς ἄλλοις ἡ ἀλήθεια κοινωνεῖσθαι ὀφείλει, ἐκθήσομεν.

### ΤΟϚ'.

Ὅτι περ τοῖς ἄλλοις μεταδιδόναι τὰς ἀληθείας ὀφείλομεν, διδαχθήσεται ἐν τοῖς ἠθικοῖς, ἐν οἷς περ ἐπωφελέςατοι Κανόνες τῆς φρονήσεως ὑποτίθενται περὶ τὴν τῶν ἀληθειῶν μετάδοσιν παρατηρητέοι. Περὶ ὧν πλείω ἐν τῇ ἀναπτύξει.

### ΤΟΖ'.

Ὁ τὸν ἕτερον εἰς τὰς ἀγνώςȣς αὐτῷ ἀληθείας, ῥήμασι ζώσῃ φωνῇ προφερομένοις ἐπάγων, διδάσκειν τὸν ἕτερον λέγεται.

## ΥΟΗ΄.

*Ὁ τὸν ἕτερον διδάσκειν ἐθέλων τὸ δῶρον τῆς σαφηνείας ἐχέτω καὶ καθαρότητος.*

Δεῖκν. Ἐπεὶ γὰρ ὁ τὸν ἕτερον διδάσκειν ἐθέλων, πραγμάτων τῶν τῷ ἑτέρῳ ἀγνώςων, τὴν γνῶσιν τῷ ἑτέρῳ ἐγκεντρίζειν ἐθέλει, (ΥΟΖ΄.) ἑπόμενόν ἐςι τὸν διδάσκοντα τῷ διδασκομένῳ κατανοεῖσθαι ὀφείλειν. Ἐπεὶ δὲ κατανοεῖσθαι ἢ δύναται τῆς σαφηνείας μὴ ποιήμενος λόγου, ἕπεται, ὅτι ὁ διδάσκων τὸ δῶρον τῆς σαφηνείας καὶ καθαρότητος ἐχέτω.

## ΥΟΘ΄.

Ἐντεῦθεν τὰ πορίσματα ταῦτα ἕπεται.

Ἄρα ἐκεῖνος ὀφείλει διδάσκειν, ὁ τὸ ὅπερ διδάσκει διακεκριμένως γινώσκων. Ὁ γὰρ τὸ ὅπερ διδάσκει διακεκριμένως γινώσκων, διὰ ῥημάτων τοῖς ἄλλοις εὐχερῶς καὶ διακεκριμένως τὸ αὐτὸ ἀνακοινώσασθαι δύναται (ΙΓ΄.)

Β΄. Ἄρα ὁ διδάσκων ἕκαςον τῶν ὅρων ἀκριβῶς ὁριζέτω, μήτε φωναῖς πλανωμέναις καὶ ἀορίςοις ἀσαφείαις φερούσαις (ΡΛϚ΄.) ἀγαπάτω.

Γ΄. Ἄρα ὁ διδάσκων τὰ ἀφῃρημένα πράγματα, καὶ πορρωτέρω τῶν αἰσθήσεων ὄντα, παραδείγμασιν ἐκλελεγμένοις καὶ ἀπὸ τῆς κοινῆς ζωῆς λαμβανομένοις σαφηνιζέτω. Τὰ γὰρ παραδείγματα μέγιςον φῶς παρέχει, τοῖς λανθάνουσι τῶν πραγμάτων.

Δ΄. Ἄρα ὁ διδάσκων τοῖς κανόσι τῆς ὀρθῆς μεθόδου ἀκριβῶς παρακολουθείτω, καὶ προλαμβανέτω τὰ δι᾽ ὧν γινώσκεται τὰ ἑπόμενα.

Ε΄. Τὰς προτάσεις ἔτι πάσας εἰς τὴν ἑαυτῶν θέσιν καὶ ὑπόθεσιν ἀναλυέτω (ΣΙϚ΄.) καὶ τῶν παρ᾽ ἄλλων προσφερομένων δείξεων, ἀνάλυσιν ἐκτελείτω (ΤΥϚ΄.)

## ΥΠ΄.

### Ὁ διδάσκων ἔτι τῷ δώρῳ τῆς διδασκαλίας ὡραϊζέσθω. Τουτέστιν ἑτοίμως, εὐχερῶς, καὶ μετά τινος ἡδύτητος τὰ τῆς ψυχῆς νοήματα ἐκτιθέτω.

Δείκν. Ἐπεὶ γὰρ ὁ διδάσκων τὴν τῶν ἀγνώστων γνῶσιν τῷ ἑτέρῳ ἐπιγεννᾷν ὀφείλει (ΥΟΖ.), ἕπεται ὅτι τὸν διδάσκοντα, ἐπιτηδείως ἔχειν πρὸς τὸ ἀνεγείρειν τοῦ ἑτέρου τὴν προσοχὴν καὶ ἐγρήγορσιν διαφυλάττειν· τούτου δὲ διὰ τῆς πείρας γιγνομένου, ὁπηνίκα ὁ διδάσκων συνεχεῖ καὶ ὁρμητικῷ τῷ τοῦ λόγου ποταμῷ τοῖς ὠσὶ καὶ ταῖς ψυχαῖς τῶν ἀκουόντων ἐπιρρεῖ ἡδέως, εὐχερῶς κατανοεῖται τῷ διδάσκοντι ἐν τοῖς μάλιστα ἀπαιτεῖσθαι τὸ καθωραΐζεσθαι τῷ τῆς διδασκαλίας δωρήματι, τόν τε νοῦν καὶ τοὺς λόγους ἔχοντα ἐν προχείρῳ.

„ Εἴτις ἑαυτῷ φυσικήν τινα ταραχὴν καὶ ἀθυμίαν σύνοιδε, ταρασσόμενός τινος καὶ λόγων
„ ἱστορίαν ἀπαιτεῖν αἰσθάνεται, τούτῳ παραινοῦμεν καὶ ἐντελλόμεθα, μὴ μᾶλλον ἑαυτὸν
„ εἰς γέλωτα καὶ χλεύην τοῖς ἀκούουσι προτιθέναι, ἐξομόσασθαι τὴν διδασκαλίαν, καὶ ἐφ'
„ ἑτέραν τινὰ τραπέσθαι τὴν τοῦ βίου ὁδόν· αἱρετώτερον γὰρ τὸ μὴ διδάσκειν, ἢ διδάσ-
„ κειν ἐπὶ βδελύγματι τῶν ἄλλων καὶ γέλωτι.

## ΥΠΑ΄.

### Ὁ διδάσκων ἔτι ὀφείλει τοὺς διδασκομένους περὶ τῆς ἀληθείας βεβαίους ποιεῖν.

Δείκν. Ἐπείπερ ὁ διδάσκων ἄλλους τὰς ἀγνώστους ἀληθείας ὀφείλει κἀκείνοις δηλοποιεῖν, (ΥΟΖ.) εὔδηλον, ὅτι ὁ τοὺς ἄλλους διδάσκων ὀφείλει προάγειν αὐτοὺς εἰς διακεκριμένην γνῶσιν τοῦ ἀληθὲς εἶναι τὸ διδασκόμενον· (ἄλλως γὰρ ἂν ἐν ἀμφιβολίᾳ εἶεν, εἴγε αὐτοῖς προτίθεται ἡ ἀλήθεια, καὶ ἑπομένως ὁ διδάσκων τοῦ τέλους οὐκ ἐπιτεύξεται) εἰ δ' ὁ διδάσκων ὀφείλει τοῦτο ποιεῖν τὸ τοὺς ἄλλους διακεκριμένως γινώσκειν τὴν τοῦ διδασκομένου ἀλήθει-

αν,

## ΥΠΓ'.

Στεῤῥότητα λέγομεν τὴν τῆς διανοίας τελειότητα, καθ' ἣν τὰ διανοήματα συνάπτειν οἴδαμεν τῶν προτάσεων ταῖς βεβαίοις καὶ ἀναντιῤῥήτοις ἀρχαῖς, ὀρθῶς καὶ κατὰ κανόνα συμπλεκομένων.

## ΥΠΔ'.

Ὅθεν ἕπεται τὴν στεῤῥότητα ἐξαίρετον εἶναι ἀρετὴν τοῦ διδάσκοντος.

Δεῖξ. Ἐπεὶ γὰρ ὁ διδάσκων ἐν ἕξει εἶναι ὀφείλει τοῦ τὰ διανοήματα συνάπτειν μέχρις ἂν γένηται ἐπὶ τὰς ἀναντιῤῥήτους ἀρχὰς (ΥΠΒ'.) ἡ δὲ τοιαύτη ἕξις ἤτοι τελειότης, στεῤῥότης λέγεται (ΥΠΓ'.), πρόδηλον, ὅτι ἡ στεῤ-

ον, ὀφείλει πάντως τῆς διδασκομένης βεβαίας περὶ τὰς ἀληθείας ἀποτελεῖν (ΤΜΗ.)

## ΥΠΒ'.

Ἐξ ὧ ἕπεται, ὅτι τῷ διδάσκοντι ἐν ἕξει εἶναι τῇ δεικνύειν, καὶ τὰ οἰκεῖα διανοήματα ἀλυσιδωτῶς συνάπτειν ὀφείλεται.

Δείκν. Ἐπεὶ γὰρ τῆς βεβαιότητος ἐπιτυγχάνομεν, ἤτοι ἐκ τῶν ὑστέρων τουτέστι διὰ τῆς πείρας, ἢ ἐκ τῶν προτέρων δι' ὀρθῶν ἀποδείξεων καὶ συνεχῶν διανοημάτων συναφείας (ΤΝ'.) ὁ δὲ διδάσκων, ὅτι μάλιστα τῆς βεβαιότητος λόγον ποιεῖσθαι ὀφείλει (ΥΠΑ'.) πρόδηλον, ὅτι τῷ διδάσκοντι ἐν ἕξει εἶναι τῇ δεικνύειν ὀφείλεται, τουτέστι τὰ ἑαυτῇ διανοήματα ἀλυσιδωτῶς συνάπτειν, ἐφ' ἂν ἐπὶ τὰς βεβαίας γένηται καὶ ἀναμφιβόλους ἀρχὰς (ΤΠϚ'.)

στερρότητος ἐξαιρέτως τῷ διδάσκοντι ἀπαιτεῖται, καὶ θριαμβεύουσα ἀρετὴ ταύτῃ καθέστηκε.

## ΥΠΕ΄.

Ἐλέγχειν τὸν ἕτερον λεγόμεθα, ὁπηνίκα τὴν πρότασιν ἀληθῆ τῷ ἑτέρῳ γενέσθαι ἐπιτελοῦμεν καὶ ἔλεγχος (ἐνεργητικῶς λαμβανόμενος) ἐστὶν ἐνέργεια, καθ᾽ ἣ τὸν ἕτερον βέβαιον ἀποκαθιστῶμεν ἢ περὶ ἀληθείας, ἢ περὶ ψεύδους προτάσεώς τινός· καὶ ἔλεγχος (παθητικῶς λαμβανόμενος) ἐστὶν ἐκείνη ἡ σχέσις, καθ᾽ ἣν βέβαιοι ἐσμὲν περὶ ἀληθείας προτάσεώς τινος, ἢ ψεύδους.

## ΥΠϚ΄.

**Ὁ Διδάσκων τοιγαροῦν τοῦτ᾽ ἀφορᾷν ὀφείλει, τὸ τοὺς διδασκομένους περὶ ἀληθείας, ἢ ψεύδους τῆς προτάσεως ἐλέγχειν.**

Δείκν. Ἐπεὶ γὰρ ὁ διδάσκων ὀφείλει τοὺς διδασκομένους περὶ ἀληθείας, ἢ ψεύδους προτάσεώς τινος ἀποκαθιστᾷν βεβαίους (ΥΠΑ΄.) ὅτε δὲ περὶ προτάσεώς τινος ἀληθείας, ἢ ψεύδους βεβαιοῦμεν τοὺς ἄλλους, ἐλέγχειν ἐκείνους λεγόμεθα (ΥΠΕ΄.) πρόδηλον, ὅτι ὁ διδάσκων τοῦτ᾽ ἀφορᾷν ὀφείλει, τὸ τοὺς διδασκομένους περὶ ἀληθείας, ἢ ψεύδους τῆς προτάσεως ἐλέγχειν.

„ Ἵνα δὲ ἡ τοῦ ἐλέγχου φύσις ἀκριβέστερον καταληφθῇ τὰ ἀπαιτούμενα τῷ ἐλέγχοντι καὶ
„ τῷ ἐλεγχομένῳ ἀδικώτερον ἀριθμήσομεν. Ἄλλως τε τῆς περὶ ἐλέγχου διδασκαλίας ἐν
„ τοῖς κατωτέρω κεφαλαίοις περὶ ἀνασκευῆς καὶ διαλέξεως συμβαλλούσης τὰ μέγιστα.

## ΥΠΖ΄.

**Ἐλέγχομεν τοὺς ἄλλους, ἢ ἐκ τῶν προτέρων, τουτέστι διὰ τῆς δείξεως, ἢ ἐκ τῶν ὑστέρων διὰ τῆς πείρας.**

Δείκν. Ἐπεὶ γὰρ εἰς βεβαίαν γνῶσιν ἢ ἐκ τῶν προτέρων διὰ σειρᾶς διανοημάτων εἴτ᾽ οὖν δείξεως, ἢ ἐκ τῶν ὑστέρων διὰ τῆς πείρας καὶ αἰσθάνσεως ὀρ-

ὀρθῶς καὶ κατὰ Κανόνα ἐρχόμεθα (ΤΝ'.) Ἑπόμενόν ἐςι καὶ τὺς ἄλλυς εἰς τὴν ὀρθὴν γνῶσιν, ἤτοι ἐκ τῶν προτέρων, ἢ ἐκ τῶν ὑςέρων προάγειν, τὸ δὲ τὺς ἄλλυς εἰς βεβαίαν γνῶσιν προάγειν, ταυτὸν δ᾽ εἰπεῖν τὺς ἄλλυς περὶ ἀληθείας, ἢ ψεύδυς τῆς προτάσεως βεβαίως ἀποκαθιςᾷν, ἐλέγχειν τὺς ἄλλυς ἐςὶν (ΤΠΕ'.) ἄρα τὺς ἄλλυς ἐλέγχομεν ἢ ἐκ τῶν προτέρων, ἢ ἐκ τῶν ὑςέρων.

## ΤΠΗ'.

Ἐντεῦθεν δηλῦται τὸν ἐκ τῶν προτέρων ἔλεγχον ἤτοι ἀποδεικτικὸν εἶναι, ἢ ἀπαγωγικόν.

Δεικν. Ἐκ τῶν προτέρων γὰρ ἐλέγχομεν ἕτερον δι᾽ ἀποδείξεως αὐτὸν βεβαιῦντες (ΤΠΖ'.) ἡ δὲ δεῖξις ἢ δεικτική ἐςιν, ἢ ἀπαγωγική (ΤΤΓ.) τὸν ἕτερον ἐλέγχειν ἡμᾶς δηλῦται, ἤτοι ὀρθῶς, τυτέςι δεικτικῶς, ἢ πλαγίως, δηλαδὴ ἀπαγωγικῶς, καὶ ἑπομένως πάντα ἔλεγχον εἶναι, ἢ δεικτικὸν καὶ ὀρθὸν, ἢ ἀπαγωγικὸν καὶ πλάγιον.

## ΤΠΘ'.

Ὁ τὸν ἕτερον ἐλέγχειν ἐθέλων, ἀναπτύσσειν ὀφείλει τὴν πρότασιν, περὶ ἧς ὁ ἔλεγχος γίνεται.

Δεικν. Ὁ γὰρ τὸν ἕτερον περὶ προτάσεως τινὸς ἐλέγχειν ἐθέλων τὴν πρότασιν δι᾽ ἀποδείξεως ἑτέραις ἀναμφιβόλοις ἀρχαῖς συνάπτει, (ΤΠΖ'.) πῶς δ᾽ ἂν τὴν πρότασιν ἄλλαις ἀληθείαις ἀναφιλέκτοις συνάψειας, ὥςε τὸν ἕτερον περὶ τῆς αὐτῆς βέβαιον ἀποκαταςῆσαι, μὴ τῦ ἑτέρυ τὴν πρότασιν ταύτην ἐπινοῦντος, Ἀνάγκη τοιγαρῦν τὸν ἐλέγχειν τὸν ἕτερον θέλοντα, τὴν πρότασιν ἀναπτύξαι, ἢ μετὰ καρπῦ καὶ ὠφελείας γενέσθαι τὴν δεῖξιν.

## Τϥ.

Ἐκ τούτων ἦν δυνατὸν κατανοηθῆναι τὰ τοῦ ἐλεγχθησομένου, ἤτοι τοῦ προσώπου τοῦ ἐλέγχεσθαι μέλλοντι ἀπαιτούμενα.

## ΤϥΑ'.

### Ὁ ἐλεγχθησόμενος ὀφείλει μὴ εἶναι τῶν δείξεων ἄπειρος.

Δείκν. Ἐπεὶ γὰρ ὁ ἔλεγχος, ἢ διὰ τῆς πείρας, ἢ δι' ἀποδείξεως γίνεται (ΤΠΖ'.) Ἑπόμενόν ἐστι τὸν ἄπειρον ὄντα τῶν δείξεων, καὶ τούτων μὴ συνιέντα, οὐχ οἷόν τε εἶναι ἐλέγχεσθαι. Ὁ τοίνυν ἐλεγχθησόμενος, μὴ ἔστω τῶν δείξεων ἄπειρος, ἀλλὰ τὰς αὐτὰς ἐννοείτω.

„ Ἐντεῦθεν ἐπινοεῖς ἀνθ' ὅτι ὁ ἀπαίδευτος καὶ ἰδιώτης δυσχερέστερον ἐλέγχεται περὶ ἀλη-
„ θείας τινὸς πόῤῥω τῶν αἰσθήσεων οὔσης, ἤπερ ὁ πεπαιδευμένος, καὶ τῶν δείξεων ἐμ-
„ πειρος.

## ΤϥΒ'.

### Ὁ ἐλέγχεσθαι μέλλων, ὀφείλει τὴν προσοχὴν ἐπιφέρειν.

Δείκν. Ὁ ἐλέγχεσθαι μέλλων, ὀφείλει τὰς ἀποδείξεις ἐννοεῖν (ΤϥΑ'.) καὶ ἑπομένως τὴν τῆς προτάσεως, περὶ ἧς ὁ ἔλεγχος γίνεται, πρὸς τὰς ἄλλας ἀληθείας καὶ ἀναμφιβόλους ἀρχὰς συνάφειαν διακεκριμένως γινώσκειν (ΤΠϚ'.) Ἐπεὶ δὲ εἰς διακεκριμένην παράστασιν τῆς συναφείας τῆς προτάσεως πρὸς τὰς οἰκείας ἀναμφιβόλους ἀρχὰς ἡ προσοχὴ μάλιστα ἀπαιτεῖται, (ΟΗ'.) εὔδηλον ὅτι ὁ ἐλέγχεσθαι μέλλων, ὀφείλει τὴν προσοχὴν ἐπιφέρειν.

## ΤϥΓ'.

Ἐντεῦθεν δηλοῦται παραφυλακτέον εἶναι ἐπιμελῶς, μήποτε τῇ περὶ ἀληθείας, ἢ ψεύδους τῆς προτάσεως ἐλεγχθησομένου τὴν προσοχὴν ἐκταράξωμεν.

ΤηΔ΄.

Ἐξ ὗπερ ἔτι καταφανὲς μὴ δεῖν ὃν ἐλέγχειν ἐννοῦμεν, ταραχωδῶν παθημάτων ἀναπληρῦν.

Δείκν. Ἐπεὶ γὰρ κατὰ τὰς ἀρχὰς τῆς Ψυχολογίας, καὶ τὴν πεῖραν αὐτὴν δηλῦται, πᾶσαν προσοχὴν τοῖς πάθεσιν ἐκταράττεσθαι, παραφυλακτέον ἐςὶν ἡμῖν, μήποτε τὴν τῦ ἐλεγχθησομένυ προσοχὴν ἐκταράξωμεν (ΤηΓ΄.) Καταφανὲς ἐςὶν, ὅτι ταραχωδῶν παθῶν ἐν ςάσει περιβάλλειν ἐ δεῖ, ὃν ἐλέγχειν ἐθέλομεν.

ΤηΕ΄.

Φευκτέαι τοιγαρῦν αἱ λοιδορίαι, ϗ τὰ σκώμματα πάντα, ϗ αἱ ἀκανθώδεις χλευασίαι τοῖς ἐλέγχειν προθυμεμένοις τὸν ἕτερον.

Δείκν. Ἐπεὶ γὰρ διὰ τῶν λοιδοριῶν καὶ σκωμμάτων τῶν πλαγίως κεντέντων, ὁ ἔλεγχος εἰς πάθος ὀργῆς καὶ λύπης παροξύνεται (κατὰ τὴν πεῖραν), ἡμῖν δὲ ὐ προσῆκον τὸν ἐλεγχθησόμενον ταραχωδῶν παθημάτων ἀναπληρῦν (ΤηΔ΄.) πρόδηλον, ὅτι φευκτέαι αἱ λοιδορίαι καὶ τὰ σκώμματα πάντα καὶ αἱ ἀκανθώδεις χλευασίαι τοῖς ἐλέγχειν προθυμεμένοις τὸν ἕτερον.

Τηϛ΄.

Ὁ τοίνυν ἐν τῷ ἐλέγχειν τὸν ἕτερον λοιδορίαις αὐτὸν διασύρων, ἢ σκώμμασιν ἀκανθώδεσιν ὑποκεντῶν μέσα προσλαμβάνει τῷ οἰκείῳ σκοπῷ ἀντικείμενα, καὶ ἑπομένως, μωρὰ καὶ ἀνόητα διαπράττεται. Μωρὸς γὰρ λέγεται ὁ μέσα αἱρέμενος τῷ οἰκείῳ σκοπῷ ἀντικείμενα.

ΤηΖ΄.

## ΥηΖ'.

Τῷ ἐλέγχῳ ἡ πειθὼ διενήνοχεν. Οἱ γὰρ πρότασίν τινα οὐκ ἀποχρώντως ἀναπτυχθεῖσαν, ἀλλ' ἐξ ἀβεβαίων ἀρχῶν ἐμπεδωθεῖσαν ὡς ἀποχρώντως ἀποδεδειγμένην λαμβάνοντες, καὶ ἑπομένως ἐκείνην ὁμολογοῦντες, ψευδῶς ἑαυτοὺς πείθουσιν εἶναι ἐληλεγμένους. Ἡ πειθὼ τοιγαροῦν (παθητικῶς λαμβανομένη) δύναται ὁρισθῆναι, Συγκατάθεσις διδομένη προτάσει τινὶ, οὔπω ἀποχρώντως ἀνεπτυγμένῃ καὶ ἀποδεδειγμένῃ.

# ΚΕΦΑ΄ΛΑΙΟΝ Η΄.

## Περὶ τοῦ τρόπου τοῦ ἀνασκευάζειν τὰς ἄλλας.

### ΠΑΡΑ΄ΓΡΑΦΟΝ ΥϟΗ΄.

Ὁπηνίκα τὰς ἄλλας ἐλέγχομεν ἐπὶ πλάνῃ, τηνικαῦτα ἀνασκευάζειν αὐτὰς λεγόμεθα.

### ΥϟΘ΄.

*Ὁ τὸν ἕτερον μέλλων ἀνασκευάζειν, δεικνύειν ὀφείλει τὸ ψεῦδος τῆς προτάσεως τῆς παρὰ τοῦ ἑτέρου ἀληθοῦς ὑπολαμβανομένης.*

Δεῖξις. Ἐπεὶ γὰρ τὰς ἄλλας ἐλέγχομεν, δείξεις ὀρθὰς καὶ συναφεῖς τοῖς κανόσιν εἰς ἐπικουρίαν λαμβάνοντες (ΥΠΖ΄.) ἑπόμενόν ἐστιν, ὅτι εἴγε τὰς ἄλλας ἐλέγχειν ἐπὶ πλάνῃ ἐθέλομεν, δεικνύειν ὀφείλομεν ψευδῆ τὴν παρὰ τοῦ ἑτέρου ὑπολαμβανομένην πρότασιν ἀληθῆ (ΤΛΑ΄.) τὸ δὲ τὰς ἄλλας ἐπὶ πλάνῃ ἐλέγχειν, ἀνασκευάζειν ἐστὶ τὰς αὐτάς· (ΥϟΗ΄.) ἄρα ὁπηνίκα τὰς ἄλλας ἐλέγχομεν, τηνικαῦτα ἀνασκευάζειν αὐτὰς λεγόμεθα.

### Φ΄.

Ἐντεῦθεν κατανοεῖν ἔξεστιν, ὅπως ἡ ἀνασκευὴ ὁποιασδηποτοῦν ἑτέρας προσβολῆς διενήνοχε. Προσβάλλομεν γὰρ ἄλλῳ μὴ ἀποχρώντως, τουτέστιν ἐξ ἀρχῶν ἀβεβαίων καὶ δεδανεισμένων δεικνύντες πλανηθῆναι τὸν ἕτερον.

ΦΑ΄.

## ΦΑ'.

Τὴν ἀληθῆ πρότασιν ἐ δυνατὸν ἀνασκευασθῆναι.

Δεικν. Τῆς γὰρ ἀληθῆς προτάσεως ἀνασκευαζομένης, ἡ ἀληθὴς πρότασις ἀποδειχθήσεται εἶναι ψευδής (ΤϞΘ'.) Ἐπεὶ δὲ πᾶν ὅ, τι ὀρθῶς καὶ κατὰ Κανόνα ἀποδείκνυται, ἀληθές ἐςὶ (ΤΥΘ'.) ἀληθὲς ἂν εἴη, καὶ τὸ τὴν ἀληθῆ πρότασιν εἶναι ψευδῆ· ἄτοπον δὲ καὶ ἀδύνατόν ἐςι τὸ τὴν ἀληθῆ πρότασιν εἶναι ψευδῆ (κατὰ τὸν ὁρισμὸν τῆς ἀντιφ.) ἄρα ἄτοπον καὶ ἀδύνατον τὸ τὴν ἀληθῆ πρότασιν ἀνασκευασθῆναι.

„ Δύναται μὲν προσβάλλεσθαι καὶ πολεμεῖσθαι ἡ ἀληθὴς πρότασις, τοῖς γε πολλὰ ἀμφί-
„ βολα ἀρχαῖς μὴ ἀποδεχομένοις ἢ ἀμφισβητοῦσι κατ' εἶδος ἀντιστρέφεσθαι δύναται, ἀ-
„ νασκευασθῆναι δὲ οὐδέποτε δυνατόν

## ΦΒ'.

Ἐκ τούτου σαφέστατα καθορᾷς, ὅτι τὴν ὀρθῶς καὶ κατὰ Κανόνας ἀποδεδειγμένην πρότασιν, ἀνασκευασθῆναι ἀδύνατον.

Δείκν. Ἐπεὶ γὰρ ἡ ὀρθῶς καὶ κατὰ Κανόνα ἀποδεδειγμένη πρότασις ἀναγκαίως ἐςὶν ἀληθής (ΤΛΘ'.) τὴν δ' ἀληθῆ πρότασιν ἀνασκευασθῆναι ἀδύνατον (ΦΑ'.) ἔσται τὴν ὀρθῶς καὶ κατὰ Κανόνα ἀποδεδειγμένην πρότασιν ἀνασκευασθῆναι ἀδύνατον.

## ΦΓ'.

Ἀποδείξας ἐν τὴν σὴν πρότασιν ὀρθῶς καὶ κατὰ Κανόνα, τὴν ἀντικειμένην ἤδη ἀνεσκεύασας.

Δείκν. Ἀποδείξας γὰρ τὴν σὴν πρότασιν ὀρθῶς καὶ κατὰ Κανόνα, τὴν αὐτὴν ἀληθῆ συναπέδειξας εἶναι (ΤΥΘ'.) ἀποδειχθήσης δὲ τῆς αὐ-

τῆς

τῆς ἀληθὲς, ἡ ἐναντία συναποδέδεικται εἶναι ψευδὴς (ὅτι ἡ ἐναντία πρότασις ἐ δύναται εἶναι ἅμα ἀληθὴς, ἄλλως ἂν ἐναντία ἐκ εἴη) καὶ ἑπομένως τὴν ἐναντίαν πρότασιν ἀνεσκευάσας (ΥηΘ'.)

## ΦΔ'.

Ω'σπερ ἄλλον ἐλέγχομεν, ἤτοι ἐκ τῶν προτέρων, ἢ ἐκ τῶν ὑςέρων (ΥΠΖ'.) καὶ ἤτοι διὰ δείξεως ὀρθῆς καὶ δεικτικῆς, ἢ διὰ πλαγίας καὶ ἀπαγωγικῆς (ΥΠΗ'.) ἕτω καὶ τῷ ἀνασκευάζειν δίδοται τρόπος, ἔκ τε τῶν προτέρων καὶ ὑςέρων, ἐδὲν ἧττον, καὶ ὀρθὴ, εἴτεν ἀποδεικτικὴ, καὶ πλαγία, ἤτοι ἀπαγωγικὴ ἀνασκευὴ χώραν ἔσχηκεν.

## ΦΕ'.

Ω'σπερ ἔτι ὁ ἀνασκευάσων τὸν ἕτερον τὸ νόημα τῆς προτάσεως, περὶ ἧς ὁ ἔλεγχος γίνεται διακεκριμένως ἀναπτύσσειν ὀφείλει (ΥηΗ.) οὕτως ὁ τὸν ἕτερον ἀνασκευάσων ἀναπτυσσέτω τὴν πρότασιν κατὰ τὸν νῦν τῷ ταύτην διαβεβαιωμένε, καὶ ἀποδεικνύτω, ὅτι ἕτος καὶ ἐκ ἄλλος ἐςὶν, ὁ τῷ Συγγραφέως, ὃν ἀνασκευάζειν μέλλομεν, νῦς, ὅπερ ἤδη καλῦμεν εἰδοποιεῖν τὴν ςάσιν τῆς ἀμφισβητήσεως.

## Φς'.

Δι' αὐτῷ δὴ τέτε πᾶσαν διαφεύγομεν λογομαχίαν, ἥτις ἐςὶ προσβολὴ προτάσεως, ἥπερ τὴν ἀποκρινομένην ἀληθῆ Ε'ννοιαν γινώσκει μὲν ὁ προσβάλλων, ἄλλοις δὲ ταύτην ἐκτίθεται ῥήμασιν.

## ΦΖ'.

Ε'κ τῶν τῷ ἐλέγχε Κανόνων τὰ λοιπὰ τῶν τῷ ἀνασκευαςῇ ἀπαιτεμένων κατανοεῖσθαι καὶ διακρίνεσθαι δύνανται, ἅτινα διὰ βραχέων ἀπαριθμήσωμεν.

Α'.

Α'. Εἴπερ ὁ ἕτερος ὁ ἀνασκευάζεσθαι μέλλων ἀνοικείῳ χρήσαιτο λέξει, ἔξεςαί σοι παραινεῖν αὐτῷ τὴν διόρθωσιν τῆς λέξεως.

Β'. Ο' ὀρθῶς ἀνασκευάσων τὸν ἕτερον, τὸν τρόπον δεικνύτω, καθ' ὃν ἐκεῖνος παρεμπίπτει τῇ πλάνῃ, καὶ εἰδικώτερον ἐκδεικνύτω τὴν πλάνην, ἢ ἐν ταῖς ἀρχαῖς, ἢ ἐν τῷ τρόπῳ τῇ συμπεραίνειν γεγενημένην.

Γ'. Ο' ἀνασκευάζειν μέλλων τὸν ἕτερον φυλαττέσθω, μήποτε τὴν τῇ ἀνασκευαζομένε ἐκταράξῃ προσοχὴν (Υ'ιΓ'.) καὶ ἑπομένως μακρὰν ἔςω σκωμμάτων καὶ τῶν ἀπανθρώπων λοιδωριῶν (Υ'ιϛ'.)

## ΦΗ'.

### Ε'ντεῦθεν ἕπεται, ὅτι τῶν ἐπικινδύνων συνεπειῶν, τῶν ὐκ ἐκ τῆς τῦ ἀνεσκευάζειν, ἀλλὰ τῆς τῦ βλάπτειν προαιρέσεως ἐιδοποιεμένων ἀφεκτέον ἐςί.

Δείκν. Ε'πεὶ γὰρ αἱ τοιαῦται συνέπειαι ἐπὶ μόνῃ τῇ τῶν ἑτέρων βλάβῃ εἰδοποιῦνται, καὶ ἡ τοιαύτη δόκησις, ἐπικίνδυνός ἐςιν, εὐχερῶς κατανοεῖται τὰς τοιαύτας Συνεπείας, τὰς ὐκ ἀληθείας, ἀλλὰ βλάβης ἐπιθυμίαν, καὶ χλεύης τῶν ἐναντίων σαφῶς δηλῦσας, τὸν ἀνασκευασθῆναι μέλλοντα τῶν ταραχωδῶν παθῶν πάντως ἀναπληρῦν. Ε'πεὶ δὲ ὁ ἐπὶ πλάνην ἐλέγξων τὸν ἕτερον ὐκ ὀφείλει ἐκείνυ διαταράττειν τὰ πάθη (Υ'ιΔ'.) ἑπόμενόν ἐςι, ὅτι ὁ ἀνασκευάσων τὸν ἕτερον, ὐκ ὀφείλει ἐκεῖνον γελοίαις καὶ ἐπικινδύνοις συνεπείαις ἐπιφορτίζειν.

„ Ε'θος ἐςὶ τοῖς πολλοῖς ἐν τῷ ἀνασκευάζειν, τὰ ἁμαρτημάτων θέμεθλα ἀνασπᾶν τε „ ἢ καταβάλλειν, τὸ δὲ τῆ ψεύδης θέμεθλον ἐγκαταλείπειν ἄψαυςον, ἐπὶ τὰς συνε„ πείας τῶν συνεπειῶν μάλιςα καταφεύγειν. Οὐ πάσας δὲ ὐδ' ἡμεῖς τὰς συνεπείας „ ἀποβάλλεσθαι ἀξιῦμεν; παραινῦντες μόνον, ὅτι πλείςας προφυλακὰς περὶ τὴν τῶν „ συνεπειῶν εἰδοποίησιν παρατηρεῖσθαι ὀφείλομεν, ὧνπερ τινὰς, ἢ τύτων τὰς κυριω„ τέρας ἐνταῦθα προσθήσομεν.

„ Α'. Αἱ Συνέπειαι, εἴπερ εἰδοποιοῖντο, ὐκ ἐκ τῶν λέξεων, γυμνῶς θεωρημένων, ἀλλ' „ ἐκ τῆς τύτων ἀληθῦς σημασίας εἰδοποιήθωσαν.

„ Β'. Αἱ Συνέπειαι εἰδοποιήθωσαν ἐκ τῶν ῥημάτων, ὐκ ἐκτὸς ἀλλ' ἐν αὐτοῖς τῦ ἑαυ„ τῶν ὑφάσματος θεωρημένων.

„ Γ'.

„ Γ΄. Τὰς Συνεπείας δεῖ ὁμαλῶς καὶ καταφερῶς συναπτέας ἀπορρεῖν ἐκ τῶν προτάσεων
„ οὐχὶ δὲ διὰ πολλῶν ἀποκρουσῶν ἐκβιάζεσθαι.
„ Δ΄. Ἀπαιτεῖται συνέπειάν τινα ἐκ τῶν Συγγραφῶν τινὶ προσκόπτεται ἀπαντλοῦντα, μὴ
„ πώποτε ἀνατίθεσθαι τῷ συγγραφεῖ, ἄτε δὲ τυχὸν μὴ κατιδόντι τὴν ἐπικίνδυνον ταύ-
„ την Συνέπειαν.
„ Ε΄. Μάλιστα δὲ τῶν Συνεπειῶν ἀφεκτέον, ὅσαι ἐπαγωγῇ μόνῃ καὶ βλάβης χάριν
„ ἐξεποιήθησαν (ΥΥΕ) τὰς προφυλακὰς ταύτας πλείοσι παραδείγμασι διασαφήσο-
„ μεν ἐν τῇ ἀναπτύξει. Ὅρα Ὀλμέτιον Διαλ. περὶ τοῦ πρέποντος ταῖς Συνε-
„ πείαις 1726. Οὐτενβέργου, καὶ τὸν Οὐϊσέλτον.

## ΦΘ΄.

ΟΙ τὰς Συνεπείας διαμορφοῦντες ἵνα τοὺς αὐτοῖς διαφωνοῦντας τῷ τῶν ἄλλων ἐκθῶσι γέλωτι, καὶ τῇ ἐκείνου φήμῃ κίνδυνον ἐπαγάγωσι τῆς τοῦ ἀληθοῦς σπουδῆς ἀμελοῦντες, τέκτονες τῶν Συνεπειῶν λέγονται.

„ Οὗτοι δὲ οἱ τὰς διαπεπλασμένας γελοίας καὶ ἐπικινδύνους βλάβας χάριν ἐπισωρεύοντες.
„ Α΄. Τὴν πρώτην αἳ διαμορφοῦσι Συνέπειαν ἀβεβαίως λαμβάνουσιν.
„ Β΄. Ἐκ ταύτης τῆς ἄνω λόγου προσλαμβανομένης ἑτέρας πλείους παράγουσι, καὶ τὰς
„ τῶν διαφωνούντων λέξεις, ὡς ἀντικειμένην διασπείροντες σημασίαν, σπουδάζουσιν αὐτοῖς
„ κινδυνώδη καὶ ἰοβόλον κινδυνώδεις καὶ ἰοβόλους λόγους ἀνατίθεσθαι.

## ΦΙ΄.

### Τούτους δὲ τοὺς τῶν συνεπειῶν τέκτονας ἀνοητότατα διαπράττεσθαι ἐν τῷ ἀνασκευάζειν, ἐκ τῶν εἰρημένων σαφές.

Δεικν. Ἐπεὶ γὰρ ὁ τῶν Συνεπειῶν τέκτων διὰ τῶν αὐτοῦ γελοίων συνεπειῶν ἐλαττοῦν τὴν φήμην καὶ τὴν τύχην τοῦ διαφωνοῦντος σπουδάζει (ΦΘ΄.) Ἕπεται ὅτι τὸν διαφωνοῦντα ἐν τῇ στάσει τῶν ταραχωδῶν ἐπιβάλλειν παθῶν, καὶ ἑπομένως μέσα προσλαμβάνειν ἐναντία τῷ ἐλέγχῳ (Υιϛ΄.) Καὶ ταύτῃ τοὺς τῶν Συνεπειῶν τέκτονας ἀνοητότατα ποιεῖν, ὁπηνίκα τοὺς ἄλλους ἀνασκευάζειν ἐθέλουσι, πλείω τοῦ ἱκανοῦ κατανοεῖται.

ΦΙΑ΄.

## ΦΙΑ'.

Ε'πιχειρήματα ἀπὸ φθόνυ προηγμένα, καλῦνται οἱ λόγοι, οἷς χρώμεθα, ἵνα τὸν διαφωνῦντα καὶ τὰ ἐκείνῳ ἀρέσκοντα ἀπεχθῆ τοῖς ἄλλοις, ὡς καταφρονοῖντο καὶ ὀλιγωροῖντο, ἐπιτελέσωμεν.

## ΦΙΒ'.

Ε'ντεῦθεν ὁρᾷς τὺς τῶν συνεπειῶν τέκτονας ἐπιχειρήματι χρῆσθαι ἐκ φθόνυ παρηγμένῳ (Φϛ'. ΦΙΑ'.)

## ΦΙΓ'.

Οἱ ἐπιχειρήμασιν ἐκ φθόνυ παρηγμένοις ἐν τῷ ἀνασκευάζειν κεχρημένοι ποικίλας προσλαμβάνυσι μηχανάς, δι' ὧνπερ τῦ ἀντικειμένυ τὸν βίον καὶ τὴν φήμην εἰς κίνδυνον ἀγαγεῖν σπεύδυσι.

„ Α'. Τὴν γνώμην τῦ ἀνασκευασθῆναι μέλλοντος κακῶς ἀναπτύσσυσι

„ Β'. Τὰ ἐκείνυ δόγματα παραβάλλυσι πρὸς τὰ ἀρέσκοντα τοῖς ἀδοκίμοις, ἢ ἀπεχθέσιν ἀνθρώποις.

„ Γ'. Περιδινῦσι τὴν δύναμιν τῆς ζητήσεως.

„ Δ'. Ο'νόμασι φθονεροῖς τὴν τῦ ἀντικειμένυ διδασκαλίαν ἀτιμάζυσι.

„ Ε'. Α'ποσιωπῶσι τὰ ἐπιχειρήματα, οἷς περ ὁ ἀντικείμενος κέχρηται.

„ ϛ'. Παραλείπυσι τὰ χρήσιμα, ὅσα περ ἐκ τῆς τῦ ἀντικειμένυ γνώμης ἐλπίζεται, ἢ τὰ „ ἀλυσιτελῆ ἐπισωρεύυσι, δι' ὧν περ ἐκείνη καταβάλλεται. Πλείυς τρόπυς, οἷς τι- „ σιν οἱ ἐπιχειρήμασιν ἐκ φθόνυ παραγομένοις χρῆσθαι εἰωθότες, ὡς ἂν ὁ ἀντικείμενος „ μεμπτὸς εἴη παρὰ τοῖς ἄλλοις, ἐπαριθμεῖ ὁ Κληρικὸς ἐν τῇ Θεολογ. Διαλ. περὶ Θεο- „ λογικῦ ἐπιχειρήματος ἀπὸ φθόνυ παραγομένυ.

## ΦΙΔ'.

### Ε'κ τύτων συνάγεται, ὅτι τὸ ἀπὸ φθόνυ παραγόμενον ἐπιχείρημα ἐν τῷ ἀνασκευάζειν ὐδαμῦ προσληπτέον.

Δεικν. Ε'πεὶ γὰρ ταραχωδῶν παθῶν τὸν ἀντικείμενον ἀναπληρῦν ὐκ ὀφείλομεν (ΥιΔ'.), ἕπεται ὅτι τοιαῦτα ἐπιχειρήματα τὰ τὺς ἄλλυς ταρα-

χωδῶν ἀναπιμπλῶντα παθῶν, ἐν τῷ ἀνασκευάζειν ἢ προσλαμβάνειν χρεών. Ἐπεὶ δὲ τὸ ἀπὸ φθόνου παραγόμενον ἐπιχείρημα πάθει ὀργῆς τε καὶ λύπης ἐπιβάλλει τὸν ἀντικείμενον (ὅτι ἐν τούτῳ τῷ ἐπιχειρήματι ἡ τοῦ ἀντικειμένου, ἤτοι διαφωνοῦντος φήμη καὶ τύχη ῥυπῆται), πρόδηλον ὅτι τὸ ἀπὸ φθόνου παραγόμενον ἐπιχείρημα ἐν τῷ ἀνασκευάζειν οὐδαμοῦ προσληπτέον.

„ Τοὺς ἀνθισταμένους καὶ προσβάλλοντας τούτους, οἵτινες ἐπικινδύνοις συνεπείαις καὶ ἐπιχειρήμασιν ἀπὸ φθόνου παρηγμένοις κεχρημένοι, ἐπὶ προσχήματι τῇ τῆς ἀληθείας προΐστασθαι τῇ τῶν διαφωνούντων φήμῃ καὶ τύχῃ καὶ αὐτῇ ἔτι τῇ ζωῇ κίνδυνον ἐπαγαγεῖν σπεύδουσι, τούτους ἀποκαλεῖ ὁ Βόλφιος Διώκτας. Ὅρ. Λογ. Λατ. §. 752.

ΚΕ-

# ΚΕΦΑΛΑΙΟΝ Θ.

## Περὶ τοῦ τρόπου τοῦ ἑαυτῶν προσατεύειν.

### ΠΑΡΑΓΡΑΦΟΝ ΦΙΕ.

Ο ἀποδεικνύων ἑαυτὸν μὴ ἀνασκευασθῆναι ὑπὸ τοῦ ἑτέρου, προσατεύειν ἑαυτῷ κατὰ τοῦ διαφωνοῦντος λέγεται. Ο δὲ μὴ ἀποχρώντως δεικνύων ἑαυτὸν μὴ ἀνασκευασθῆναι ὑπὸ τοῦ ἑτέρου, πειρᾶσθαι τῆς αὐτοῦ προσασίας λέγεται.

### ΦΙς.

Ἐκ τούτου δηλοῦται, ὅτι τῆς προτάσεως ἀληθῶς ἀνασκευασθείσης οὐδεμία προσασία χώραν ἔχειν δύναται. Καίτοιγε τῶν ἀπείρων προσασίας δυναμένων πειρᾶσθαι.

Δείκν. Τῆς γὰρ προτάσεως τῇ ἀληθείᾳ ἀνασκευασθείσης ἀποδείκνυται τὴν πρότασιν εἶναι ψευδῆ (ΤιΘ.), καὶ ἑπομένως ἔτι ἀναγκαίως ἡ ἀνασκευασθεῖσα πρότασις ἔσαι ψευδής, ὅτι πᾶν τὸ ὀρθῶς ἀποδεδειγμένον ἀληθὲς εἶναι ὀφείλεται (ΤιΘ.)· Θῶμεν οὖν κατὰ τῆς ἀνασκευασθείσης προτάσεως χώραν ἔχειν τὴν προσασίαν. Οὕτω δὲ ἀποδείκνυται πάντως μὴ ἀνασκευασθῆναι τὴν πρότασιν, καὶ ἑπομένως μὴ εἶναι ψευδῆ· (ΦΙΕ.) Ἀληθὲς οὖν ἔσαι, τὴν ἀνασκευασθεῖσαν πρότασιν μὴ εἶναι ψευδῆ. Τούτῳ δὲ τῷ λόγῳ μία καὶ ἡ αὐτὴ πρότασις ἔσαι ψευδὴς ὡς ἀνασκευασθεῖσα,

καὶ εἰ ἔςαι ψευδὴς, ὡς τῆς προςασίας χώραν ἐχούσης. Ἐπεὶ δὲ ἀδύνατόν ἐςι, μίαν καὶ τὴν αὐτὴν πρότασιν εἶναι ἅμα ψευδῆ καὶ μὴ ψευδῆ (κατὰ τὸν ὁρισμ. τῆς ἀντιφ.) ἀδύνατον ἔτι ἐςὶν ἐν τῇ προτάσει τῇ ἀληθῶς ἀνασκευασθείσῃ δύνασθαι χώραν ἔχειν τὴν προςασίαν. Ἐπεὶ δ' οὖν οὐκ ἀποχρώντως πολλάκις δείκνυσθαι δυνατὸν τὴν ἀληθῶς ἀνασκευασθεῖσαν πρότασιν, μὴ ἀνασκευασθῆναι. Δῆλον ὅτι τῆς προςασίας ἀπόχρεων χώραν ἐνταῦθα δύνασθαι ἔχειν (ΦΙΕ.)

## ΦΙΖ.

Περὶ τῆς προςασίας τὰς ἑπομένας ἔτι σημειῶσαι κανόνας καὶ φυλακάς.

„ Α'. Ἐὰν πρότασίς τις ἀληθὴς ἀποδέδεικται, ϗ ἐξ ἄλλων ὁ αὐτὸς πολεμῆται, ἔχειν ταύτης προςατεύειν διὰ πολλοῦ. Ἀσφαλὲς γάρ ἐςι, τὸ μὴ ἐξεῖναι ταύτην ἀνασκευάζεσθαι. (ΦΗ.)

„ Β'. Εἴγε τὴν τῶν ῥημάτων ἔννοιαν ἀμύνεσθαι χρὴ, ἀποχρώντως περὶ ταύτης προϊςάτωσας, τὸ, τί σημαίνεται τούτοις τοῖς ῥήμασιν, ἀποδείξας. Εἰδὲ τὴν ἔννοιαν τὴν τοῖς σοῖς ῥήμασι συνημμένην αὐθάδως ὁ προςδιαλεγόμενος ἀποςρέφεται, ἢ κακοτέχνως τὰ ῥήματα εἰς ἑτέραν μεταςρέφεται ἔννοιαν, δεῖ ἔτι δεῖ προςατεύειν σοι τῶν ῥημάτων.

„ Γ'. Ἀρχὰς πλάνης, ἢ τρόπον ψευδῆ τῆς ἐπιχειρήσεως ἐπαγαγεῖν σοι μέλλοντος τοῦ προςβάλλοντος, ἐπὶ τῆς προςασίας χρεὼν ὀρθὰς ϗ κατὰ κανόνα τὰς ἀρχὰς ἀποδεῖξαι, ϗ τὴν τοῦ σχήματος κακίαν παρὰ τοῦ ἀντικειμένου ἐπάγεσθαί σοι, διὰ τὴν παρ' ἐκείνῳ τῶν λογικῶν κανόνων ἄγνοιαν.

„ Δ'. Εἴποτε ὁ προςβάλλων τὴν ἐκ τῶν καθωμολογημένων σοι πραγμάτων συνέπειαν, ἄτοπον οἴεται, ἐν τῇ προςασίᾳ ἀποδεικτέον ἐςὶν, ἢ τὴν συνέπειαν ὀρθὴν εἶναι, ἢ γοῦν ἐκ τῶν καθωμολογημένων σοι μὴ παράγεσθαι

„ Ε'. Κατὰ τοῦ προςβάλλοντος τὸν ὕβρεσι μᾶλλον ϗ σκώμμασιν, ἤπερ ἐπιχειρήμασιν ἐπιςρατεύοντος, ἠθικῆς σοι δεῖ προςασίας. Ὅτι δὲ ὁ ἀντικείμενος ὁ τοῖς ἡμῖν καθωμολογημένοις προςβάλλων, ϗ τὴν ἡμῶν τιμὴν λοιδορίαις ἐξαμαυρῶσαι σπεύδων τῶν ἀξιωματικῶν τισὶ ϗ ἀξιοπίςων, ϗ πλέον παρὰ τοῖς πολλοῖς δυναμένων, προςασίας τοιαύτης σοι δεῖ, ἔτι δ' ὅτι ϗ δεινοτέρας. Τῷ γὰρ τοιούτῳ ἀνταγωνιςῇ ϗ ἀντικειμένῳ διὰ τὸ ἀξιωματικὸν, ὡς ὅπερ ἀγορεύσῃ οἱ πλείους ἀπονέμουσι πίςιν, ϗ ἔτι δὲ οὐχ ὅπως ἡ σὴ φήμη ϗ τύχη ἐπὶ ξυροῦ ἵςαται ἀκμῆς κινδυνεύουσα, ἀλλὰ ϗ αὐτὴ ἡ ἀλήθεια πολλάκις καταπατεῖται· κατὰ δὲ τῶν ἄλλων, ὧνπερ ἡ ἄγνοια ϗ τοῦ λοιδορεῖν ἐπιθυμία τοῖς πᾶσιν ἔγνωςαι, οὐ μᾶλλον ἐςὶν ἀναγκαία ἡ προςασία, ἤπερ

„ κατὰ

„ κατὰ τῶν λοιδοριῶν τῶν ὥσπερ ἐξ ἁμάξης φερομένων σοὶ διερχομένῳ παρά τινος μα-
„ νιώδους, ἢ ὑπεράγαν οἰνόφλυγος·

„ ς´ Τέλος, κατὰ τῶν Τεκτόνων τῶν συνετῶν, καὶ πάντων τῶν ἐπιχειρήματι ἐκ φθόνου
„ παρακινουμένων χρωμένων (ΦΙΓ´.) Τὴν σαυτοῦ προστασίαν ἀναλαμβάνων τὴν τῶν τοι-
„ ούτων ἀνθρώπων μοχθηρίαν καὶ περὶ τὸ βλάπτειν σπουδὴν τοῖς ἄλλοις δείκνυε, καὶ τὸν σὸν
„ πρὸς αὐτοὺς οἶκτον μᾶλλον, ἤπερ ὀργήν τε καὶ ἀγανάκτησιν δηλοποίει, καὶ οὕτω σύ τε
„ νικητὴς ἀπελεύσῃ, καὶ ἡ ἀλήθεια οὐδὲν ἧττον ἀσάλευτος στήσεται

## ΦΙΗ´.

Τὰ τοιαῦτα συγγράμματα ἐν οἷς περιέχονται προστασίαι καὶ ὑπερασπίσεις κατὰ τῶν ἀριθμέντων τὰς ἀπάτας καὶ πλάνας, ἀπολογητικὰ λέγονται. Συγγράμματα δὲ ἀπολέμητα λέγονται, ἐν οἷς περ αἱ ἀπάται καὶ πλάναι ἀνασκευάζονται, καὶ αἱ πολεμηθεῖσαι τῶν ἄλλων γνῶμαι προστατεύονται. Εἰσὶν ἔτι καὶ ἐριστικὰ συγγράμματα, ὧνπερ οὐκ ἔδει τὸν ἀριθμὸν ἐπὶ πλέον αὔξεσθαι.

ΚΕ-

# ΚΕΦΑΛΑΙΟΝ Ι'.

## Περὶ τοῦ τρόπου τοῦ Διαλέγεσθαι.

### ΠΑΡΑΓΡΑΦΟΝ ΦΙΘ'.

Διάλεξίς ἐστιν ἀμοιβαία προτάσεώς τινος προσβολὴ καὶ πρόσκρουσις ἐνώπιον γινομένη.

### ΦΚ'.

Τὸν θέσιν, ἤτοι πρότασιν τῆς εἰς διάλεξιν προκειμένης προσβάλλοντα ἀνθιστάμενον λέγομεν, τὸν δὲ τῆς θέσεως κατὰ τῆς προσβολῆς προστατεύοντα, ἀποκρινόμενον. Ὁ δ' ἐκ μέρους ὢν τοῦ ἀποκρινομένου, κἀκείνῳ ἐπικουροῦντί που ἐπικουρῶν, ἐπιστάτης λέγεται.

### ΦΚΑ'.

Τοῖς διαλεγομένοις ἀπαιτεῖται γενικῶς τὰ ἑπόμενα.

„ Α'. Οἱ περὶ ὑποθέσεώς τινος διαλέγεσθαι ἀξιοῦντες, τὴν ὑπόθεσιν περὶ ἧς ἡ διάλεξις „ ὀρθῶς γινωσκέτωσαν.

„ Β'. Τὰς γλώσσας ἀσκοῦντας καθ' ἣν ἡ διάλεξις γίνεται ἐμπείρως ἐχέτωσαν πᾶσιν ἀεὶ „ προσέχοντες, καὶ τῷ νῷ διακρίνοντες.

„ Γ'. Οἱ διαλεγόμενοι τῶν ταραχωδῶν παθῶν κρείττους ἔστωσαν, ὀργῆς μάλιστα καὶ θρασκα-„ νίας, ὡς ἂν μὴ δοκοῖεν δικάζεσθαι μᾶλλον, ἢ διαλέγεσθαι.

### ΦΚΒ'.

## ΦΚΒ'.

Οἱ διαλεγόμενοι περὶ τοὺς ἀντιφατικοὺς ὅρους ὀφείλουσιν ἀεὶ ἀναστρέφεσθαι.

Δεικν. Ἐπεὶ γὰρ τῶν διαλεγομένων ὁ ἕτερος τῇ προκειμένῃ προτάσει εἰς διάλεξιν προσβάλλει (ΦΙΘ'.) καὶ ἑπομένως, ὡς ψευδὴς ὑπολαμβάνεται (ΦΕ'.), ἕτερος δὲ τῆς αὐτῆς προΐσταται (ΦΙΘ'.) καὶ ἑπομένως ἀληθῆ ταύτην οἴεται (ΦΙΕ'.) Ἑπόμενόν ἐστι τὸν μὲν ἀποφάσκειν, τὸν δὲ ὀφείλειν καταφάσκειν τὴν θέσιν. Οἱ δὲ τὴν αὐτὴν θέσιν καταφάσκοντες ἅμα καὶ ἀποφάσκοντες ἀντιφάσκειν ἀλλήλοις λέγονται (κατὰ τὸν ὁρισμ. τῆς ἀντιφ.) ἄρα οἱ διαλεγόμενοι περὶ τοὺς ἀντιφατικοὺς ὅρους ὀφείλουσιν ἀεὶ ἀναστρέφεσθαι.

## ΦΚΓ'.

Ἐντεῦθεν τρεῖς προτάσεις ὡς πορίσματα ἀναφαίνονται.

„ Α'. Ὅτι τοῖς διαλεγομένοις ὀφείλεται ἐν ταῖς τοῦ ὑποκειμένου Ἐννοίαις ἀλλήλοις
„ συνᾴδειν, ἐπὶ πάσῃ ἀντιφάσει τοῦ αὐτοῦ ὑποκειμένου (ΣΛΗ'.)
„ Β'. Τὸν ἀνθιστάμενον ὀφείλειν τὴν πολεμουμένην πρότασιν προαναπτύσσειν ὀρθῶς, τό
„ τε ὑποκείμενον καὶ κατηγορούμενον αὐτῆς διακεκριμένως σαφηνίζειν, ὡς ἂν ἐξῇ κατα-
„ νοηθῆναι, ἄγε κατὰ τὸ ὑποκείμενον συμφωνῶσι, καὶ δι᾽ αὐτὸ τοῦτο ὁ προανθιστάμε-
„ νος τὴν τῆς ἀμφισβητήσεως στάσιν διαμορφοῦν λέγεται. (ΦΕ'.)
„ Γ'. Τὸν ἀνθιστάμενον, μὴ προδήλου οὔσης τῆς τῶν λέξεων σημασίας, ἀπὸ τοῦ ἀπο-
„ κρινομένου τὴν τῶν ἐννοιῶν καὶ λέξεων ἀνάπτυξιν ἀπαιτεῖν πρεπωδέστατον, ἵνα μὴ λο-
„ γομαχίαις λάθωσιν ἐμπεσόντες οἱ μαχόμενοι καὶ ἐστεμμένας περὶ αἰγὸς ἔριν, ὡς ἂν
„ φαῖεν Λατῖνοι, ὡς δ᾽ ἂν Ἕλληνες εἴποιεν, περὶ ὄνου σκιᾶς, ἡ διάλεξις γίγνηται.

## ΦΚΔ'.

Ὑπὲρ ὧν οἱ διαλεγόμενοι κατὰ τὴν σημασίαν τῶν λέξεων ἀλλήλοις συνᾴδουσιν, ὁ ἀνθιστάμενος ὁ τῇ θέσει προσβάλλων, ἤτοι ὡς ψευδῆ ὑπολαμβά-

νων

σων (ΦΚ΄.) τὴν γνώμην ἐμπεδέτω τὴν ἐναντίαν τῇ θέσει τῇ εἰς διάλεξιν προκειμένῃ, ὅθεν.

„ Α΄. Ὁ Ἀνθιςάμενος κοσμίως ϗ ἐν τάξει ὡς οἷόν τε συλλογιςικῇ τὰ ἐπιχειρήματα
„ προφερέτω, ὡς ἂν ὁ αὐτοῦ νοῦς, ϗ ἡ τῆς δείξεως δύναμις κρεῖττον ἐπιγινώσκοιτο.
„ Β΄. Ὁπηνίκα τῆς τοῦ ἀνθιςαμένου συλλογιςικῆς διανοήσεως τὸ συμπέρασμα τῇ ἀπο-
„ κρινομένου θέσει ἀμέσως ϗ ἐκ διαμέτρου ἀντίκειται, τότε δὴ ὁ ἀνθιςάμενος τὰς προ-
„ κειμένας, εἴγε σαφηνείας ἔτι δέονται, ϗ ἡ δεῖξις αὐτῶν παρὰ τοῦ ἀποκρινομένου ἀπαι-
„ τεῖται, καινοῖς ἀεὶ συλλογισμοῖς κατασφαλιζέτω, ἔς τ' ἂν ἐπὶ τὰς βεβαίας ϗ ἀ-
„ ναμφιβόλους ἀρχὰς γένηται.
„ Γ΄. Φυλαττέσθω ἔτι ὁ ἀνθιςάμενος πάσας τὰς σοφιςικὰς φιλοκερτομίας ϗ ὕβρεις,
„ οὕτω γὰρ τοῦ ἐλέγχου οὐκ ἐπιτεύξεται. (ΤυΕ.) Ἀλλ' ἐντεῦθεν Κυκλωτικαὶ ἀναφυ-
„ ήσονται ἔριδες.
„ Δ΄. Τοῦ ἀποκρινομένου τοῖς τοῦ ἀνθιςαμένου ἐπιχειρήμασιν ἀπαντῶντος ἑκάςῃ λέξει ϗ
„ διαιρέσει τοῦ ἀποκρινομένου προσέχων ὁ ἀνθιςάμενος καινὰς ἐξαιρέσεις διαμορφούτω,
„ ϗ μάλιςα τὴν τῶν ἐπενεχθεισῶν ἐννοιῶν ἀνάπτυξιν ϗ ἐφαρμογὴν τὸν ἀποκρινόμενον
„ ἀπαιτείτω.
„ Ε΄. Ὁ ἀνθιςάμενος ἀεὶ καθοράτω, εἴγε τὸν ἀποκρινόμενον ἐκ τῶν αὐτῷ καθομολο-
„ γημένων ἐπὶ πλάνῃ ἐλέγχειν ϗ ἀνασκευάζειν, ϗ ὡς οὕτως οἰκείῳ τῷ αὐτοῦ αὐτὸν
„ κατασφάττειν δύναιτο ξίφει. Ἐντεῦθεν ἀναφαίνεται ἡ κατ' ἄνθρωπον διάλεξις.

Ταῦτα σχεδὸν ἐςὶ τὰ τοῖς ἀνθιςαμένοις προσήκοντα, πλείους δ' ἔτι προφυλακὰς περὶ τὴν ὀρθὴν ἀνθίςασιν παρατηρητέας ἐν ταῖς ἡμετέραις σχολαῖς ἐπάξομεν.

## ΦΚΕ΄.

Τοῦ ἐπιχειρήματος τοῦ ἀντικειμένου προφερομένου, ὁ ἀποκρινόμενος τὰ ἑπόμενα παρατηρείτω.

„ Α΄. Ὁ ἀποκρινόμενος ὁλόκληρον τὸν συλλογισμὸν, ὅςπερ ἀπὸ τοῦ ἀντικειμένου προ-
„ ενήνεκται, ὡς ἂν δῆλον γένηται, εἴπερ τὸν τοῦ ἀνθιςαμένου νοῦν ϗ ἔκληψιν κατα-
„ νοοίη. Ἐν ᾧ δὴ συμβάματι ὁ ἀποκρινόμενος λέγεται τὸ ἐπιχείρημα προσλαμ-
„ βάνειν.
„ Β΄. Προσλαμβανομένου τοῦ ἐπιχειρήματος, ἔτι ὁ ἀποκρινόμενος διασκοπείτω περὶ πα-
„ σῶν τῶν προτάσεων, εἴγε τὴν ὀφειλομένην ἔχοιεν δύναμιν· ὧνπερ ταύτης ἢ ἐκεί-
„ νης ἀμφιβόλου φαινομένης, ἀπαιτείτω τὴν ταύτης ἐμπέδωσιν.

„ Γ΄.

„ Γ'. Τῆς ἐμπεδώσεως τῆς ἀμφιβόλου προτάσεως ἀπὸ τοῦ ἀνθισταμένου προενεχθείσης διαῤῥαχθήτω τῷ ἀποκρινομένῳ τὸ τοῦ ἐπιχειρήματος νεῦρον.

## ΦΚς'.

Ὁ ἀποκρινόμενος οὖν ἀποκρινέσθω οὕτω.

„ Α'. Τὴν τῶν συλλογισμῶν μορφὴν διοράτω, εἴγε τὸ διανόημα τοῖς συλλογιστικοῖς κανόσι σύναδον ἐστί.

„ Β'. Ἀποκρινέσθω κατὰ τὴν ὕλην, ὥστε ἢ ὁμολογοῦν ἅπαν τὸ ἐπιχείρημα, ὅπερ ἀμέλει μὴ κατὰ τῆς θέσεως ὂν καταφέροιτο, ἢ τὸ τοῦ ἀνθισταμένου ἐπιχείρημα διαῤῥηγνύναι διὰ τῆς ἐνστάσεως, καθ' ἥνπερ διὰ παραδείγματος ἐναντίου προφερομένου ἀποδείκνυται τὴν τοῦ ἀντικειμένου ἀπόφανσιν μὴ εἶναι καθόλου, ἢ δι' ἀναστροφῆς καὶ ἀντιστροφῆς, ἢ τέλος διὰ διαιρέσεως καὶ δι' ὁρισμοῦ.

„ Περὶ ἑκάστου τῶν τοῦ ἀποκρίνεσθαι τούτων τρόπων, πλεῖα ἐπάξω ἐν τῇ παραδόσει καὶ προφυλακὰς ὑποτυπώσω εἰς χρῆσιν τῶν ὅσοισπερ ἐνίοτε ἐν τῷ τῆς ἀποκρίσεως καιρῷ ἡ γλῶσσα καταφιμοῦται.

## ΦΚΖ'.

Αἱ τοῦ διαλέγεσθαι μέθοδοι ποικίλαι εἰσὶν, ἁπάντων ἔμπης ἡ συλλογιστικὴ εἰκότως προκρίνεται.

Δεικν. Ἐν γὰρ τῇ Συλλογιστικῇ Μεθόδῳ διὰ τῶν νοημάτων αἱ προτάσεις πᾶσαι εἰδικῶς ἀριθμοῦνται, ὥστε καὶ τὸν ἀνθιστάμενον τῷ αὐτοῦ ἐπιχειρήματι συλλογιστικῶς προτιθεμένῳ ἐπικρατεστέραν προστιθέναι ἰσχὺν, καὶ τὸν ἀποκρινόμενον τὰς πηγὰς τῶν ἀπατῶν τῶν ἀπὸ τοῦ ἀντικειμένου προφερομένων ἀποκαλύπτειν εὐτυχέστερον δύνασθαι. Ὅθ' οὕτω λυσιτελεστάτην εἶναι τὴν τοῦ διαλέγεσθαι μέθοδον, ἐν ᾗ διὰ συλλογισμῶν ταῖς προτάσεσι προσβάλλομεν, ἢ ταύτας ἀνασκευάζομεν.

„ Ἐνίοτε ἡ διάλεξις γίνεται δι' ἐρωτήσεων καὶ ἀποκρίσεων, καλεῖται δὲ ἡ μέθοδος αὕτη Ἐρωτηματικὴ καὶ Σωκρατική. Ἐνίοτε δὲ ἡ διάλεξις δι' ἀπαγωγῆς τελεῖται τοῦ ἀνθισταμένου τὸν ἀποκρινόμενον, καὶ τοῦ ἀποκρινομένου τὸν ἀνθιστάμενον εἰς ἄτοπον ἐπάγοντος· ἡ μέθοδος αὕτη καλεῖται Μεγαρική. Ἀνθ' ὅτου Σωκρατικὴ μὲν αὕτη, Μεγαρικὴ δὲ ἡ ἑτέρα καλεῖται ἐνώπιον δειχθήσεται, καὶ ἅμα τέχναι τινὲς τῶν σοφιστικῶς διαλεγομένων ἀποκαλυφθήσονται.

## ΦΚΗ.

Τὸ τῆς διαλέξεως τέλος ποικίλλεσθαι δύναται· εἰσὶ γὰρ οἱ εἰς ἐπίκτησιν τῆς τοῦ λέγειν ἑτοιμότητος, καὶ τῆς ἀγχινοίας ταχύτητα, ἄλλοι δὲ πρὸς ἐπίδειξιν, καὶ ἄλλοι δι' ἄλλο τι αἴτιον διαλέγονται.

Ἀλλ' ἡ τῆς ἀληθείας ἐξέτασις τὸ κύριον τέλος τῆς διαλέξεως εἶναι ὤφειλε· σπανίως δὲ τοῦτο, οὐ τοσοῦτον τῆς διαλέξεως, ὅσον ἐκ τῆς τῶν διαλεγομένων μοχθηρίας συμβαίνει, ὅρα Ἄνσχιον ἐν τῇ Ἰδέᾳ τῆς ὀρθῆς διαλέξεως· ἐν Φραγκφουρτίῳ 1722. 410. καὶ Σχεΐδερ ἐν τῇ προχωρήσει τοῦ διαλέγεσθαι, Ἄλλῃ 1718.

,, *Νεωςὶ διαλέξεώς τινος μέμνημαι γεγονώς· ἆρα αἱ διαλέξεις γερμανιςὶ καθίςαθαι*
,, *δύνανται; ἀπέφασκον δὲ τοῦτο τινὲς δεδιότες, μήποτε ὀλιγωρηθείσης τῆς Λατινίδος,*
,, *ἡ βάρβαρος φωνὴ ἐπεισέλθοι.*

,, *Πεισθείην δ' ἂν ἔγωγε, ὅτι ἡ διάλεξις, Ἑβραϊςὶ, Περσιςὶ, Ἀραβιςὶ, καὶ Τευτονιςὶ*
,, *καθίςαθαι δύναται, τῶν λέξεων κατ' ἀρέσκειαν σημᾶιν ὄντων τῶν ἐννοιῶν (ΡΚΔ.)*
,, *ἀλλ' εὐβουλότερον ἡγοῦμαι τὴν λατινίδα (φαίημεν δ' ἂν ἡμᾶς οἰκειότερον τὴν ἑλλά-*
,, *δα φωνὴν) τὴν τῶν σοφῶν οἰκογενῆ ἐπικρατεῖν ἐν ταῖς διαλέξεσιν, ἤπερ ταύτης*
,, *ἀμεληθείσης ἄνευ λόγου νεωτερίζειν.*

Τέλος, τῷ δὲ θεῷ κλέος.

ΠΓ.

# ΠΙΝΑΞ

## Τῶν ἐξοχωτέρων πραγμάτων, ὧν οἱ ἀριθμοὶ τὰ παράγραφα δεικνύουσι.

## Α΄.


Ἀφῃρημέναι Ἰδέαι τί καί; . . . . . . . . . . ΠΗ΄.
Ἀφῃρημέναι Ἰδέαι διὰ τῆς τίνος ὅπως διαμορφοῦνται; . . . . ΤΟΘ΄.
Ἀφαιρέσεως μεσολαβούσης αἱ Ἰδέαι ἀπὸ μερικῶν καθόλου ἀποτελοῦνται; . ΠΙΔ΄.
Ἀφαιρεῖν τί ἐστι; . . . . . . . . . . . ΠΗ΄. ΤΟΘ΄.
Ἀνάλυσις Ἰδεῶν τί; . . . . . . . . . . Τϛ΄.
Ἀνάλυσις Ἰδεῶν μέχρι τίνος συνεχιστέα; . . . . . . ΤΖ΄.
Ἀνάλυσις δείξεως τί; . . . . . . . . . . ΤΤϛ΄.
Ἀνάλυσις προτάσεων, τί; . . . . . . . . . ΣΙϛ΄.
Ἀπαγωγικὴ δεῖξις τί; . . . . . . . . . . ΤΤΔ΄.
Ἀνασκευὴ τί; . . . . . . . . . . . ΤυΕ΄.
Ἀξιοπιστία προσώπων, ἐν τῇ Ἱστορικῇ πιθανότητι λαμβάνεται ἀντὶ ὑποθέσεως. ΤΙΒ΄.
Ἀξίωμα τί; . . . . . . . . . . . . ΣΚΒ΄.
Ἀξιώματα ὅπως ἐκ τῶν ὁρισμῶν ἐξάγοιντο; . . . . . . ΤΜΒ΄.
Ἀξιώματά εἰσι βέβαια. . . . . . . . . . . ΤΠΔ΄.
Ἀντιφατικὴ πρότασις τίς: . . . . . . . . . ΣΛΒ΄.
Ἀντιστροφὴ τῶν προτάσεων τίς; . . . . . . . . ΣΛΕ΄.
Ἀντιστροφὴ τῶν προτάσεων ποσαπλῆ; . . . . . . . αὐτόθι
Ἀπαγωγὴ εἰς ἄτοπον τί; . . . . . . . . . ΤΓ΄.
Προσαπτεῖν ἑαυτῷ θέσιν τινὶ τί; . . . . . . . . ΦΙΕ΄.
Προστασία πότε χώραν ἔχει, πότε δ᾽ οὔ; . . . . . . . ΦΙϛ΄.
Ἀνδραποδιστὴς τίς; . . . . . . . . . . ΤΟΔ΄.

Προςασίας προφυλακαὶ παρατηρητέαι: . . . . . . . . ΦΙΖ'.
Προςασίαν τίς πειρᾶσθαι λέγοιτο; . . . . . . . . ΦΙΕ'.
Ἀμφισβητεῖν τίς λέγοιτο; . . . . . . . . . ΤΛΗ'.
Ἀμφισβητεῖν περὶ τίνων πραγμάτων ἔξῃ; . . . . . . ΤΛΘ'.
Ἀμφισβήτησις ἐπὶ τῇ τῶν προκριμάτων ἐξαιρέσει ὑπεργεῖ: . . . . . αὐτόθι.
Ἀμφιβολία νηφάλιος τῇ σκεπτικῇ ϗ ἀνοήτῳ ὐδόλως συγχυτέα. . . . αὐτόθι.
Ἀμφιβολία διακριτέα τῆς ἀρνήσεως; . . . . . . . . αὐτόθι.
Ἀπόφανσις τί; . . . . . . . . . . . . ΡΠΖ'.
Ἀπατᾶσθαι τίς λέγοιτο; . . . . . . . . . ΤΜΔ'.
Ἀπάτη τί; . . . . . . . . . . . . . ΤΜΕ'.
Ἄκρα ἐν τῷ Συλλογισμῷ οἱ ὅροι λέγονται. . . . . . . ΣΜϚ'.
Ἀπάτη τῦ συμβεβηκότος τί; . . . . . . . . . ΤΜϚ'.
Ἀπάτη ἀπὸ τῦ κατά τι πρὸς τὸ ἁπλῶς τί; . . . . . . αὐτόθι.
Ἀπάτη ὁμωνυμίας. . . . . . . . . . . . ΤΜΕ'.
Ἀπάτη ἀμφιβολίας. . . . . . . . . . . . ΤΜϚ'.
Ἀπάτη ἀπὸ τῦ μὴ αἰτίυ ὡς αἴτιον. . . . . . . . . . αὐτόθι.
Ἀπάτη τῆς συνθέσεως καὶ διαιρέσεως. . . . . . . . . αὐτόθι.
Ἀπάτη τῆς συνεπείας. . . . . . . . . . . . αὐτόθι.
Ἀπάτη τῆς ἑτεροζητήσεως ἤτοι τῆς ἀγνοίας τῦ ἐλέγχυ: . . . . . αὐτόθι.
Ἀπάτη τῦ ἐν ἀρχῇ αἰτεῖσθαι τί; . . . . . . . . . αὐτόθι.
Ἀπάτη πολλῶν ἐρωτήσεων τί; . . . . . . . . . αὐτόθι.
Ἀνώτερα τίνα; . . . . . . . . . . . . ΤΓ'.
Ἀπάτη τῆς ἁπλῆς λέξεως τί; . . . . . . . . . ΤΜΕ'.
Ἄτομον τί; . . . . . . . . . . . . . ΜϚ'.
Ἀτομότητος ἀρχὴ τί; . . . . . . . . . . . ΜΖ'.
Ἀνάγνωσις Ἱςορικῆς βίβλυ, τί πρὸς ταύτην ζητεῖται; . . . . . ΤΝΗ'.
Ἀνάγνωσις δογματικῆς βίβλυ, τί ζητεῖται; . . . . . . ΤΞΒ'.
Ἀρνεῖσθαι τί; . . . . . . . . . . . . ΡΠΗ'.
Ἀσάφεια τῶν Ἰδεῶν. . . . . . . . . . . . ΞΘ'.
Ἀσάφεια τῶν Ἰδεῶν ἀπολελυμένη τί; . . . . . . . . Ο'.
Ἀσάφεια τῶν Ἰδεῶν ἀναφορικὴ τί; . . . . . . . . αὐτόθι.
Ἀσαφὴς Ἰδέα τί; . . . . . . . . . . . . αὐτόθι.

Ἀσα-

Ἀσαφὴς ὅρος τί; . . . ΡΚΘ'.
Ἀντικειμένων τὰ καθήκοντα. . . . ΤΚΘ'.
Ἀντίθεσις τῶν προτάσεων. . . . ΣΛ'.
Ἀντίθεσις τῶν προτάσεων ἀντιφατικὴ τί; . . . ΣΛΒ'.
Ἀντίθεσις τῶν προτάσεων ἐναντία τί; . . . ΣΛΑ'.
Ἀντίθεσις τῶν προτάσεων ὑπεναντία τί; . . . ΣΛΓ'.
Αἴτησις τῆς ἀρχῆς, ἤτοι τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. . . . ΤΜϚ'.
Ἀπάτη ταύτης. . . . αὐτόθι.
Αἴτημα τί; . . . ΣΗΓ'.
Αἰτήματα εἰσὶ βέβαια. . . . ΤϞΔ'.
Ἀμφισβητήσεως τὴν στάσιν διαμορφοῦν τί; . . . ΦΚΓ'.
Ἀρχαὶ δεικτικαί. . . . ΤΠΖ'.
Ἀρχαὶ τοῦ δεικνύειν τί; . . . αὐτόθι.
Ἀνασκευάζειν τί; . . . ΤυΗ'.
Ἀνασκευάζων τί ὀφείλει παρατηρεῖν; . . . ΤυΘ'.
Ἀποκρινομένων καθήκοντα. . . . ΦΚΒ'.
Ἀποκρίνεσθαι εἰς τὴν ἔνστασιν ποικίλος τρόπος. . . . ΦΚϚ'.
Αἴσθησις ἀνθρώπου τίς; . . . ΤΞ'.
Αἰσθήσεις ἆρα ἀπατῶσι; . . . αὐτόθι.
Τί ποιητέον ἵνα μὴ ἀπατῶσι; . . . ΤΞΑ'.
Αἰσθήσεσι συγκεχυμένας ἡμῖν παριστᾶμεν τὰ πράγματα. . . . ΤΠΑ'.
Αἰσθήσεσι τοσαύταις, ὃ σαφῶς προσλαβεῖν πρᾶγμα ἐθέλομεν, ἀνακτέον, εἰς ὅσας δύναται ἀναχθῆναι. . . . ΞΖ'.
Ἀλήθεια τί; . . . ΤΙΕ'.
Ἀληθείας Κριτήριον. . . . ΤΚΒ'.
Ἀλήθεια Ἰδεῶν. . . . ΤΙΖ'.
Ἀλήθεια Κρίσεως, ἤτοι προτάσεως. . . . ΤΙΗ'.
Ἀληθὲς τὸ διανόημα πότε; . . . ΤΚ'.
Ἀποκρινόμενος τίς; . . . ΦΚ'.

# B.


Βεβαιότης τίς; . . . . . . . . . . . . ΤΜΗ΄.
Βεβαιότητος ποσαπλῆ ἡ ὁδὸς; . . . . . . . . . . ΤΝ΄.
Βοτανολογία. . . . . . . . . . . . . ΜΕ΄.
Βίβλος συμπλήρης τίς; . . . . . . . . . . . ΤΞϚ΄.
Βίβλος δογματική. . . . . . . . . . . . ΤΝΒ΄.
Βίβλος ἱϛορικοδογματικὴ τί; . . . . . . . . . . ΤΝΓ΄.
Βίβλος ἐπιϛημονική. . . . . . . . . . . . ΤΞΒ΄.
Βίβλος ἱϛορική. . . . . . . . . . . . . ΤΝΖ΄.
Βίβλος τάξει συγγεγραμμένη. . . . . . . . . . ΤΞΘ΄.
Βίβλος μάλα μακρά. . . . . . . . . . . . ΤΞΗ΄.
Βίβλος σαφής. . . . . . . . . . . . . αὐτόθι.
Βίβλος ϛερεά; . . . . . . . . . . . . . ΤΟΑ΄.


# Γ.


Γνῶσις; . . . . . . . . . . . . . . Β΄.
Γνῶσις Ἱϛορικὴ τί; . . . . . . . . . . . Γ΄.
Γνῶσις Ἱϛορικὴ διὰ τῶν αἰσθήσεων πορίζεται. . . . . . . . Ζ΄.
Γνώσεως ἀνθρωπίνης ἐϛιν ἔσχατος βαθμὸς ἡ Ἱϛορική. . . . . . Η΄.
Γνώσεως φιλοσοφικῆς θεμέλιόν ἐϛιν ἡ Ἱϛορικὴ γνῶσις. . . . . Θ΄.
Γνῶσις Φιλοσοφικὴ τί; . . . . . . . . . . . Ε΄.
Γνῶσις Φιλοσοφικὴ πάντων τῶν πραγμάτων δύναται δοθῆναι. . . . ΙΑ΄.
πρὸς ταύτην ζητεῖται ὁ Λόγος. . . . . . . . . ΙΓ΄.
δεῖξις. . . . . . . . . . . . . . ΙΔ΄.
Γνῶσις μαθηματικὴ τί; . . . . . . . . . . . Ϛ΄.
Γινόμενα μόνον πιϛεύομεν; . . . . . . . . . . ΤΚΓ΄.
Γένη πῶ ἵϛανται; . . . . . . . . . . . ΡΙΒ΄.
Γενῶν Ἔννοιαι ὁποῖαι εἰσί; . . . . . . . . . . ΡΘ΄.


Γε-

Γενῶν Ἔννοιαι ὅπως διαμορφοῦνται; . . . . . . . . . . ΡΓ΄.
Γένος τί; . . . . . . . . . . . . . . ΡΖ΄.

# Δ.

Δεικνύειν τί; . . . . . . . . . . . . . ΤΠϚ΄.
Δεῖξις τί; . . . . . . . . . . . . . . αὐτόθι.
Δεῖξις ἐκ τῶν προτέρων. . . . . . . . . . . . ΤΥΑ΄.
Δεῖξις ἐκ τῶν ὑςέρων. . . . . . . . . . . . ΤΥΒ΄.
Δεῖξις εὐθεῖα ἤτοι δεικτική. . . . . . . . . . ΤΥΓ΄.
Δεῖξις πλαγία, ἤτοι ἀπαγωγική. . . . . . . . . ΤΥΔ΄.
Δενδρολογία τί; . . . . . . . . . . . . ΜΕ΄.
Διαγραφὴ τί; . . . . . . . . . . . . . ΡΟΘ΄.
Διαγραφὴ ἐςὶ τῶν ἀτόμων. . . . . . . . . . . αὐτόθι.
Διωρισμένον πανταχόθεν ποῖον λέγεται; . . . . . . . . Ρ΄.
Διχοτομία τί; . . . . . . . . . . . . . ΡΠΑ΄.
τῇ Διχοτομίᾳ ἐ δεῖ δεισιδαιμόνως λίαν ἐχρῆσθαι. . . . . . ΡΠΔ΄.
Διαφορὰ εἰδικὴ τί; . . . . . . . . . . . . ΡΙΖ΄.
Διαφορὰ ἐν τῷ ὁρισμῷ προσληπτέα. . . . . . . . . ΡΟΒ΄.
Δίλημμα τί; . . . . . . . . . . . . . ΤΒ΄.
Διαιρετικὰ μέρη ποῖα; . . . . . . . . . . . ΡΠ΄.
Διαιρετικῶν μερῶν ἡ ἀπαρίθμησις ὀφείλει εἶναι πλήρης; . . . . ΡΠΔ΄.
Διαιρετικὰ μέρη ὀφείλουσιν εἶναι ἀντικείμενα πρὸς ἄλληλα; . . . . αὐτόθι.
Διαλεγομένων τὰ Γενικὰ ἀπαιτούμενα. . . . . . . . . ΦΚΑ΄.
Διαλεγόμενοι ὀφείλουσιν εἰς ἐναντίες ὅρες ςρέφεσθαι. . . . . . ΦΚΒ΄.
Διαλεγόμενοι ὀφείλουσι συμφωνεῖν ἐν τοῖς τοῦ ὑποκειμένου καὶ κατηγορουμένου Ἐννοίαις ΦΚΓ΄.
Διάλεξις τί; . . . . . . . . . . . . . ΦΙΘ΄.
Διαίρεσις τί; . . . . . . . . . . . . . ΡΠ΄.
Διαίρεσις ποσαπλῆ; . . . . . . . . . . . ΡΠΑ΄.
Διαιρέσεως Κανόνες. . . . . . . . . . . . ΡΠΔ΄.
Διαιρούμενον τί; . . . . . . . . . . . . ΡΠ΄.

Διδά-

Διδάσκοντας τὰ ζητέμενα . . . . . . . . . . ΥΟΘʹ.
Διδάσκων τίς λέγοιτο; . . . . . . . . . ΥΟΖʹ.
Δόγμα τί; . . . . . . . . . . . ΥΝΒʹ.
Δογματικὸν σύγγραμμα τί; . . . . . . . αὐτόθι.
Δογματικὸν σύγγραμμα ποσαπλῦν; . . . . . . . ΥΝΓʹ.
Δόξα τί; . . . . . . . . . . . . ΥΛΑʹ.
Ἡ Δόξα ἐςὶ μεταβλητή. . . . . . . . . . ΥΛΓʹ.
Δόξα ποσαπλῦ; . . . . . . . . . . ΥΛΒʹ.
Δεικτικὸς ἔλεγχος. . . . . . . . . . ΥΠΗʹ.
Δεικτικὴ ἀνασκευή. . . . . . . . . . . ΦΔʹ.
Διανόημα τί; . . . . . . . . . . ΣΛΖʹ.
Διανόημα ὅπως διενήνοχε τῦ συλλογισμῦ; . . . . . . ΣΜΓʹ.
Ἐν τῷ Διανοήματι πόσαι Ἰδέαι; . . . . . . ΣΛΗʹ.
Ἐν τῷ Διανοήματι πόσαι κρίσεις παρῆναι ὀφείλεσι; . . . αὐτόθι.
Διανοημάτων καταφατικῶν ϗ ἀποφατικῶν θεμέλιον. . . . . . ΣΜʹ.
Διὰ συνωνύμων ὁρισμὸς ἐκ ἰχύει. . . . . . . . . ΡΞΔʹ.
Προςασίας ἀπότευρα τί; . . . . . . . . . . ΦΙΕʹ.
Δίκαιον τῆς φύσεως τί; . . . . . . . . . . Μϛʹ.

# Ε.

Ἐξηκριβωμένη ἰδεῶν τίς; . . . . . . . . . . ΥΑʹ.
ὁ βαθμὸς ταύτης. . . . . . . . . . . ΥΓʹ.
Ἐπιχείρημα ἀπὸ φθόνου ἐνεχθὲν τί; . . . . . . . . ΦΙΑʹ.
Ἐνατενίσεως ϗ προσοχῆς μεσολαβέσης ἡ ἀσαφὴς Ἰδέα σαφὴς ἀποκαθίςαται. Ξϛʹ.
Ἐνατένισις συμβάλλει πρὸς τὸ προσπορίσασθαι διακεκριμένας Ἰδέας. . . ΟΘʹ.
ταύτην ὀφείλει προσφέρειν ὁ θέλων ἐλεγχθῆναι. . . . . . ΥυΒʹ.
αὕτη ληπτέα ἐὰν αἱ αἰσθήσεις ἐκ ὀφείλωσιν ἀπατᾶσθαι. . . . ΤΞΓʹ.
Ἔννοια τίς . . . . . . . . . . . . ΞΒʹ.
Ἑπόμενον ἐν τῇ ὑποθετικῇ προτάσει τί; . . . . . . ΣΥΒʹ.
Ἐπιχειρήματι χρῶνται ἀπὸ φθόνε παραχθέντι οἱ κατασκευαςαὶ τῶν συνεπειῶν. ΦΙΒʹ.

Ἐναν-

Ἐναντίαι προτάσεις τίνες; . . . . . . . . . ΣΛΑ'.

Ἔλεγχός ἐνεργητικὸς εἰλημμένος τί; . . . . . . . ΥΠΕ'.

Ἔλεγχος παθητικὸς εἰλημμένος τί; . . . . . . . αὐτόθι.

Ἔλεγχος ἢ γίνεται ἐκ τῶν προτέρων, ἢ ἐκ τῶν ὑστέρων. . . . ΥΠΖ'.

Ἔλεγχος, ἢ ἀπαγωγικὸς, ἢ ἀποδεικτικός. . . . . . . ΥΠΗ'.

Ἔλεγχος διενέγκου τῆς πειθοῦς. . . . . . . . ΥυΖ'.

Ἔλεγχος πῶς δεῖ εἶναι προητοιμασμένος; . . . . . . ΥυΑ'.

Ἐνθύμημα τί; . . . . . . . . . . ΣΠΖ'.

Ἐπιχείρημα τί; . . . . . . . . . . ΤΙΑ'.

Ἐπιτομεὺς τίς; . . . . . . . . . . ΥΟΔ'.

Ἐριστικὰ συγγράμματα τί; . . . . . . . . ΦΙΗ'.

Ἔκτασις τῆς Ἐννοίας τί; . . . . . . . . ΡΙϛ'.

Ἕξις τί; . . . . . . . . . . . ΚΒ'.

Ἕξις Φιλοσοφικῆς γνώσεως τί; . . . . . . . . ΚΓ'.

Ἐπαγωγὴ τί; . . . . . . . . . . ΤΓ'.

Ἐπαγωγῆς θεμέλιον ποσαπλοῦν; . . . . . . . αὐτόθι.

Ἔνστασις, τίποτ' ἐστὶ τὸ δι' ἐκείνης ἀποκρίνεσθαι; . . . . ΦΚϛ'.

Ἑρμηνεύειν τί; . . . . . . . . . . ΥΚΕ'.

Ἑρμηνεύειν κανόνες τίνες; . . . . . . . . ΥΚϛ'.

Ἑρμηνεία τί; . . . . . . . . . . ΥΚΕ'.

Ἔννοια τί; . . . . . . . . . . . ΞΒ'.

Ἔννοια ἀπατηλὴ τί; . . . . . . . . . ΤΚΖ'.

Ἐπιστήμη τί; . . . . . . . . . . ΚΖ'.

Ἐπιστήμῃ εἶναι κεκοσμημένος ὀφείλει ὁ Φιλόσοφος. . . . . . αὐτόθι.

Εἶδος τί; . . . . . . . . . . . ΠΕ'.

Εἴδους Κανόνες. . . . . . . . . . . ΠΙΕ'.

Ἐνέργειαι τοῦ νοὸς πόσαι; . . . . . . . . . ΞΑ'.

Ἠθικὴ τί; . . . . . . . . . . . . Μϛ'.


---

# Θ.

Θεολογία Φυσικὴ τί; . . . . . . . . . . . . ΜΒ'.
Θεολογία φυσικὴ ὅπως διαληπτέα; . . . . . . . . . . Μϛ'.
Θεώρημα τί; . . . . . . . . . . . . . . ΣΚΔ'.
Θεώρημα ὅπως διερμηνοῖτο; . . . . . . . . . . . ΤΜϛ'.

# Ι.

Ἰσοδυναμοῦσαι προτάσεις τί; . . . . . . . . . . . ΣΙϛ'.
Ἰδέα σαφὴς τί; . . . . . . . . . . . . ΞΔ'.
ὅπως τυγχάνοιτο; . . . . . . . . . . . Ξϛ'.
ποσαπλῆ ἡ Ἰδέα; . . . . . . . . . . . ΟΖ'.
Ἱστορία ποσαπλῆ; . . . . . . . . . . . . ΤΞ'.
Ἱστορικὴ πιθανότης; . . . . . . . . . . . ΤΙΓ'.
Ἱστορικῆς πιθανότητος Κανόνες. . . . . . . . . ΤΚ'.
Ἰδέα τί; . . . . . . . . . . . . . . ΞΒ'.
Ἰδέα ἐξηκριβωμένη τί; . . . . . . . . . . . ΤΑ'.
Ἰδέα ἐξηκριβωμένη ὅπως γεννᾶται; . . . . . . . . . ΤΔ'.
Ἰδέαι ἐξηκριβωμέναι περὶ πάντων τῶν πραγμάτων παρ' ἡμῶν ὀ δύνανται διαμορφῶσθαι. . . . . . . . . . . . . ΤΕ'.
Ἰδέας σαφοῦς βαθμός. . . . . . . . . . . . ΞΕ'.
Ἰδέα σαφὴς ὅπως γένοιτο ἀσαφής; . . . . . . . . ΟΓ'.
Ἰδέα συμπλήρης τί; . . . . . . . . . . . ΠΗ'.
Ἰδέα συγκεχυμένη τί; . . . . . . . . . . . Οϛ'.
Ἰδέα συγκεχυμένη διὰ ῥημάτων κοινοῦσθαι τοῖς ἄλλοις ὀ δύναται. . . . ΠΗ'.
Ἰδέα διακεκριμένη τί; . . . . . . . . . . . . Οϛ'.
Ἰδέα διακεκριμένη ὅπως προσπορίζοιτο; . . . . . . . ΟΘ'.
Ἰδέα διακεκριμένη δύναται διὰ φωνῶν τοῖς ἑτέροις κοινοῦσθαι . . . . Π'.

Ἰδέα

Ἰδέα ἀτομικὴ τί; . . . . . . . . . . . ΠΒ΄.
Ἰδέα ἀτομικὴ μάλα πολλὰς περιςάσεις ἴσχει. . . . . . . ΠΓ΄.
Ἰδέα ἀσαφὴς τί; . . . . . . . . . . . ΞΘ΄.
Ἰδέα ἀσαφὴς γίγνεται σαφὴς διὰ τῆς ἐνατενίσεως. . . . . . ΟΒ΄.
Ἰδέα καθόλε τί; . . . . . . . . . . . ΠΗ΄.
Ἰδέα καθόλε ὅπως διαμορφοῖτο; . . . . . . . . . ΠΙΑ΄.
Ἰδέα ἀληθὴς τί; . . . . . . . . . . . ΤΙΖ΄.
Ἰδέα ψευδὴς τί; . . . . . . . . . . . ΤΚΖ΄.
Ἰδέαι, τῇ ταύτας διαμορφοῦσθαι τριπλῆ μέθοδος δίδοται. . . . . ΠΙΗ΄.
Ἰδέαι ὅπως καὶ πότε βελτιοῖντο; . . . . . . . . ΠΙΘ΄.
Ἰδέαι ὅπως καὶ πότε κακιοῖντο; . . . . . . . . ΠΚΑ΄.

# K.

Καταφάσκειν τί; . . . . . . . . . . . . ΡΠΗ΄.
Κύκλος ἐν τῷ ὁρίζεσθαι τί; . . . . . . . . . ΡΞΖ΄.
Φωκτίος. . . . . . . . . . . . . . ΡΞΗ΄.
Κύκλος ἐν τῷ δεικνύειν τί; . . . . . . . . . ΤΥΖ΄.
Κύκλος ὁ προσληπτέος ἐν τῷ δεικνύειν. . . . . . . . ΤΥΗ΄.
Κοσμολογία τίς . . . . . . . . . . . ΜΕ΄.
Κατὰ παντὸς, ἢ κατὰ μηδενὸς ῥητὸν τί; . . . . . . . ΣΜ΄.
Ἐςὶ θεμέλιον τῶν καταφατικῶν, ἢ ἀποφατικῶν διανοημάτων. . . αὐτόθι.
Κρίσεις ἐποπτικαί. . . . . . . . . . . . ΤΞΘ΄.
Κατώτερα τί; . . . . . . . . . . . . ΤΓ΄.
Κρίνειν τί; . . . . . . . . . . . . ΡΠΕ΄.
Κρίσις τί; . . . . . . . . . . . . αὐτόθι.
Κρίσις ῥήμασιν ἐκφερομένη ὅπως ὀνομάζοιτο; . . . . . . ΡΠΖ΄.
Κρίσις Ἐποπτικὴ ὅπως διαμορφοῖτο; . . . . . . . . ΤΟ΄.

Κρίσις διανοητικὴ τί; . . . . . . . . . . ΤΞΘ'.
Κρίσις καθόλου ὅπως ἐκ τῶν ὑστέρων διαμορφοῖτο; . . . . . ΤΟΘ'.
Κατηγορήμενον τί; . . . . . . . . . . . ΡΥΑ'.
Κακία τῆς ὑποσταγῆς ἐν τῷ πειρᾶσθαι τί; . . . . . . ΤΞϚ'.
Καθόλου ἔννοιαι τί; . . . . . . . . . . . ΡΗ'.
Καθόλου ἔννοιαι ὅπως διερμηνοῖντο ἐκ τῶν ὑστέρων; . . . . . ΡΙΑ'.

# Λ.

Λαμβάνειν τὸ ἐπιχείρημα πότε λέγεται ὁ ἀποκρινόμενος; . . . ΦΚΒ'.
Λῆψις τί; . . . . . . . . . . . . ΣΝ'.
Λῆμμα τί; . . . . . . . . . . . . ΣΚΗ'.
Λογικὴ τί; . . . . . . . . . . . . ΝϚ'.
Λογικὴ ποσαπλῆ; . . . . . . . . . . . αὐτόθι.
Λογικὴ τεχνικὴ τί; . . . . . . . . . . αὐτόθι.
Λογικῆς τεχνικῆς ἀνάγκη. . . . . . . . . . αὐτόθι.
Λογικὴ διδάσκουσα. . . . . . . . . . . αὐτόθι.
Λογικὴ φυσικὴ ἐπίκτητος. . . . . . . . . . αὐτόθι.
Λογικὴ φυσικὴ ἔμφυτος. . . . . . . . . . αὐτόθι.
Λογικὴ χρωμένη τί; . . . . . . . . . . αὐτόθι.
Λογομαχία τί; . . . . . . . . . . . ΦϚ'.
Λόγος τί; . . . . . . . . . . . . ΙΓ'.
Λόγος ζητεῖται πρὸς κτῆσιν τῆς φιλοσοφικῆς γνώσεως. . . . . . αὐτόθι.
Λύσις προβλήματος τί; . . . . . . . . . . ΤΜΖ'.
Λύσις προβλήματος ὅπως ἐγχειροῖτο; . . . . . . . αὐτόθι.
Λέξις τί; . . . . . . . . . . . . ΡΚΓ'.

Μ.

# M.

Μείζων πρότασις τί; . . . ΣΜΘ.
Μείζων ὅρος τί; . . . ΣΜϚ.
Μαθηματικὴ μέθοδος τί; . . . ΛΔ'.
Μαθηματικὴν μέθοδον ὁ φιλόσοφος προσλαμβάνειν ὀφείλει. . . . ΛΖ.
Μαθηματικὴ γνῶσις τί; . . . Ϛ'.
Μελέτη τί; . . . ΤΛΕ'.
Μελέτη ποσαπλῆ; . . . ΤΜΗ'.
Μελέτη ὅπως ἐγχειροῖτο; . . . ΤΛΖ.
Μέσος ὅρος τί; . . . ΣΜϚ'.
Μέσος ὅρος ἐκ ὀφείλει εἰσέρχεσθαι τὸ συμπέρασμα. . . . ΣΞΓ'.
Μεταφυσικὴ τί; . . . ΜΕ'.
Μετεωρολογία τί; . . . αὐτόθι.
Μέθοδοι διάφοροι τοῦ διαλέγεσθαι. . . . ΦΚΖ.
Μέθοδος τοῦ δεικνύειν ἀναλυτική. . . . ΤΥΒ'.
Μέθοδος τοῦ δεικνύειν συνθετικὴ τί; . . . αὐτόθι.
Μέθοδος τοῦ διαλέγεσθαι. . . . ΦΙΘ'.
Μέθοδος ἐρωτηματικὴ τί; . . . ΦΚΖ.
Μέθοδος Μεγαρικὴ τί; . . . αὐτόθι.
Μέθοδος Σωκρατικὴ τί; . . . αὐτόθι.
Μέθοδος συλλογιστικὴ τί; . . . αὐτόθι.
Μέθοδος τοῦ διαμορφοῦν τὰς ἰδέας τριπλῆ. . . . ΡΙΗ'.
Μεθόδου μαθηματικῆς νόμοι. . . . ΛΕ'.
Μέθοδος φιλοσοφικὴ τί; . . . ΛΒ'.
Μεθόδου φιλοσοφικῆς νόμοι. . . . ΛΓ'.
Μέθοδος φιλοσοφικὴ ἡ αὐτὴ τῇ μαθηματικῇ. . . . ΛϚ.
Μέθοδος φυσικὴ τί; . . . ΛΖ.
Μέθοδος τῆς σχολῆς τί; . . . ΤΞΘ'.
Μέθοδος συστηματικὴ τί; . . . ΛΖ.

Μόρια

Μόρια συγκριτικὰ τίνα; . . . . . . . . . . ΣϚʹ.
Μόρια ἐξαιρετικὰ τίνα; . . . . . . . . . . ΣΔʹ.
Μόρια ἀποκλειστικὰ τίνα; . . . . . . . . . . ΣΓʹ.
Μερικαὶ προτάσεις τίνες; . . . . . . . . . . ΣΘ.
Μάρτυρες· τὰ ἀπαιτούμενα αὐτῶν; . . . . . . . . ΤΙΕʹ.
Μάρτυς ἀπαθὴς τίς; . . . . . . . . . . ΤΙΘ.
τὰ ἀπαιτούμενα αὐτῷ. . . . . . . . . ΤΚʹ.

# N.

Νοῦς συγγραφέως τί; . . . . . . . . . . ΤΚΕʹ.
Νοῦν συγγραφέως ὅπως ξυνίεμεν. . . . . . . . . . ΤΚϚʹ.

# O.

Ὁμώνυμα ἤτοι ὁμώνυμοι ὅροι. . . . . . . . . . ΡΛϚʹ.
Ὁμώνυμα ὁμωνυμοῦντα τί; . . . . . . . . . . αὐτόθι.
Οἱ ὁμώνυμοι ὅροι ἀποβλητέοι εἰσὶ τῶν σχολῶν τῶν φιλοσόφων . . . . αὐτόθι.
Ὁμωνυματὰ τί εἰσί; . . . . . . . . . . αὐτόθι.
Ὁρισμὸς τί; . . . . . . . . . . . . ΡΜΖ.
Ὁρισμὸς ὀφείλει ἐπαριθμεῖν γνωρίσματα ἀπὸ πάντων τῶν ἄλλων διαζευγνῦντα
τὸ ὁριστόν. . . . . . . . . . . . ΡΜΗʹ.
Ὁρισμὸς πάντων τῶν πραγμάτων οὐ δύναται παρ᾽ ἡμῶν δοθῆναι. . . ΡΜΘ.
Ὁρισμὸς πότε λέγοιτο πλατύτερος τοῦ οἰκείου ὁριστοῦ; . . . . . ΡΝΒʹ.
Ὁρισμὸς πότε στενότερος; . . . . . . . . . . αὐτόθι.
Ὁρισμὸς οὐκ ὀφείλει εἶναι μήτε πλατύτερος μήτε στενώτερος τοῦ οἰκείου ὁριστοῦ. . ΡΝΓʹ.
Ὁρισμὸς ὀφείλει συνεξισοῦσθαι τῷ οἰκείῳ ὁριστῷ. . . . . . . ΡΝΔʹ.
Ὁρισμὸς ὀφείλει ἀντιστρέφειν σὺν τῷ ὁριστῷ. . . . . . . ΡΝΕʹ.
Ἐν τῷ Ὁρισμῷ ὀφείλουσιν ἐπαριθμεῖσθαι προσδιδόμενα, ἤτοι ὀντοτικά. . . ΡΝΘ.
Ὁρισμὸς ὀφείλει εἶναι σαφής. . . . . . . . . . ΡΞʹ.

τίνο-

τίποτε συμβάλλει πρὸς τὴν τοῦ ὁρισμοῦ σαφήνειαν; . . . . ΡΞΗ΄.
Ὁρισμὸς διὰ τῶν συνωνύμων οὐκ ἰσχύει. . . . . . . ΡΞΔ΄.
Ὁρισμὸς οὐκ ὀφείλει ἔχειν ὅρους πλανωμένους καὶ ἀορίστους. . . . . . ΡΞΘ΄.
Ὁρισμὸς ἐκκλινέτω τοὺς ἀποφατικοὺς ὅρους. . . . . . . . ΡΟΑ΄.
Ὁρισμὸς περιεχέτω γένος καὶ εἰδικὴν διαφοράν. . . . . . ΡΟΒ΄.
Ὁρισμὸς διενήνοχε τῆς διαγραφῆς. . . . . . . . . ΡΟΓ΄.
Ὁρισμὸς ὀνοματώδης τί; . . . . . . . . . ΡΟΔ΄.
Ὁρισμὸς ὀνοματώδης τί κατὰ τοὺς παλαιούς; . . . . . . αὐτόθι.
Ὁρισμὸς ὀνοματώδης ἐστὶν ἀπὸ βουλῆς. . . . . . . . ΡΟϚ΄.
Ὁρισμῷ ὀνοματώδει οὐ δεῖ ἀεὶ πάντα ἐπαριθμεῖσθαι τὰ τῷ ὁριστῷ προσδιδόμενα. ΡΟΖ΄.
Ὁρισμὸς πραγματιώδης ἤτοι γενετικὸς τί; . . . . . . . . ΡΟΒ΄.
Ὁρισμοῦ γενετικοῦ τῇ διαμορφώσει τί ζητεῖται; . . . . . . αὐτόθι.
Ὁρισμὸς γενετικὸς πολλῶν πραγμάτων διατὶ οὐκ ἔστι; . . . . . ΡΟΗ΄.
Ὁρισμὸς ὅπως ἐκ τῶν ὑστέρων διὰ τῆς συμβολῆς μερικῶν συμβαμάτων διαμορφοῖτο; ΤΟϚ΄.
Ὁρισμοὶ εἰσὶν ἀρχαὶ βέβαιοι τοῦ δεικνύειν. . . . . . . . . ΤΠΘ΄.
Ὁριστὸν τί; . . . . . . . . . . . . . . ΡΜΖ΄.
Ὁδὸς πρὸς τὴν βεβαιότητα. . . . . . . . . . . ΤΝ΄.
Ὁ τῇ πείρᾳ χρώμενος ὀφείλει καταλέγειν τί. . . . . . . . ΤΝΔ΄.
Ὀντολογία τί; . . . . . . . . . . . . . ΜΕ΄.
Ὀρυκτολογία τί; . . . . . . . . . . . . αὐτόθι.
Ὁμοιότητες τῶν ἀτόμων τί ἀποτελοῦσι; . . . . . . . . ΡΕ΄.
Ὁμοιότητες τῶν εἰδῶν τί ἀποτελοῦσι; . . . . . . . . ΡΖ΄.
Ὅροι ἐν τῷ ὁρισμῷ λαμβανόμενοι εἰσὶν ὁριστέοι; . . . . . . ΡΞ΄.
Ὅροι τίνες ἐν τῷ ὁρισμῷ προσληπτέοι; . . . . . . . . ΡΞΒ΄.
Ὅροι τίνες φευκτέοι; . . . . . . . . . . . ΡΞΘ΄.
Ὅροι πόσοι ὀφείλουσιν εἶναι ἐν τῷ συλλογισμῷ; . . . . . . ΣΜΕ΄.
Ὅρος τί; . . . . . . . . . . . . . . ΡΚΓ΄.
Ὅρος ἀπολελυμένος τί; . . . . . . . . . . ΡΜϚ΄.
Ὅρος ἀφῃρημένος τί; . . . . . . . . . . αὐτόθι.
Ὅρος συνώνυμος τί; . . . . . . . . . . . ΡΛϚ΄.
Ὅρος ἀνάλογος τί; . . . . . . . . . . . αὐτόθι.
Ὅρος κατηγορηματικὸς τί; . . . . . . . . . . ΡΜϚ΄.

Ὅρος

Ὅρος κοινὸς τί; . . . . . . . . . . ΟΖ'.
Ὅρος συγκεκριμένος τί; . . . . . . . . ΡΜΕ'.
Ὅρος συμπεπλεγμένος τί; . . . . . . . . ΡΜϛ'.
Ὅρος συγκριτικὸς τί; . . . . . . . . . αὐτόθι.
Ὅρος οἰκεῖος τί; . . . . . . . . . . ΡΜΒ'.
Ὅρος ὡρισμένος τί; . . . . . . . . . ΡΜϛ'.
Ὅρος καταχρηστικὸς τί; . . . . . . . . ΡΛΘ'.
Ὅρος κενὸς τί; . . . . . . . . . . ΡΚΗ'.
Ὅρος μὴ συμπεπλεγμένος τί. . . . . . . . ΡΜϛ'.
Ὅρος μείζων τί; . . . . . . . . . . ΤΜϚ'.
Ὅρος μέσος τί; . . . . . . . . . . αὐτόθι.
Ὅρος ἐλάσσων τί; . . . . . . . . . αὐτόθι.
Ὅρος μικτὸς τί; . . . . . . . . . ΡΜϛ'.
Ὅρος κύριος τί; . . . . . . . . . . ΡΛΗ'.
Ὅρος συγκατηγορηματικὸς τί; . . . . . . . ΡΜϛ'.
Ὅρος καθόλου τί; . . . . . . . . . . ΡΛϛ'.

# Π.

Πάθη, τούτοις οὐ διοχλητέος ἐστὶν ὁ ὀφείλων ἐλέγχεσθαι. . . . . ΤΥΔ'.
τούτων εἶναι κενοὶ ὀφείλουσιν οἱ διαλεχθησόμενοι. . . . . . ΦΚΔ'.
Πρὸς τὸ πάθος τοῦ συγγραφέως ἐνατενιστέον ἐν τῷ ἑρμηνεύειν. . . . ΧΚϛ'.
Πόρισμα τί; . . . . . . . . . . . ΣΚϛ'.
Πιστεύειν τί; . . . . . . . . . . . ΤΙΑ'.
Διατί πολλὰ πιστεύειν ὀφείλομεν; . . . . . . . ΤΓ'.
Πεῖρα τί; . . . . . . . . . . . . ΤΝ'.
Πείρας ἀντικείμενον τί; . . . . . . . . . ΤΝΒ'.
Πεῖρα ποσαπλῆ; . . . . . . . . . . ΤΝϛ'.
Διὰ τῆς πείρας διαμορφοῦνται ἔννοιαι καθόλου. . . . . . ΤΟϛ'.

Πεῖρα

| | |
|---|---|
| Πόθεν εἰσὶν ἀρχαὶ τοῦ δεικνύειν. | ΤΠΘ'. |
| Πίστις τί; | ΤΙΑ'. |
| Πίστεως γένεσις. | αὐτόθι. |
| Πίστεως προφυλακαί. | ΤΙΔ'. |
| Πίστεως τίς ἄξιος; | ΤΙΒ'. |
| Πολεμεῖν τὸν ἕτερον πότε λεγόμεθα; | ΦΚ'. |
| Πλατύτερος πότε ὁ ὁρισμὸς τοῦ οἰκείου ὁριστοῦ; | ΡΝΒ'. |
| Πᾶς, ἐστὶ σημεῖον τῆς καθολικότητος. | ΣΙ'. |
| Παράλληλοι τόποι εἰσὶ παραβλητέοι τῷ ἑρμηνεῖ. | ΤΚϚ'. |
| Πειθὼ τί; | ΤΟΖ'. |
| Πνευματικὴ τί; | ΜΒ'. |
| Πολεμικὰ συγγράμματα τί; | ΦΙΗ'. |
| Πολιτικὴ τί; | ΜϚ'. |
| Πρόκριμα τί; | ΤΛΓ'. |
| Πρόκριμα πόθεν γεννᾶται; | ΤΛΔ'. |
| Πρόκριμα ὅπως διαφύγοιτο; | ΤΛΖ'. |
| Πρόκριμα ἀξιοπιστίας τί, | ΤΛϚ'. |
| Πρόκριμα τοῦ ἄγαν θράσους τί ἐστι; | αὐτόθι. |
| Προκείμεναι τοῦ συλλογισμοῦ τί; | ΣΝΑ'. |
| Προκείμεναι τῶν συλλογισμῶν ἄρα διακριτέαι ἐκ τοῦ συμπεράσματος τοῦ ἐξ αὐτῶν κατὰ κανόνας ῥέοντος; | ΤΚΕ'. |
| Προστάτης τῆς διαλέξεως τίς; | ΦΚ'. |
| Πιθανὸν τί; | ΤΕ'. |
| Πιθανότης τί; | αὐτόθι. |
| Πιθανότης τί τῷ Ἀριστοτέλει; | αὐτόθι. |
| Πιθανότης τί τῷ Ῥουδιγέρῳ; | αὐτόθι. |
| Πιθανότητος βαθμός. | ΤϚ'. |
| Πιθανότης τῇ δυνατότητι οὐ δεῖ συγχέεσθαι. | αὐτόθι. |
| Πιθανότης Ἑρμηνευτικὴ τί; | ΤΚΕ'. |
| Πιθανότητος Ἑρμηνευτικῆς Κανόνες. | ΤΚϚ'. |
| Πιθανότης Ἱστορικὴ τί; | ΤΙ'. |
| Πιθανότητος Ἱστορικῆς Κανόνες. | ΤΚ'. |

Πιθανότης Φυσικὴ τί; . . . . . . . . ΤΚΖʹ.
Πιθανότητος Φυσικῆς Κανόνες. . . . . . . . ΤΚΗʹ.
Πιθανότης πολιτικὴ τί; . . . . . . . . ΤΚΘʹ.
Πιθανότης πρακτικὴ τί; . . . . . . . . ΤΛʹ.
Πρόβλημα τί; . . . . . . . . . . ΣΚΕʹ.
Πρόβλημα ὅπως διερωτοῖτο; . . . . . . . . ΤΜΖʹ.
Πρόβλημα ὅπως λύοιτο; . . . . . . . . αὐτόθι.
Πρότασις τί; . . . . . . . . . . ΣΠΖʹ.
Προτάσεως ἀνάλυσις τί; . . . . . . . . ΣΙϛʹ.
Προτάσεως μέρη πόσα; . . . . . . . . ΡΓʹ.
Προτάσεως διαθέσεις. . . . . . . . . ΣΚΘʹ.
Πρότασις πότε ἀληθής; . . . . . . . . ΤΙΗʹ.
Πρότασις καταφατικὴ τί; . . . . . . . . ΣΗʹ.
Πρότασις κατηγορικὴ τί καὶ ποσαπλῆ; . . . . . . ΡΤϛʹ.
Πρότασις σύνθετος τί; . . . . . . . . ΡΤΖʹ.
Προτάσεως συνθέτου εἴδη. . . . . . . . αὐτόθι.
Πρότασις ὑποθετικὴ τί; . . . . . . . . ΡΤΗʹ.
Πρότασις ἀντιστρεφομένη τί; . . . . . . . . ΣΛΕʹ.
Πρότασις ἀντιστρέφουσα τί; . . . . . . . . αὐτόθι.
Πρότασις συνδυαστικὴ τί; . . . . . . . . Σʹ.
Πρότασις διωρισμένη τί; . . . . . . . . ΣΙΑʹ.
Πρότασις διαζευκτικὴ τί; . . . . . . . . ΡΤΘʹ.
Πρότασις ἐξαιρετικὴ τί; . . . . . . . . ΣΔʹ.
Πρότασις ἀποκλειστικὴ τί; . . . . . . . . ΣΓʹ.
Πρότασις ἀποκλειστικὴ ἀποκλειομένου τοῦ ὑποκειμένου. . . . . αὐτόθι.
Πρότασις παραστατικὴ τί; . . . . . . . . ΣΚΑʹ.
Πρότασις σαφηνείας δεομένη τί; . . . . . . . ΣΒʹ.
Πρότασις ταυτολογοῦσα τί; . . . . . . . . ΣΚΒʹ.
Πρότασις ἀδιόριστος τί; . . . . . . . . ΣΙΑʹ.
Πρότασις ἀδιόριστος ὅπως ἰσοδυναμοίη τῇ καθόλου; . . . . . ΣΙΓʹ.
Πρότασις ἀναπόδεικτος τί; . . . . . . . . ΣΚΑʹ.
Πρότασις ὡρισμένη τί; . . . . . . . . . . ΣΗʹ.

Πρό-

Πρότασις μείζων τί; . . . . . . . . . . . ΣΜΘ.
Πρότασις ἐλάσσων τί; . . . . . . . . . . ΣΝ'.
Πρότασις ἀρνητικὴ τί; . . . . . . . . . . ΣΗ'.
Προτάσεως ἀρνητικῆς Κριτήριον. . . . . . . . . αὐτόθι.
Πρότασις μερικὴ τί; . . . . . . . . . . . ΣΘ.
Πρότασις πρακτικὴ τί; . . . . . . . . . . ΣΚ'.
Πρότασις ἀναδιπλωτικὴ τί; . . . . . . . . . ΣΕ'.
Πρότασις καθ' ἕκαστα τί; . . . . . . . . . . ΣΙΖ'.
Πρότασις ὑπαλληλοῦσα τί; . . . . . . . . . ΣΛΔ'.
Πρότασις ὑπαλληλωτὴ τί; . . . . . . . . . . αὐτόθι.
Πρότασις θεωρητικὴ τί; . . . . . . . . . . ΣΚ'.
Πρότασις καθόλου τί; . . . . . . . . . . . ΣΘ.
Προτάσεις ὁπόσας ζητεῖ ὁ Συλλογισμός; . . . . . . . ΣΜΖ.
Προτάσεις ἀντιφατικαί. . . . . . . . . . . ΣΛΒ.
Προτάσεις ἐναντίαι. . . . . . . . . . . . ΣΛΑ.
Προτάσεις κρυπτικαί. . . . . . . . . . . ΡΥΔ'.
Προτάσεις τροπικαὶ τί; . . . . . . . . . . ΣΑ.
Ποσότης τῶν προτάσεων κατὰ ταύτην ποσαπλῆ ἡ πρότασις; . . . ΡΥΕ'.
Ποιότης τῶν προτάσεων κατὰ ταύτην ποσαπλῆ ἡ πρότασις; . . . αὐτόθι.
Παράστασις τί; . . . . . . . . . . . . ΞΒ.
Προφυλακαὶ περὶ τὰς φωνάς. . . . . . . . . . ΡΚΖ.

## Ρ.

Ῥήματα τί; . . . . . . . . . . . . . ΡΚΙ'.

## Σ.

Συμβεβηκότα τί ἐστιν; . . . . . . . . . . ΡΝΗ'.
Συμβεβηκότα ἐκ συμπλοκῆς ἀπείργεσθαι τὸν ὁρισμόν. . . . . . αὐτόθι.
Συγκρίσεως τὸ τρίτον τί; . . . . . . . . . . Σϛ.

Συγκεκριμένος ὅρος τί; . . . . . . . . . . ΡΜΕ'.
Συγκεκριμένον μεῖζον τί; . . . . . . . . . . Σς'.
Συγκεκριμένον ἔλασσον τί; . . . . . . . . . . αὐτόθι.
Συμπέρασμα τί; . . . . . . . . . . ΣΝΒ'.
Ἐν τούτῳ οὐκ ὀφείλει πλεῖον ἢ ἔλαττον εἶναι ἐν ταῖς προκειμέναις. . . . ΣΞς'.
Ὀφείλει ἕπεσθαι τῷ χείρονι μέρει. . . . . . . . . . ΣΞΗ'.
Συμπέρασμα πότε ἀληθές; . . . . . . . . . . ΤΚΓ'.
Συνεπιφορὰ ἢ πόρισμα ὅπως διερμηνεύοιτο; . . . . . . ΣΚς'. καὶ ΥΜΕ'.
Συνέπεια ἐν τῷ ὑποθετικῷ συλλογισμῷ τί; . . . . . . ΣΤΓ'.
Συνέπεια ἄμεσος τί; . . . . . . . . . . ΤΙΒ'.
Συνέπεια ἄμεσος κατὰ τίνας κανόνας διαμορφοῖτο; . . . . . . ΤΙΓ'.
Συνέπειαι ὀφείλουσι διαμορφοῦσθαι; . . . . . . . . ΦΗ'.
Προφυλακαί τινες περὶ τὴν διαμόρφωσιν τῶν ἀμέσων Συνεπειῶν παρατηρεῖσθαι ὀφείλουσιν; . . . . . . . . . . αὐτόθι.
Φευκτέαι ἄμεσοι συνέπειαι. . . . . . . . . . . αὐτόθι.
Συνέπειαν ποιοῦντες, ἤτοι κατασκευαστικὰ συνεπτικῶν. . . . . . . ΦΘ'.
Ἀνοήτως ποιοῦσιν ἐν τῷ ἀνασκευάζειν οἱ τέκτονες τῶν συνεπτικῶν. . . . ΦΙ'.
Σύνδεσμος τί; . . . . . . . . . . ΡΛΗ'.
Σύνδεσμος ποσαπλοῦς; . . . . . . . . . . αὐτόθι.
Σχῆμα συλλογισμῶν τί; . . . . . . . . . . ΣΝΓ'.
Σχῆμα ά. τί; . . . . . . . . . . ΣΝΖ'.
Σχήματος ά. Κανόνες. . . . . . . . . . . ΣΞΘ'.
Σχῆμα ά. ἐστὶ τελειότατον. . . . . . . . . . ΣΠΔ'.
Σχῆμα τέταρτον τί; . . . . . . . . . . ΣΞ'.
Σχῆμα δεύτερον. . . . . . . . . . . ΣΝΗ'.
Σχήματος δευτέρου Κανόνες. . . . . . . . . . ΣΟΕ'.
Σχῆμα τρίτον τί; . . . . . . . . . . ΣΝΕ'.
Σχήματος γ'. Κανόνες. . . . . . . . . . . ΣΟΖ'.
Σχήματα συλλογισμῶν. . . . . . . . . . . ΣΝΔ'.
Σχήματα συλλογισμῶν τέσσαρα μόνα εἰσὶ δυνατά. . . . . ΣΝς'.
Σχῆμα αὐτῶν. . . . . . . . . . . ΣΝΕ'.
Συνίεναι τὸν νοῦν τοῦ ἑτέρου τί; . . . . . . . . ΡΚΕ.

Σκ-

Σαφήνεια, ταύτης ἐν πρώτοις λόγον ποιητέον ἐν τῷ φιλοσοφικῷ στύλῳ. ΛΘ΄.
Σαφὴς βίβλος τίς; ΤΞΖ΄.
Συγγράμματα ποσαπλᾶ; ΥΝΒ΄.
Συγγράμματα ἀπολογητικὰ τί; ΤΞΑ΄.
Συγγράμματα ἐριστικὰ τί; αὐτόθι.
Συγγράμματα πολεμικὰ τί; αὐτόθι.
Σημεῖον τί; ΡΚΓ΄.
Σημεῖα μερικότητος. ΣΙΔ΄.
Σημεῖα καθολικότητος. ΣΚ΄.
Σημασία τῶν ὅρων ἡ ἀναληφθεῖσα, πότε διαφυλάττοιτο; ΡΜΕ΄.
Στερεότης τί; ΥΠΓ΄.
Στερεότης. βίβλοι δογματικῆς. ΥΟΑ΄.
Σχόλιον τί; ΣΚΖ΄.
Στερεότητι ὀφείλει καθιεροῦσθαι ὁ διδάσκων. ΥΠΔ΄.
Σόφισμα τί; ΤΝΗ΄.
Σωρείτης τί; ΤΕ΄.
Σωρείτου Κανόνες. ΤΗ΄.
Σωρείτης τίνι λόγῳ ἀνάγοιτο; ΤΖ΄.
Στάσις ἀμφισβητήσεως πότε τὶς αὐτὴν διαμορφοῦν λέγοιτο; ΦΕ΄.
Στύλος φιλοσοφικὸς τί; ΛΗ΄.
Στύλου φιλοσοφικοῦ νόμοι. ΛΘ΄.
Συλλογισμὸς τί; ΣΜΒ΄.
Συλλογισμὸς ὅπως διενήνοχε τοῦ διανοήματος; ΣΜΓ΄.
Συλλογισμὸς πόσους ἀπαιτεῖ ὅρους; ΣΜΕ΄.
Συλλογισμὸς πόσας ἀπαιτεῖ προτάσεις; ΣΜΖ΄.
Συλλογισμοῦ κανόνες. ΣΞΑ΄.
Συλλογισμὸς σύνθετος τί; ΣΠΘ΄.
Συλλογισμὸς σύνθετος ποσαπλοῦς; ΣΥ΄.
Συλλογισμὸς ὑποθετικὸς τί; ΣΥΑ΄.
Συλλογισμοῦ ὑποθετικοῦ πόσοι οἱ τρόποι; ΣΥΔ΄.
Συλλογισμοῦ ὑποθετικοῦ τρόποι νόθοι; ΣΥΕ΄.
Συλλογισμὸς συνεσταλμένος; ΣΠΗ΄.


Συλλο-

| | |
|---|---|
| Συλλογισμὸς συνδυαστικός. | ΤΔ΄. |
| Συλλογισμὸς κερατώδης τί; | ΤΒ΄. |
| Συλλογισμὸς κροκοδείλιος τί; | αὐτόθι. |
| Συλλογισμὸς κρυπτικὸς τί; | ΣΠϛ΄. |
| Συλλογισμὸς διαζευκτικὸς τί; | ΣΤΘ΄. |
| Συλλογισμὸς ἐνθυμηματικὸς τί; | ΣΠΖ΄. |
| Συλλογισμοῦ χρῆσις ἄπευκτος ἐν τῷ δεικνύειν. | ΤΤϛ΄. |
| Συνώνυμα καὶ συνωνυμία τί; | ΡΛΖ. |
| Σύστημα τί; | ϞΟΔ΄. |


# Τ.


| | |
|---|---|
| Τρόπος τοῦ ἑρμηνεύειν τί ζητεῖ; | ΤΚϛ΄. |
| Τέχνη τοῦ πειρᾶσθαι. | ΤΝΖ΄. |
| Τέχνη τοῦ εὑρίσκειν. | ΣΞΔ΄. |
| Τρόπος ἀναλυτικὸς τί; | ΤΤΕ΄. |
| Τρόπος συνθετικὸς, τί; | αὐτόθι. |
| Ταὐτὰ ποῖα λέγονται; | ΡΝϛ΄. |
| Τέλος ἱστορίας πολιτικῆς τί; | ΤΞ΄. |
| Τέλος ἐκκλησιαστικῆς ἱστορίας ποῖον; | αὐτόθι. |
| Τέλος ἱστορίας ἐπιστημονικῆς ποῖον; | αὐτόθι. |
| Τέλος ἱστορίας φυσικῆς ποῖον; | αὐτόθι. |
| Τρόποι τῶν συλλογισμῶν τί; | ΣΠ΄. |
| Τὰ ὀνόματα αὐτῶν ἐν τῷ α΄. σχήματι. | ΣΠΔ΄. |
| Τὰ ὀνόματα αὐτῶν ἐν τῷ β΄. σχήματι. | αὐτόθι. |
| Τὰ ὀνόματα αὐτῶν ἐν τῷ γ΄. σχήματι. | αὐτόθι. |
| Τάξις, πότε ἡ βίβλος τάξει συγγεγραμμένη εἶναι λέγεται; | αὐτόθι. |
| Τάξις φιλοσοφικὴ τί; | ΛΒ΄. |
| Τάξεως φιλοσοφικῆς Κανόνες. | ΛΓ΄. |
| Τάξις τῆς σχολῆς τί; | ΤΞΘ΄. |
| Τάξις τῆς φύσεως τί; | ΛΖ΄. καὶ ΤΞΘ΄. |


Τελειο-

Τελεολογία τί; . . . . . . . . . . . . . ΜΓ'.
Τετραχοτομία; . . . . . . . . . . . . . ΡΠΑ'.
Τριχοτομία τί; . . . . . . . . . . . . . αὐτόθι.

# Υ.

Ὑφὴ, πρὸς ταύτην ἀφορῶν οὕπω ὁ ἑρμηνεύς. . . . . . . ΣΜΑ'.
Ἐκ τῆς ὑφῆς ἢκ ἀεὶ διαμορφωτέον συνέπεται ἐκ ῥημάτων. . . . . . ΦΗ'.
Ὑδρολογία τί; . . . . . . . . . . . . . ΜΒ'.
Ὑπόθεσις τί; . . . . . . . . . . . . . ΤΕ'.
Ὑπόθεσις ἀποφάνσεως τί; . . . . . . . . . ΡΥΗ'.
Ὑπαλληλία τί; . . . . . . . . . . . . ΣΛΔ'.
Ὑποδιαιρεῖν τί; . . . . . . . . . . . . ΡΠΒ'.
Ὑποκείμενον; . . . . . . . . . . . . . ΡΥΑ'.

# Φ.

Φῶς τοῦ νοὸς ἐν τίνι συνίσταται; . . . . . . . . . Ης
Φῶς τοῦ νοὸς ὅπως ἐπιτυγχάνοιτο; . . . . . . . . . αὐτόθι.
Φαινομένων ἡ συμφωνία μετὰ τῆς ὑποθέσεως τί συνίστησι; . . . . ΤΕ'.
Φιλοσοφία; . . . . . . . . . . . . . . Κ'.
Φιλοσοφίας φωνὴ ποσαχῶς ἀναλαμβάνοιτο; . . . . . . αὐτόθι.
Φιλοσοφία συστηματικῶς, καὶ κατὰ τὸ ἀντικείμενον θεωρουμένη. . . . ΚΑ'.
Φιλοσοφία κατὰ τὸ ὑποκείμενον καὶ καθ᾽ ἕξιν θεωρουμένη τί; . . . ΚΒ'.
Φιλοσοφία τί κατὰ τὸν Βόλφιον; . . . . . . . . . . ΚΖ'.
Φιλοσοφίας μέρη. . . . . . . . . . . . . . ΜΕ'.
Φιλοσοφία ὅπως διενήνοχε τῆς φιλοσοφικῆς γνώσεως; . . . . . ΚΔ'.
Φιλοσοφία ποσαπλῆ; . . . . . . . . . . . . ΜΒ'.
Φιλόσοφος τίς; . . . . . . . . . . . . . ΚΒ'.
Φιλοσόφων τὰ ἀπαντώμενα. . . . . . . . . . . Κς'.
Φιλοσοφεῖν τί; . . . . . . . . . . . . . ΙΕ'.

Φυ-

Φυσικὴ τί; . . . . . . . . . . . . . ΜΕ'.
Φθόνος, ὅπως ὑπ' αὐτοῦ ἐπιχείρημα λαμβάνοιτο; . . . . . ΦΙΑ'.
Φυσιολογία τί; . . . . . . . . . . . ΜΕ'.
Φυτολογία τί; . . . . . . . . . . . . αὐτόθι.
Φωνὴ τί; . . . . . . . . . . . . ΡΚΓ'.

# Χ.

Χεῖρον τῶν προτάσεων μέρος ποῖον; . . . . . . ΣΞΖ'.
Χρῆσις τοῦ λέγειν τί; . . . . . . . . . ΡΜΓ'.
Χρῆσις τοῦ λέγειν πότε διαφυλάττοιτο; . . . . . . ΡΜΔ'.
Χρῆσις πολιτικὴ τί; . . . . . . . . . . αὐτόθι.
Χρῆσις τεχνικὴ τί; . . . . . . . . . . αὐτόθι.

# Ψ.

Ψεῦδος τί; . . . . . . . . . . ΤΚΖ'.
Ψευδοὺς κριτήριον. . . . . . . . . . . ΤΚΗ'.
Ψευδὲς τί; . . . . . . . . . . . ΤΚΖ'.
Ψευδὲς βεβαίως τί; . . . . . . . . . ΤΛ'.
Ψυχολογία τί; . . . . . . . . . . . ΜΒ'.
Ψυχολογία ἐμπειρική. . . . . . . . . . αὐτόθι.
Ψυχολογία λογική. . . . . . . . . . αὐτόθι.